Rec. [Ὁ δὲ νοῦς οὕτως·] (*Αἴκα ταὶ Μῶσαι*: Gen.[a] Lips.) ἐὰν αἱ Μοῦσαι τὴν οἴιδα, ἤγουν τὴν ὄϊν, τὸ θῆλυ πρόβατον, δῶρον ἄγωνται, ἀντὶ τοῦ λάβωσιν, ἄρνα σὺ σακίταν λήψῃ γέρας — σηκῖται δὲ ἄρνες, οὓς ἔτι γάλακτος δεομέ-

7. 8) [Τό:] ὅπερ. E. M. P. Lips. — *Τὸ καταχεόμενον*, ἤγουν κατωφερές· ἢ τὸ ἠχοῦν, τὸ ἦχον ποιοῦν. 6. κάτω χεόμενον. E. N. κάτω ἦχον ἀποπέμπον. C. ἠχοῦν ἐν τῷ κάτω φέρεσθαι. M. P. Lips. — *Μετ' ἤχου καταφέρεται*. K. M.

9) *Τὸ θῆλυ πρόβατον*, τὴν ὄϊν. E. M. ὄϊδα κοινόν, ὄϊν Ἀττικόν. 2. 6. προβατίναν. P. Lips. ἀμνίδα. C.

10) *Νεογνὸν ἀρνίον* ἔτι ἐν τῇ μάνδρᾳ ὂν καὶ μήπω ἐξελθόν. 23. M. Lips. νεογνὸν ἀρνίον. P. λιπαρόν. 6. H. P. τὸν ἐν τῷ σηκῷ, ἤγουν ἐν τῇ μάνδρᾳ τεθραμμένον. 6.

11) [Ὄϊν:] ἀμνάδα. M. P. Lips. — *Λαβὼν οἴσεις*, μέλλεις λήψεσθαι. H.

---

2) //Scholiolum om. Gen.[a b.] Lips. 2) //Gen.[b.] — ἢ τὸ κ.] 3. Gen.[b.], ἢ κ. vulg., ubi haec praecedenti scholio adhaerent. 3) τὸ ὑπ.] 3. Gen.[b], τὸ om. vulg. 5) //Gen.[a.] Lips. cum veriore lemmate *Ἅδιον ὦ ποιμάν*. In Gen.[a]. verba εἰ μὲν — οὕτω sequentibus postposita sunt. 6) ταὐτὸν] 6. Gen.[a.] Lips., ταὐτὸ vulg. 6) τὸ ὅ Gen.[a.] Lips. 7) γλυκύτερον Gen.[a.] In Lips. verba οὕτω . . . ὅπερ, tum λόγον . . . . τοιοῦτον καὶ evanida. 9) αὐτῷ Gen.[a.] 9) δυσδιανόητον] 1. 6. M. Y. Lips., δυσνόητον vulg. 10) συνυπαγόμενον] 6., συνεπ. vulg. 10) σύνηθες δὴ Heins. et vulg. ante Reisk. 11) τοιοῦτο] 1. 6. 23, τοιοῦτον vulg. 13) //Gen.[b.] c. lemm. *Μοῦσαι*. 13) παραβέβληκεν 5. Gen.[b.] 14) ἐν τῷ Π. Gen.[b.] 15) //Gen.[a.] Lips., hic μοῦσαι etiam in lemm. 16) οἴιδα] P. Gen.[a.] Lips. et tacite Gaisf., ὄϊδα vulg. 18) σακίται Gen.[a.] In Lips. δῶρον ἄγωνται . . . ἄρνες evanida. 18) δευομένους Gen.[a.]

νους οἱ νομεῖς τῶν μητέρων χωρίζοντες ἰδίᾳ βόσκουσι καὶ ἐν ἰδίῳ σηκῷ ἐγκλείουσιν —· ἐὰν δὲ ἀρέσκῃ ἐκείναις ἄρνα λαβεῖν, σὺ δὲ τὴν ὄϊν ὕστερον ἀξεῖς, (ἀντὶ τοῦ ἄξεις, H. Lips.) λαβὼν οἴσεις, τουτέστιν ἐν τῇ ᾠδῇ τὰ δευτερεῖα τῶν Μουσῶν ἕξεις.

Vs. 12—14.

Vet. Λῇς ποτὶ τὰν Νυμφᾶν: ἀντὶ τοῦ βούλει καὶ θέλεις ἀπὸ θέματος τοῦ λῶ τὸ θέλω· ὅθεν καὶ λῷον τὸ ἐπωφελές, ὃ πάντες θέλομεν. ἢ Δωρικὸν τὸ λῇς κατὰ ἀφαίρεσιν τῆς θε συλλαβῆς. ὁ Θύρσις δὲ τοῦτο λέγει. — Τῇδε: ἐνθάδε ἢ ἐκεῖσε. τὸ δὲ καθίξας Δωρικὸν τροπῇ τοῦ σ εἰς ξ. οἱ γὰρ Δωριεῖς τὸν μέλλοντα τῆς τετάρτης συζυγίας τῶν βαρυτόνων τῆς ληγούσης εἰς ζ διὰ τοῦ ξ ἐκφέρουσιν.

Rec. Ἄλλως. Λῇς ποτὶ τᾶν Νυμφᾶν: θέλεις ὦ αἰπόλε πρὸς τῶν Νυμφῶν ὧδε ἐλθεῖν καὶ καθίσας εἰς τὸν ἀνεστηκότα τοῦτον τόπον καὶ κατάντη, ἤγουν ὀξύν, ὅπου αἱ μυρῖκαι, τῇ σύριγγι μέλπειν· τὰς δὲ αἶγας ἐγὼ ἐν τούτῳ τῷ τόπῳ βοσκήσω. — Τῷ κάταντες ἐναντίον τὸ ἄναντες, λέγεται δὲ ἐπὶ τοῦ αὐτοῦ. ὁ γὰρ ἀνάντης τόπος ὁ αὐτὸς δήπου ἐστὶ καὶ κατάντης· (λέγεται μὲν οὖν ἀνάντης τόπος καὶ κατάντης, Lips.) καὶ ἀνωφερὴς ἐπὶ τοῦ αὐτοῦ καὶ κα-

13) *Κατωφερές.* C. P. Lips. τὸν κατωφερῆ τόπον. K. M. τὸ κάτω φερόμενον. H. — [Γεώλοφον:] τὸν ἀνεστηκότα τόπον καὶ ὀξύν. M. τὸ τῆς γῆς ἐπανάστημα. Lips. — Ὅπου αἱ λεγόμεναι μυρτίαι. Lips.

14) [Συρίσδεν:] Δωρικῶς καὶ Αἰολικῶς. 5. Αἰολικὸν καὶ Δωρικόν, τὸ μετὰ σύριγγος μέλπειν. M. — Ἐν ὅσῳ σὺ μέλλεις ᾄδειν. M. Lips. (ἢ M.) ἐν τούτῳ τῷ τόπῳ E. M. N. P., ἢ ἀντὶ τοῦ μεταξύ. N.

---

2) ἐγκλείουσιν] 1. E. H. M. N. Y. Gen.[a] Lips., κλείουσιν vulg. 2) Ante ἐὰν δὲ in Gen.[a] est lemma αἰ δὲ κἀρέσκῃ. 3) τὰν ὄϊν H. 3) ἂν ἄξεις Gen.[a] 4) λαβὼν οἴσεις] Gen.[a] Lips. vulg. et additis μέλλεις λήψεσθαι H., om. Reisk. seqq. 5) ἄξεις pro ἕξεις Gen.[a] 7) //Om. Gen.[a.b.] Lips. 7) βούλεις Heins. et vulg. ante Reisk. 8) θέλῃς ante Xyl. 8) θήματος Heins. et vulg. ante Kiessl. 10) //Gen.[b.], ubi τῇ δὲ καθίξας omissis postea τὸ δὲ καθ., deinde τροπῇ τοῦ σ εἰς ξ Δωρικῶς. 12) τῶν βαρυτόνων] 3. 5. (Gen.[b.]), om. vulg. ante Wart. 14) //Gen.[a.] Lips. — τὰν ante Xyl. 14) ὦ αἰπόλε] add. Lips. 15) καθίσας] Lips., καθίξας vulg. 17) κατὰ σύριγγος 23. 17) τούτῳ] 1. 6. cf. Gl., τῷδε vulg. In Lips. ἐγὼ... τόπῳ evan. 18) //Gen.[a.] Lips. — τῷ κάταντες ἐν. τὸ] Gen.[a.] Lips., τὸ κάταντες τὸ κατωφερές, ὅπερ ἐστὶν ἐν. τῷ vulg., quae interpretatio ex SchVet. transsumpta est. 21) καὶ ἀνωφερῶς καὶ κατωφερῶς ἐπὶ τοῦ αὐτοῦ. E. — 26) Αἰολικῶς] Ἀττικῶς cod. Glossa male ad κάταντες relata erat, cf. Gl. Vs. 3.

τωφερής. λέγεται δὲ καὶ ἀνάντη ξύλα καὶ κατάντη, τὰ ἄνω φερόμενα καὶ κάτω, καὶ ἀνωφερῆ καὶ κατωφερῆ ἐπὶ τῶν αὐτῶν. — (*Λῆς ἀπὸ τοῦ λέειν, ὅθεν λῷον ἐπωφελές, τουτέστιν ὃ πάντες θέλουσιν· ἢ ἀποκοπῇ τῆς θε λῆς ἀντὶ τοῦ θέλης. Καθίξας τροπῇ τοῦ σ εἰς ξ ἔθει Ἀθηναίων.* Gen.[a]) — (*Λῶ τὸ θέλω, τὸ δεύτερον λεῖς καὶ τροπῇ τοῦ ε εἰς η, μένοντος καὶ τοῦ ι προσγεγραμμένου, λῇς.* I. —) (*Γεώλοφον: τὸ ὑψηλὸν καὶ ἐπανεστηκός, ὃ δὴ καὶ κάταντες τοῖς ἄνωθεν κάτω ἐρχομένοις καὶ ἄναντες τοῖς κάτωθεν ἄνω ἐρχομένοις.* 2.)

Vet. (*Κάταντες: παρὰ μὲν Ὁμήρῳ τὸ κατωφερὲς δηλοῖ, ἐνταῦθα δὲ τὸ ἐναντίον.* p. 3. 5. Bar. Gen.[b] — *Ἄλλως. Τὸν κατωφερῆ τόπον ἢ τὸν ὑψηλόν.* Gen.[b]) *Γεώλοφον δὲ ὁ ἐν τῷ ὁμαλῷ πεδίῳ ὑπερανεστηκὼς ὄχθος, ὃς καὶ κολωνὸς καλεῖται.* (*λέγει δὲ Διονύσιος ὁ Ἁλικαρνασεύς, ὅτι γεώλοφός ἐστιν ὁ ὑψηλὸς τόπος, κολωνὸς δὲ ὁ προέχων ἀπὸ τῆς γῆς μικρόν.* Bar. et partim Vat. Gen.[b]) — *Πῶς τῆς γαίας διφθογγογραφουμένης ψιλογραφεῖται τὸ γεώλοφος ὡς τὸ ἀνώγεων καὶ κατώγεων; ἡ γαῖα παρὰ τοῖς παλαιοῖς ἐψιλογραφεῖτο ὡς καὶ τὰ παρ' αὐτῆς συγκείμενα· νῦν δὲ οἱ νέοι διφθογγογραφοῦντες οὐκ ἠθέλησαν τὴν τῶν παλαιῶν συνήθειαν τελείως ἀπολιπεῖν, ἀλλ' ἔθεσαν καί τινα ψιλογραφούμενα,* (*γράψαντες οὕτως πλὴν τοῦ ἀνώγεων κατώγεων γεώλοφος* <*καὶ ἄλλα τινά*>. Gen.[b]) — *Ἅτε μυρίκαι: ὅπου αἱ μυρσίναι.*

---

11) *καὶ πάντες* pro *κάταντες* p., *ἐς τὸ κάταντες τοῦτο γεόλοφον* Gen.[b] 11) *παρὰ μὲν Ὁμήρῳ*] *παρ' Ὁμήρῳ* p., *πῇ μὲν Ὅμηρος* 5. Gen.[b], *ποῖ μὲν ὁ Ὅμηρος* Bar., *μὲν Ὅμηρος* 3., *ὁ μὲν Ὅμηρος* Wart., quem ex 3. edidisse Gaisf. indicavit. 11) *τὸ* om. Gen.[b] 12) *ἔνθα δὲ* p., *ποῖ δὲ* Bar. 12) *τὸ ἐναντίον*] p., *τὸ ἀπεναντίον* Wart., *ἀπεναντίον* 3., *ἀπ' ἐναντίας* 5., *τὸ ἀπεναντίας* Gen.[b], *τὸ κατ' ἐναντίας ὡς καὶ ἐνταῦθα* Bar. 13) *τὸν*] Adert., *τὸ* cod. 13) *γεώλοφον .... ὑψηλὸς* desunt in Gen.[b], librario a *ὑψηλὸν* ad *ὑψηλὸς* aberrante — *γεώλοφος* Phav. 14) *πεδίῳ*] 5., *πέδῳ* vulg. 16) Ex Vat. (3. puto), quem similem lacunam atque Gen.[b] habuisse apparet, cf. ad l. 13., Wart. protulit scholion: *Τόπος κολωνὸς προέχων* seqq. Omisit Gaisf., *κολωνὸς τόπος* tacite edidit Duebn. 16) *κολωνὸς* om. Gen.[b], *δὲ ὁ* om. Vat. Gen.[b] 16) *περιέχων* Gen.[b] 17) *τῆς* om. Bar. 17) *ὀλίγον* pro *μικρὸν* Bar. 17) //Gen.[b] — *ἀπορία* praefixum in 3., non in Gen.[b] 18) *γεώλοφος*] 3., *γεόλοφος* Gen.[b], *γεώλοφον* vulg. 18) *τὸ ὡς* Heins. et vulg. ante Kiessl. 19) *ἡ γαῖα π. τ. π.*] Gen.[b] (sed sine *τοῖς*) et praemisso *Λύσις* 3., *καὶ φαμὲν ὅτι π. τ. π. ἡ γαῖα* vulg., *ὅτι π. τ. παλ. γραῖα* sine *καὶ φ.* Phav. 21) *διφθογγογραφοῦσι* reliquis omissis Phav. 21) *τὴν τῶν παλαιῶν*] 3. Gen.[b], *τὴν παλαιὰν* vulg. 22) *συνήθειαν* om. Gen.[b] 24) //Om. Gen.[a.b] Lips.

Vs. 15—18.

Vet. (*Δριμεῖα χολά*: ὀξύχολος δέ, περιδεικνὺς αὐτοῦ τὸ ὀξύχολον Gen.[b]) ἐφ' αἷς μεσημβρίζειν εἴωθε. — *Τὸ μεσημβρινόν*: ἐκ τοῦ μεσημερινοῦ ἐκβολῇ τοῦ ε καὶ προσθέσει τοῦ β.

Rec. *Οὐ θέμις ὦ ποιμάν*: οὐ πρέπον ἐστὶν ἡμῖν ὦ ποιμὴν κατὰ τὸ μέσον τῆς ἡμέρας τῇ σύριγγι χρῆσθαι. τὸν Πᾶνα δεδοίκαμεν· ὄντως γὰρ πικρός ἐστιν, ἀντὶ τοῦ βαρὺς καὶ ὀργίλος, ἡνίκα ἀπὸ τῆς ἄγρας σχολάσας ἀναπαύεται κεκοπιακώς, ἐν αὐτῇ δηλονότι· καὶ ἀεὶ πρὸς τῇ ῥινὶ αὐτοῦ, ἤτοι ἐν τῇ ῥινί, δριμεῖα χολὰ κάθηται, τουτέστι καὶ ἀεὶ ὀργίλος ἐστίν. — (Ἐν τῇ μεσημβρίᾳ οὐ δίκαιον ἡμῖν ἐκ νόμου συρίζειν· τὸν γὰρ Πᾶνα δεδοίκαμεν. ἡνίκα γὰρ ἂν ᾖ κεκμηκὼς ἀπ' ἄγρας, ἀναπαύεται· καὶ ἄλλως πικρός ἐστι κατὰ φύσιν, τότε δὲ ἐπὶ πλέον ἀνάπτεται ἐξωργισμένος, μεθὸ ἔλθοι ἀγρεύσας. 2.)

Vs. 19. 20.

Vet. *Ἀλλὰ τὺ γὰρ δὴ Θύρσι τὰ Δάφνιδος ἄλγε' ἄειδε*: ἤγουν τὰ περὶ τοῦ θανάτου τοῦ Δάφνιδός μοι λέγε. — [*Τὸ ἄλγε' ἄειδε* τριχῶς εὕρομεν γεγραμμένον ἐν τοῖς παρ' ἡμῖν ἀντιγράφοις, δηλονότι *ἄλγε' ἄειδες* — καὶ λέγει τὸ ἄειδες ἀντὶ τοῦ λέγοις ἂν Δωρικῶς, καὶ ὅτι τὸ γὰρ παρέλκει — καὶ *ἄλγε' ἄειδε* ἀντὶ τοῦ λέγε, καὶ *ἄλγεα εἶδες*, ὃ

15) *Οὐ πρέπον ἐστίν*, οὐ δίκαιον E. M. P. *νόμιμον ὑπάρχει.* 2. — *Κατὰ τὸν καιρὸν τῆς μεσημβρίας.* 2. — [*Ἄμμιν*:] *Αἰολικὸν καὶ Δωρικόν.* E.

16) *Ἀπὸ κυνηγεσίου σχολάσας.* 23. E. M. N.

17) [*Τανίκα*:] *ἡνίκα* P. *ὁπηνίκα* N. *ὁπότε* C. *ἀρτίως κοπιάσας.* Lips. — [*Ἀμπαύεται*:] *Αἰολικόν.* C. E. N. P. — [*Ἐντί*:] *ἐστίν, Αἰολικόν.* C. E. M. N. Lips. — *Βαρύς, ὀργίλος* Lips.

18) [*Οἱ*:] *αὐτοῦ* P. — *Μεγάλη ὀργή.* M. Lips. *ἀντὶ τοῦ διὰ παντὸς ὀξύθυμός ἐστιν.* P.

---

3) *ἐφ' αἷς μεσ. εἴ.* hoc loco in Gen.[b] leguntur, post *καλεῖται* p. 40. 15. in 5., ubi media deesse videntur, scholio praecedenti post *μυρσίναι* adhaerent vulgo. Ceterum *εἴωθε*] 5., Gen.[b], *εἰώθασι* vulg. 3) //Om. Gen.[a b] Lips. — *ΜΕΣΑΜΒΡ.* *τὸ μεσημερινὸν* Reisk. seqq., quum jam in Ox. I *ΜΕ.* praefixum esset. 6) //Lips. et inde ab *καὶ ἀεὶ* Gen.[a] 6) *ἡμῖν*] H. Y. Lips., om. vulg. 18) //Gen.[b] c. lemm. *τὰ Δάφνιδος.* 19) *ἤγουν* om. Gen.[b] 19) *τὰ*] 3. 5. Gen.[b], *τὸ* vulg. 20) //Om. Gen.[a b] Lips. Haec Calliergo deberi Hemsterhusius indicavit.

καὶ βέλτιον.] — (*Ἐπὶ τὸ πλέον ἵκεο*: Gen.[b] *ὁ σκοπὸς τοιοῦτος· καὶ ἐν τῇ βουκολικῇ ᾠδῇ πολὺ προβέβηκας ὥστε νικᾶν.* 3. 5. Gen.[b])

Rec. *Ἄλλως. Ἀλλὰ τὺ γὰρ δὴ Θύρσι: τὸ σὺ καὶ τὸ γὰρ ἐπὶ τὸν δεύτερον ἀφορᾷ στίχον. ὀφείλει δὲ τὸ σὺ καὶ ἐπὶ τοῦ προτέρου λέγεσθαι ἀπὸ κοινοῦ. οὕτω γὰρ ἂν εἴη ὁ λόγος ἀκόλουθος ἔχων οὕτως· ἀλλὰ σὺ ὦ Θύρσι ᾆδε τὰ ἄλγη τοῦ Δάφνιδος· σὺ γὰρ ἀφίκου καὶ ἐπὶ τὸ πλέον τῆς βουκολικῆς μούσης. οὐκ ἀντιπίπτει δὲ ἑαυτῷ μὴ πρέπον εἰπὼν συρίζειν κατὰ τὸ μέσον τῆς ἡμέρας διὰ τὸν Πᾶνα, εἶτα τὸν Θύρσιν προτρεπόμενος ᾄδειν. οὐ γὰρ ταὐτόν ἐστι τὸ συρίζειν τῷ ᾄδειν· ἀλλὰ συρίζειν μέν ἐστι τὸ διὰ σύριγγος μέλπειν, ᾄδειν δὲ τὸ κοινῶς τραγῳδεῖν. τὸ τῇ σύριγγι δὴ χρῆσθαι φησὶ μὴ πρέπον εἶναι κατὰ τὸ μεσημβρινὸν διὰ τὸν Πᾶνα σύριγγι χρώμενον, ἐπὶ τὴν ᾠδὴν δὲ προτρέπεται ὡς ἄλλο τι οὖσαν καὶ οὐ μέλον ὂν αὐτῆς τῷ Πανί.*

19) [*Ἀλλά*:] *τοῦτο δὲ τῷ δεῦρο σύναπτε· τὰ δὲ ἑξῆς διὰ μέσου.* M. — *Τὴν ἐπὶ τοῦ Δάφνιδος συμφορὰν ᾄδεις.* 23. *τὴν ἐπὶ τῷ Δάφνιδι συμφοράν.* K. M. Lips. *τὰ περὶ τοῦ θανάτου τοῦ Δάφνιδος.* P. *τὰ πάθη τὰ συμβάντα τῷ Δάφνιδι.* H. — *Γράφεται ἀείδοις, λέγοις ἄν. Δωρικόν.* 3.

20) *Εἰς ἄκρον τῆς βουκολικῆς ᾠδῆς ἦλθες ὡς κρεῖττον ᾄδειν τῶν ἄλλων.* 23. M. P. Lips. *καὶ γὰρ τὴν πλείω βουκολικὴν μοῦσαν ἐδιδάχθης.* 6. *ἐπὶ τὸ ἐξαίρετον ἀφίκου, ἦλθες.* P. — [*Τὸ πλέον*:] *πλεῖστον* C. *περισσότερον.* H. *ἄκρον.* 2. — *Λείπει ὥστε νικᾶν.* 5. — [*Ἵκεο*:] *κατέλαβες.* C.

---

1) *ὁ σκ. δὲ* Gen.[b] 2) *ὥστε σε νικᾶν* Gen.[b] 4) //Gen.[a] Lips. — *ἀλλὰ* om. Lips., *δὴ Θ.* om. Gen.[a] 4) *τὺ* pro priore *σὺ* Gen[a] 5) *δὲ*] 1. 6. 23. E. I. M. N. P. Y. Gen.[a] Lips. et ante Heins., *δὲ καὶ* 2., *καὶ* vulg. 5) *σὺ*] E.[2] Gen.[a] Lips. vulg., *τὺ* E.[3] I. M. N. P. Y. (?) Reisk. seqq. 8) *καὶ* om. Gen.[a] 9) *δὲ* om. M. — *αυτῷ* E. 9) *πρέπον*] Lips., *πρέπειν* vulg., *ἐπιπρέπειν* 23. M., *ἐπιτρέπειν* E. N. Gen.[a] 11) *ταὐτὸν*] Gen.[a] Lips. vulg., *ταὐτὸ* Kiessl. seqq. 11) *ἐστι* om. Lips.. *ἐστι τὸ* om. E. Gen.[a] 12) *ἐπὶ* pro *ἐστι* E. Gen.[a] — *τοῦ* pro *τὸ* E. 13) *δὴ*] E. Lips., *δὲ* vulg. 15) *σύριγγι*] M. P. Y. Gen.[a] Lips., *τῇ σύρ.* vulg. 15) *ἀποτρέπεται* Gen.[a] 16) *εἰ* pro *καὶ* E. 16) *μέλον ὂν*] 1. 2. 6. 23. Lips., *μέλλον ὂν* E. M. N. P. Y. Gen.[a] Call., *μέλον* Xyl. vulg. 16) *αὐτοῖς* 2. — 20) *τῷ Δάφνιδι*] *τοῦ Δ.* (sic) cod. ap. Gail. 22) *ἦλθες καὶ κρ. ᾄδεις* 23. 25) *ὥστε*] Duebn., *τον* cod., cf. Scholl.

Vs. 21—26.

Vet. *Τῷ τε Πριήπω*: τὸν Πρίαπον Νύμφης Ναΐδος [ἢ] Χιόνης καὶ Διονύσου φασὶν υἱόν, ὃν καὶ κτίσαι περὶ Λάμψακον ὁμώνυμον αὐτῷ πόλιν φασί. παρ' ἐνίοις δὲ ὁ αὐτός ἐστι τῷ Διονύσῳ, καὶ διὰ τῆς ἐτυμολογίας γε φαίνεται. ἔστι δὲ οἷον ἢ βριήπυος διὰ τὰς ἐν ταῖς βακχείαις καὶ μέθαις ἐκβοήσεις, ἢ προΐηπος, ὁ προϊέμενος τὸ σπέρμα. — *Καὶ τᾶν κραναιᾶν*: ἀντὶ τοῦ κρηνῶν· εἰ μή που τὰς Νύμφας Κρηναίας εἶπε, ὡς καὶ τῶν Νυμφῶν συγκαθιδρυμένων τῷ Πριάπῳ. τινὲς δὲ τὰς κρανείας ἀπεδέξαντο, ἅ ἐστι δένδρα οὕτω καλούμενα. — ([*Κατ' ἐναντίον*:] τὸ *κραναιᾶν* ἀντὶ τοῦ [Πριήπου καὶ τῶν] κρηνῶν, ἐκτὸς εἰ μή που τὰς Νύμφας Κρηναίας εἶπε, ὡς τὰς Νύμφας ἱδρυμένας σὺν τῷ Πριήπῳ. 5. Gen.[b.]) — (*Ὡς πόκα τὸν Λιβύα-*

21) Ἐλθὲ πλησίον τῆς πτελέας. H. — [*Πριήπω*:] ἄγαλμα ἐκ δένδρου. 2.

22) Τῶν πηγῶν ἢ τῶν Νυμφῶν ἢ τῶν δένδρων. P. τῶν κρηνῶν. H. τῶν πηγῶν Lips.

24) Γράφεται *ὥς ποκα τὸν Λιβύαθεν ποτὶ Χρόμιν*. 6. — ὥσπερ ὅτε. Lips.

25) Δίδυμα τεκοῦσαν ἐρίφια. Lips. — Ὥστε μέχρι τρίτου ἀμέλξαι αὐτήν. E. H. K. M. — [*Ἐς τρίς*:] τῆς ἡμέρας. 6. ἐκ τρίτου. P.

26) Προσαμελχθήσεται. H. M. P. Lips. — Κισσύβια. M. κούτλους. C. ποιμενικὰ ἀγγεῖα. P.

---

2) //Gen.[b.], ubi *περὶ τοῦ Πριήπου* pro lemmate. 2) τὸν om. Gen.[b.] 2) Πρίαπον] M., Πρίαπος Gen.[b.], Πριήπον vulg. 3) ἢ om. Gen.[b.] 3) ὂν κτίσαι 5. Gen.[b.] Vulc. 4) αὐτοῦ 5. 4) πόλιν φ. om. 23. 5) ἐστι om. Gen.[b.] 5) καὶ διὰ τῆς] λατῆς Gen.[b.], καὶ λάτης 5. Vulc., in quo illud latere Duebn. vidit, ἐκ τῆς vulg. 5) γε] γὰρ vulg., ὁ αὐτός φησιν pro γε φαίνεται 5. Gen.[b.] Vulc. 6) δὲ] 5. 23. M. Gen.[b.], γὰρ vulg. 6) οἱονεὶ βρ. Reisk., οἱονεὶ βρ. Kiessl. seqq., ἢ om. Gen.[b.] 6) βρίηπος p., βρίηπυς Vulc., βριήτυο Gen.[b.] 7) προΐηπος] πρίηπος p. M.[3.] vulg., πρίητος Reisk. seqq., om. 5. Gen.[b.] Vulc. et M.[4.] 7) ὁ προϊέμενος] p. 3. 23. M. et ante Ox. II., προϊέμενος vulg., ἀπὸ τοῦ προΐεσθαι 5. Gen.[b.] Vulc. 8) //Gen.[b.] — *καὶ τᾶν κραναιᾶν*] καὶ τᾶν κρανίδαν 3., καὶ τῶν κρανίδων p. 5. Gen.[b.], τὸ δὲ *κρανιάδων* vulg. 8) τὰς om. 5. Gen.[b.], qui Νύμφας post εἶπε habent. 9) Κρηναίας] κρήνας 5. Gen.[b.], Κρηνίδας vulg. 9) εἶπε] 5. Gen.[b.], λέγει vulg. 9) καὶ] add. 5. Gen.[b.] 9) συγκαθιδρυμένων] p. 5. Gen.[b.], συγκαθεζομένων vulg. 10) Πριάπῳ] Gen.[b.], Πριήπῳ vulg. 10) δὲ om. Gen.[b.] 10) τὰς] p., τὸ κρανίδων 3. 5. Gen.[b.], τὸ κρανιάδων vulg. — κρανίας p. 10) αἵ εἰσι 5. Gen.[b.] 11) *τὸ κραναιᾶν ἀντὶ*] τὸ κατέναντι 5., κατέναντι Gen.[b.] 12) τῶν om. 5. 12) ἐκτὸς] Toup., ἐντὸς codd., quod ad praecedentia trahebatur. 13) που] τις codd. 13) τὰς om. Wart. — Νύμφας bis 5. 13) εἶπε] εἴπῃ codd. 14) σὺν] ἐν Gen.[b.], om. 5.

θεν: ἐὰν δὲ ᾄσῃς, ὡς ᾗσάς ποτε ἐρίζων πρὸς τὸν ἀπὸ Λιβύης Χρόμιν, αἶγά σοι δώσω. Gen.[b.] *φασὶ δὲ τὰς πολυτόκους καὶ πολυχύλους ἤγουν πολυγαλάκτους.* 5. Gen.[b.]) — *Διδυματόκον: δίδυμα τετοκυῖαν ὥστε τρὶς ἀμέλξαι. πολὺ γὰρ ἔχουσι γάλα αἱ διδυματόκοι, ὅθεν φησίν· ἡ αἶξ περιουσιάζεται τῷ γάλακτι, ὥστε καὶ μετὰ τὴν τῶν ἐρίφων τροφὴν καὶ δύο πέλλας πίμπλησι. τὰ δὲ ἀμόλγια πέλλας καλοῦσι παρὰ τὸ ⟨πεπελεκῆσθαι. καλοῦσι δὲ καὶ γαυλοὺς παρὰ τὸ⟩ πήσσειν ἐν αὐτοῖς ⟨τὸ γάλα ***⟩ ὅ ἐστι γαλακτοδόχον ἀγγεῖον.*

Rec. [*Ἐν ἄλλῳ.*] *Δεῦρ' ὑπὸ τὰν πτελέαν: ἄγε ὑπὸ τὴν πτελέαν καθεζώμεθα, ἀντὶ τοῦ καθίσωμεν, ἀπ' ἐναντίας τοῦ ἀγάλματος τοῦ Πριάπου καὶ τῶν πηγῶν, ὅπου ἡ καθέδρα ἐκείνη ἡ ποιμενικὴ καὶ αἱ δρῦς. ἐὰν δὲ ᾄσῃς, ὥσπερ ᾗσάς ποτε ἐρίζων πρὸς τὸν Χρόμιν τὸν Λιβύαθεν, τουτέστι τὸν ἀπὸ τῆς Λιβύης, αἶγά τέ σοι δώσω δίδυμα τετοκυῖαν, ὥστε μέχρι τρίτου ἀμέλξαι αὐτήν, ἥτις δύο ἔχουσα ἐρίφους προσαμέλξεται, ἀντὶ τοῦ ἀμελχθήσεται, εἰς δύο πέλλας. ποιμενικὸν δὲ ἀγγεῖον ἡ πέλλα· λέγεται δὲ οὕτω καὶ ἡ μέλαινα.* — (*Τρὶς μὲν τῆς ἡμέρας ἀμέλξεις, πληρώσει δὲ ἓξ πέλλας, ὡς ⟨δύο⟩ ἐπὶ μιᾶς φορᾶς. πέλλα καὶ γαυλὸς καὶ τάλαρος γαλακτοδόχα ἀγγεῖα.* 6.)

Vs. 27.

Vet. *Καὶ βαθὺ κισσύβιον: κισσύβιον ποτήριον παρὰ τὸ χεῖσθαι ἐν αὐτῷ τὸ πίνειν, χυσσίπιόν τι ὄν. ἢ ξύλινον*

---

1) *ἐρίζων πρὸς*] *ἐρίσδων παρὰ* cod. 2) *αἶσα* cod. 2) *φασὶ δὲ* seqq. in 5. post *δώσω* l. 15. legi traduntur; sed cod. potius praecedentia cum Gen.[b.] communia habet. — *φησὶ* Gen.[b.] 2) *τὰς*] Adert., *τοὺς* codd. 3) *καὶ* om. Gen.[b.] 3) *πολυχύλους*] Boisson. in Thes. VI p. 1454 et Adert., *πολυχίλους* 5., *πολυχόλους* Gen.[b.] 3) *ἢ* pro *ἤγουν* 5. 3) //Gen.[b.], ubi *ὡς τὸ τρίς*. 5) *ὅθεν φα* 5. 6) *ὥστε τὴν μετὰ τῶν* 3. 7) *τὰ δὲ ἀμόλγια*] *τὰ δὲ ἀμόλγεα* 5. Gen.[b.], *τοὺς δὲ ἀμολγοὺς* vulg. (*ἀμελγοὺς* 3.) 8) *πήσσειν*] *πίνειν* vulg. De supplementis vid. Adnot. 10) //Gen.[a.] Lips. — *δεῦρο* Gen.[a.], *δεῦρ'* reliquis omissis Lips. 11) *τὰν* pro *τὴν* E. Y. 11) *καθεζώμεθα ἀντὶ τοῦ*] Gen.[a.] Lips., *ἑσδώμεθα ἀ. τ. καθ. ἢ* vulg. 11) *ἀπέναντι* E. Y. 13) *δρύες* Lips. 15) *τουτέστιν ἀπὸ* Gen.[a.] 15) *αἰγά γε τοι* 23. 16) *αὐτὴν* om. E. 17) *ἀντὶ τοῦ*] 1. 6. 23. E. Y. Gen.[a.] Lips., *καὶ* vulg. 18) *τοῦτο* pro *οὕτω* Lips. 19) *πληρώσεις* cod. 21) *ἀγγεῖα* om. Wart. 23) //Gen.[b.] sine lemmate. Verba *κισσύβιον . . . ὂν* praefixo *ἢ* vulg iterantur post *κισσυβίῳ* p. 45. 8. 23) *ποτήριον* om. Gen.[b.] 24) *κεῖσθαι* 3. et priore loco ante Heins. 24) *ἐν τῷ πίνειν* Vulc. 24) *χυσσίπιόν τι*] vulg. in iteratione, *χισσύβιον* vulg. hoc loco, *χυσσύβιον* Gen.[b.]

ἔκπωμα κεκοσμημένον γομφίσι πολλαῖς. — Ἄλλως. *Κισσύβιον*: καυκίον ξύλινον ποιμενικόν, [τὸ οἱονεὶ χυσσίβιον.] — [Ἄλλως. *Κισσύβιον*: ποτήριον ἀγροικικόν, ἴσως ἀπὸ τοῦ κισσοῦ, ἐξ οὗ κατεσκευάζοντο τὰ ποτήρια. κοινοτέρως δὲ καὶ ἐπὶ πάντων τῶν ξυλίνων ποτηρίων ὁ λόγος τίθεται παρὰ τὸ κεχύσθαι εἰς αὐτὸ τὸν οἶνον, οἷον χύω χύσω χυσίβιον καὶ κισσύβιον. Ἡσίοδος·

ὀλίγον δὲ εἴσεται κισσυβίῳ.]

Rec. (Καὶ βαθὺ κισσύβιον) κεκλυσμένον ἡδεῖ κηρῷ, ἤγουν λελυμένῳ κηρῷ κεχρισμένον, ὃ κεκονιαμένον οἱ κοινοί φασιν, ἀπὸ τοῦ κλύζω. λέγεται δὲ τὸ κλύζω ἐπὶ δύο, ἐπί τε τοῦ διὰ κλυστῆρος ἰατρεύειν καὶ ἐφ' ὑγρῶν, ὅταν τι ἐπέρχωνται καὶ ἐπικαλύπτωσι, καθὸ λέγεται ἐνταῦθα.

Vs. 28.

Vet. *Ἀμφῶες*: τὸ ἀμφοτέρωθεν ἔχον ὠτία τινά. διὰ δὲ τούτου τὸ μέγεθος παρίστησιν.

Rec. (Ἀμφῶες, ἤγουν δύο ὠτία ἔχον, 1. 6. 23. Lips.), νεοτευχές, νεωστὶ κατασκευασθέν, ἔτι [γλυφάνοιο ποτόσδον,

27) Ἔκφρασις τοῦ κισσυβίου πάνυ εὐφυῶς ἔχουσα. * M. — Ποτήριον ἐκ ξύλου κισσουίνου καλουμένου K. ποιμενικὸν ἀγγεῖον Lips. — Ἀληλιμμένον H. K. M. — Γλυκεῖ ἢ λελυμένῳ. E. H. N. P.

28) Δύο ὠτία ἔχον C. E. H. M. N. P. δίωτον. K. — Νεωστὶ κατασκευασθέν. N. Y. — Ἀπὸ τῆς γλυφῆς ὀσμὴν πέμπον. 2. γλυφῆς ὀσμὴν ἀποπέμπον. H. M. N. P. ὀσμὴν ἔχον ἀπὸ τῆς γλυφῆς. C. ἔτι ἐκ τῆς γλυφῆς ὄζον, μυρίζον. 6. μυρίζον. Lips. — Γράφεται *δρεπάνοιο*. 3.

---

1) γομφίσι] γόμφοισι vulg. 1) πολλαῖς] Gen.[b], πολλοῖς vulg. 1) //Om. Gen.[a.b.] Lips., habet 3. — Ἄλλως] 3., ἢ vulg. 1) κισσύβιον] κισσίβιον 3., om. vulg. 2) τὸ ποιμ. καύκιον (καυλιον Wart.) ξυλ. 3. 2) τ. οἱ. χ. om. 3. — χισσύβιον vulg. 3) //Om. Gen.[a.b.] Lips., ex Etymm. transsumptum, vid. EtM. 515, 33. EtG. 323, 14. 7) Potius *Callim. fr.* 109. 9) //Gen.[a.] Lips. — καὶ βαθὺ κισσύβιον] Gen.[a.] Lips., βαθὺ κισσίβιον 1. 6. 23., om. vulg. 9) ἡδεῖ] Gen.[a.] Lips., ἡδείῳ 1. 6. 23., ἀδέϊ Call. 9) κηρῷ] 1. 6. 23. Lips., καρῷ Gen.[a.] Call. Verba κεκλυσμένον ἀδέϊ καρῷ in Call. pro lemmate sunt, quod inde ab Ox. I in *KE.* vel *KEK.* mutilarunt. 10) λελυμένῳ] 1. 6. 23. E. M. Y. Lips. ut Koehlerus conjecerat, λελυμένον Gen.[a.] Call. et ante Heins., λελουμένον vulg. 10) κεκονιαμένον] 1.[1.] 6. Gen.[a.], κεκονισμένον vulg. post Ox. I, καὶ κεκονισμένον Call., καὶ κουνισμένον Lips. 12) ὅταν τινὶ M. 15) //Om. Gen.[a.b.] Lips. 17) Gen.[a.] Lips. — ἔχον] Lips., ἔχοντα 1. 6. 23. (?) 18) κατασκευασθέν] 1. 6. 23. Gen.[a.] Lips., κατεσκευασμένον vulg. 18) ἔτι] Gen.[a.] Lips. et ante Ox. I, om. vulg. 18) γλυφ. ποτ.] ante Ox., *ΓΛΤ.* vulg. Circumscripta absunt ab Gen.[a.] Lips., μυρίζον ex Gl. illatum.

ἀντὶ τοῦ] προσόζον, ἤγουν ὀσμὴν πέμπον [καὶ μυρίζον] γλυφάνου, τουτέστι γλυφῆς. (ἀπὸ τοῦ γλύφω γλύφανος ποιητικῶς, ὥσπερ ἀπὸ τοῦ στέφω στέφανος. Gen.[a] Lips.)

Vet. *Ὥσπερ δὲ γίνεται ἀπὸ τοῦ στέφω στέφανος καὶ ἀπὸ τοῦ λείβω λίβανος, οὕτω καὶ ἀπὸ τοῦ γλύφω γλύφανος [ποιητικῶς].*

Vs. 29.

Rec. *Τοῦ περὶ μὲν χείλη: οὗ περὶ μὲν τὰ χείλη ὑψοῦ κισσὸς μηρύεται, ἀντὶ τοῦ πέπλεκται.* — (*Μηρύω ἐπὶ τῆς σχοίνου τῆς ἑλισσομένης.* 6.) — (*Ὑψόθι κισσός: ἐν τῷ τελευταίῳ μέρει τοῦ κισσυβίου, τουτέστιν ἐν τῷ ἄκρῳ τοῦ χείλους.* *H. Gen.[a])

Vet. (*Μαρύεται: ἤγουν μήρυμα ἀναλύεται καὶ ἀνέλκεται· μηρύω γὰρ τὸ κοινῶς κουβαριάζω.* 3. P. Gen.[b] *ἢ μαρύεται ἀντὶ τοῦ κλώθεται.* 3. P.) — (*Ὑψόθι κισσός: ἀπὸ τούτου κισσύβιον, ⟨ἢ⟩ οἱονεὶ χυσσίβιόν τι ὄν.* Gen.[b])

Vs. 30. 31.

Vet. *Κισσὸς ἑλιχρύσω: ὁ ἑλίχρυσος εἶδος φυτοῦ, οὗ τὸ ἄνθος ὅμοιον κρόκῳ καὶ οἷον χρυσοειδές. ἄλλοι δὲ τὸν ἑλίχρυσον βοτάνην λέγουσι κροκοειδῆ καὶ χρυσίζουσαν.* — (*ἙΛ. εἶδος φυτοῦ ἔχοντος τὸ ἄνθος χρυσοειδές.* 5. — *ΚΕΚ. συμπεπλεγμένος.* 3.)

Rec. *Κεκονισμένος: κονία ἡ ἄσβεστος, ἀφ' οὗ κονιάω κονιῶ τὸ ἀσβέστῳ χρίω, καὶ κεκονιαμένος τοῖχος ὁ*

29) *Περικυκλοῦται.* 3. *ἕλκεται.* 6. *συνάγεται.* C. *πεπλεγμένος ἀνέρχεται εἰς τὸ ὕψος.* 23. M. *πέπλεκται.* 23.

---

1) *ἤγουν*] Lips., *ὅ ἐστι* Gen.[a], om. vulg. 1) *γλυφάνου*] Gen.[a] Lips., *γλυφάνοιο δὲ* vulg. 3) *ὡς ἀπὸ* Gen.[a] 4) //Gen.[b] hac forma: *γλυφάνοιο: ὡς στ. στ. καὶ λείβω λίβανος, καὶ γλ. γλ.* 5) *λίβανος*] Gen.[b] Call., *λείβανος* Bas. II et vulg. 5) *ποιητ.* om. Gen.[b], ex Rec. adscitum. 8) //Gen.[a] Lips., hic sine lemmate. 8) *ου*] Gen.[a] Lips., *οὔτινος* vulg. 8) *ὑψοῦ*] Gen.[a] Lips., *ὑψόθι* vulg. 9) *μηρύεται*] Lips., *μαρ.* vulg. 10) Haec in Gen.[a] post *στροφὴν* p. 47. 9. inserta. 11) *αὐτοῦ* pro *τοῦ χείλους* *H. 13) *μηρύεται* Gen.[b] 13) *ἤγουν*] *ἢ* Gen.[b], om. 3. P. 14) *δὲ* pro *γὰρ* Gen.[b] 14) *τὸ κοινῶς* om. 3. Gen.[b] 18) //Gen.[b] sine *κισσός*. — *ἑλιχρ.* hic et in seqq. ante Brub. 18) *ἑλίχρυσον* sine *ὁ* Gen.[b] 18) *βοτάνης* pro *φυτοῦ* 2., qui potius simile scholion habere videtur atque 6., vid. p. 47. 7. 23) //Gen.[a] c. lemm. *κισσὸς ἑλιχρύσω κεκονισμένος*. 23) *κονία κονιάω τὸ* Gen.[a] 24) *κεκονισμένος* pro *κεκονιαμένος* Gen.[a]

ἀσβέστῳ κεχρισμένος. ἐνταῦθα δὲ τὸ κεκονιμένος ἴσως ἀντὶ τοῦ κεχρισμένος ἁπλῶς ἀπὸ τοῦ κεκονιαμένος κατὰ συγκοπήν. — (Κισσὸς ἑλιχρύσῳ κεκονιμένος: Lips. κονίομαι τὸ κονιορτῷ φύρομαι, ἀφ' οὗ καὶ τὸ εἰς μάχην ἑτοιμάζομαι ἀπὸ τοῦ προτέρου. ἐνταῦθα κεκονιμένος ἀντὶ τοῦ συμπεφυρμένος ἁπλῶς καὶ κεχρισμένος. I. M. Y. Lips.) — (⟨Ἑλίχρυσος⟩: εἶδος βοτάνης, οὗ τὸ ἄνθος χρυσοειδές. 6.) — Ἡ δὲ κατ' αὐτόν, τὸν κισσὸν δηλονότι, ἕλιξ, ἤγουν πλοκή, εἱλεῖται, τουτέστι στρέφεται τὴν ἑαυτῆς στροφήν, ἀγαλλομένη, ἀντὶ τοῦ θάλλουσα, καρπῷ κροκόεντι, ἤγουν κρόκου χροιὰν ἔχοντι. — (Ἡ δὲ τοῦ κισσοῦ ἕλιξ εἱλεῖται ἀγαλλομένη τῷ οἰκείῳ καρπῷ τῷ κροκόεντι. χαίρει μονονουχί, ὅτι τοιοῦτον προΐσχει καρπόν. ἡ μεταφορὰ ἀπὸ τῶν ἐμψύχων εἰς ἄψυχον, ὡς καὶ Ὅμηρος·

γέλασε δὲ χθὼν παμμήτωρ.

ἢ ἀγαλλομένη καὶ ἀγάλλουσα καὶ τέρψιν παρέχουσα τοῖς ὁρῶσιν ἐπὶ τῷ καρπῷ τῷ βεβαμμένῳ ὡς ὑπὸ κρόκου. 6.)

Vs. 32.

Rec. Ἔντοσθεν δέ, ἀντὶ τοῦ ἔνδον, γυνή τις κατεσκεύασται θεῶν δαίδαλμα, τουτέστιν ἔργον οὕτω ποικίλον ὡς μὴ δοκεῖν ἄνθρωπον αὐτὸ κατασκευάσαι καὶ ποικῖλαι, ἀλλὰ θεούς.

30) Ἐπανάληψις τὸ σχῆμα. E. M. N. — Κνήκῳ. M. ἑλίχρυσος τὸ τοῦ κισσοῦ ἄνθος· ἄνθει ἑλιχρύσου ἐναλίγκιος. Z. ex Suida. ἄνθει τοῦ κισσοῦ πεπληρωμένος. K. — [Κεκονιμένος:] ἀληλιμμένος, ἤγουν κεκονιαμένος. M. συμπεφυρμένος. P.

31) Τῷ ἄνθει. K. M. ὑπὸ τοῦ καρποῦ. P. — Συστροφή. C., ἡ συστροφὴ ἡ οὖσα κατ' αὐτὸν τὸν κισσόν. H. — Περιπλέκεται, στρέφεται. P. ἑλικοειδῶς ἀνέρχεται. M. — Καλλωπιζομένη. M.

32) Ἄγαλμα ποικίλως κατεσκευασμένον. M.

---

1) κεκονιμένος] Duebn., κεκονισμένος vulg. 2) ἁπλῶς ἀ. τ. κ. om. Gen.ª 4) τῷ κονιορτῷ Lips. 7) Wart. seqq. male lemma ΚΙΣ. praefixerunt. Verum vidit Hamak. 7) ἄνθος] Hamak., εἶδος cod., cf. SchVet. 8) Gen.ª Lips. — ἡ δὲ κατ' αὐτόν] Gen.ª Lips., ἁ δὲ κατ' αὐτὸν ante Ox. I, nihil nisi ΑΤ. vulg. 10) ἀγαλλομένη] Lips., ἀγαλομένη Gen.ª, ἀγαλλομένα Call., ΑΓΑ. vulg. post Ox. I. 10) καρπῷ κρ.] Gen.ª Lips. et ante Ox., ΚΡ. vulg. — ἤγουν pro ἀντὶ τοῦ Gen.ª 13) ἡ μεταφορὰ Wart. 14) Hom. Il. Τ, 362, ubi potius γέλασσε δὲ πᾶσα περὶ χθών. Scholiasta memoria lapsus videtur. 19) //Lips. — Ἔντοσθεν δὲ] Lips. et ante Ox. I, ΕΝ. vulg. 19) γυνή] γυν ʹ vulg. In Lips. vox evanida. 19) κατεσκευασμένη 2.², κατασσκευασμένη 2.¹ 21) αὐτὴν 2., οὕτω 23. 21) καὶ] 1. 2. 6. 23. Lips., ἢ M. vulg.

Vet. (*Ἔντοσθι δὲ γυνά τι*:) τινὲς τὴν Πανδώραν φασίν. ((⟨οὐ⟩ δύναται δὲ ἐν τῷ γυνῇ) εἶναι. |γράφεται καὶ γυνά, τι.| τὸ δέ τι πρὸς τὸ δαίδαλμα. (*Ἀμερίας*.)

Vs. 33—35.

Rec. *Ἀσκητὰ πέπλῳ τὲ καὶ ἄμπυκι*: ἀσκητή, ἤγουν κεκοσμημένη, πέπλῳ τε, τουτέστιν ἐνδύματι, καὶ περικεφαλαίᾳ· τοῦτο γὰρ τὸ *ἄμπυκι*. — (*AM.* κοινὸν περικεφαλαίᾳ. 23.)

Vet. Ἢ *ἄμπυκι*: τῷ συνδέοντι τὰς τρίχας ἀπὸ τοῦ ἀμπέχειν.

Rec. *Πὰρ δέ οἱ ἄνδρες καλὸν ἐθειράζοντες*: (παρὰ δὲ αὐτῇ ἄνδρες καλῶς ἐθειράζοντες, Lips.) ἤγουν κόμην τρέφοντες. κομᾶν γὰρ καὶ ἐθειράζειν ταὐτόν, πλὴν ὅτι τὸ μὲν κομᾶν ἐστὶ κοινόν, τὸ δὲ ἐθειράζειν ποιητικόν.

Vet. Ἄλλως. *Ἐθειράζοντες*: κομῶντες, εὔτριχοι· ἔθειραι γὰρ αἱ ἐξ ἔθους γινόμεναι τρίχες. — [Ἢ] *ἐθειράζοντες*: ⟨γενειῶντες⟩ καὶ καθεικότες τὰ γένεια. ἢ κομῶντες· ἔθειρα δὲ ἡ θρὶξ ἡ ἐξ ἔθους τημελουμένη. Ἄλλως. Κομῶντες τὰς τρίχας, οὐ γενειῶντες, ὥς τινες. ἔθειρα γὰρ ἡ τῆς κεφαλῆς θρίξ, ὅθεν Ἀρίσταρχος ἐν Ὁμήρῳ ἔγραψε·

κυάνεαι δ' ἐγένοντο γενειάδες ἀμφὶ γένειον,

οὐκ ἐθειράδες. — (Ἄλλως. Ὑποχωρεῖν θεραπεύειν φησί. Gen.[b.])

33) Ἠσκημένη, κατεσκευασμένη, τετημελημένη. 5. κεκαλλωπισμένη. C. κεκοσμημένη ἐνδύματι. P. — Κεφαλοδέσμῳ τῷ ἄνω πυκάζοντι. 5.

34) Ἀμοιβαίως ἐκ διαδοχῆς. M.

35) Οὐ φροντίδα ποιεῖται, τί αὐτοὶ λέγουσιν. M.

---

1) //5. Gen.[b.], ex quibus additamenta accesserunt. 2) γρ. κ. γ. τι desunt in 5. Gen.[b.] — γυνά, τι] Call. vulg., γυνά τι Reisk. seqq. 3) τὸ δὲ τὸ ante Xyl. 5) //Lips. sine lemmate. 6) ἤγουν] 1. 2. 6. 23. I. K. Lips., καὶ ἡ E., ἡ vulg. 6) πέπλῳ τε] 2. 23. Lips., πέπλῳ vulg. 7) τῷ ἄμπυκι Lips. 9) //Gen.[b.] — συνέχοντι 5. 11) //Gen.[a.] et sine lemmate Lips., πὰρ δέ οἱ ἄ. om. Gen.[a.] 13) ταὐτόν] 1. Gen.[a.] Lips., ταὐτό vulg. 15) //Om. Gen.[a.b.] Lips. 15) εὔτριχες p. 3. 16) //Gen.[b.] — ἐθειράζοντες] Gen.[b.], ἐθειράδες vulg. 17) καθεικότες] Gen.[b.], καθήκοντες vulg. 18) ἔθειρα .... κομῶντες om. Gen.[b.], ubi ab altero κομῶντες ad alterum aberratum. 20) Ἀρίσταρχος] Lehrsius de Arist. p. 121, Ἀριστοτέλης vulg. 21) *Hom. Od.* Π, 176. — κυάνεα Gen.[b.] et ante Xyl. 21) γένει' Gen.[b.] et ante Brub. 24) ἐπιμελημένη cod.

Rec. Ἀμοιβαδὶς ἄλλοθεν ἄλλος: ἄλλος ἀπὸ τοῦ ἄλλου μέρους ἀμοιβαδὶς νεικείουσιν ἐπέεσσιν, ἤγουν λόγοις ἐρίζουσι πρὸς ἀλλήλους κατὰ ἀμοιβήν, περὶ αὐτῆς τὴν ἔριν ποιούμενοι δηλονότι. — Τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς: ταῦτα δὲ ἃ αὐτοὶ φιλονεικοῦσιν, ἤγουν αἱ φιλονεικίαι δὲ αὗται καὶ αἱ ἔριδες, ἃς αὐτοὶ φιλονεικοῦσι περὶ αὐτῆς, τῆς φρενὸς αὐτῆς οὐχ ἅπτονται.

Vs. 36. 37.

Vet. Ἄλλοκα μὲν τῆνον: τὸ μέν τι νοήσεως ἐστί, τὸ δὲ ὁράσεως. *** ἀδύνατον γὰρ ὁμολογουμένως ὡς ἐν γραφῇ κίνησιν εἶναι ζωτικήν· ἀλλὰ *** τῶν γλυπτῶν εἰκόνων κατάλληλοι ἦσαν τοῖς λελεγμένοις. — (Ἄλλως. Gen.[b]) Ταῦτα καθ' ὑπερβολὴν Ὅμηρος ἔλεγεν ἀληθέστερον·

χρύσειαι ζωῇσι νεηνίσιν εἰοικυῖαι.

Rec. Ἄλλως. Ἄλλοκα μὲν τῆνον: ἄλλοτε μὲν πρὸς ἐκεῖνον τὸν ἄνδρα βλέπει γελῶσα· ἄλλοτε δὲ πρὸς τοῦτον ῥίπτει, ἤγουν τρέπει, τὸν νοῦν.

Vs. 38.

Vet. Κυλοιδιόωντες: οἰδοῦντες τὰ κύλα τὰ ὑπὸ τοὺς ὀφθαλμούς. συμβαίνει γὰρ τοῖς ἀγρυπνοῦσιν ὡς ἐπίπαν οἰδαίνειν τὰ κύλα· ὅπερ οἱ πολλοὶ ἀναγκαίως δι' ἔρωτα πάσχουσι. (Ἄλλως. Οἱ τὰ κύλα τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς οἰδοῦντες καὶ ἐξογκούμενοι. Gen.[b]) |γίνεται δὲ παρὰ τὸ τὰ

36) Πρὸς ἐκεῖνον βλέπει. E.

---

1) /Lips. sine lemmate. 1) ἄλλος] Lips., om. vulg. 2) ἀμοιβαδὸν P. 3) κατὰ διαδοχήν, ἀμοιβὴν περὶ αὐτὴν M. 4) ποι. δηλ.] Lips., δηλ. ποι. vulg. 4) //Gen.[a] Lips., in hoc pro lemmate spatium. — τὰ δ'] Gen.[a] Bas. II., τάδ' Call. — ἅπτεται αὐτᾶς om. Gen.[a] 5) ἤγουν om. Gen.[a] 6) καὶ αἱ] 1. 23. E. P. Gen.[a] Lips., καὶ vulg. 7) ἅπτονται] Gen.[a] Lips., libri Duebneri et vulg., ἅπτεται ante Heins. 9) /Gen.[b] — τι] τοι vulg. 10) Lacunam indicavit Duebnerus. 10) ὡς] add. 5. (Gen.[b]) 11) ζητητικὴν Gen.[b] 12) λεγομένοις 5. 14) *Hom. Il.* Σ, 418. — ζωοῖσι Gen.[b] — νεηνίσιν] Gen.[b], νεανίσιν vulg. — ἐοικυῖαι Gen.[b] et ante Heins. 15) /Lips. sine lemmate. 16) τὸν ἄνδρα βλέπει] Lips., βλ. τὸν ἄνδρα vulg., τὸν om. Reisk. seqq. 17) ἤγ. τρ. τ. νοῦν] Lips., τ. νοῦν ἤγ. τρ. vulg. 19) //Gen.[b], ubi κυλοιδιῶντες οἱ οἰδ. 19) κύλα] κοῖλα vulg. et ita in seqq. 19) τὰ ante ὑπὸ om. Gen.[b] 21) ἔρωτα] Gen.[b] vulg., ἔρωτος Kiessl. 23) γίνεται . . . οἰδαίνειν om. Gen.[b]

κύλα οἰδαίνειν·] κύλα δὲ τὰ ὑποκάτω τῶν ὀφθαλμῶν, τὰ ὑπώπια (μεταθέσει τοῦ στοιχείου p.). — *Ἐτώσια μοχθίζοντι*: ἀντὶ τοῦ μάτην κάμνουσι. τίς γὰρ ἂν ἄγαλμα πεῖσαι δυνήσηται;

* *Rec.* [*Ἄλλως. Ὁ νοῦς·*] οἱ δὲ ὑπὸ τοῦ ἔρωτος κατὰ πολὺ κυλοιδιόωντες, ἤγουν κυλοιδιῶντες, τουτέστι τοὺς ὀφθαλμοὺς ἐξογκούμενοι, ἐτώσια, ἀντὶ τοῦ ματαίως, μοχθίζοντι, ἤγουν μοχθοῦσι, κοπιῶσι. μοχθίζω ποιητικόν, μοχθῶ κοινόν.

Vs. 39—41.

Vet. *Γριπεύς τις γέρων*: γριπεὺς ὁ ἁλιεύς, καὶ γρῖπος τὸ δίκτυον παρὰ τὸ τοὺς ἰχθύας ἀγρεύειν. —* (*Γριπεὺς ὁ ἁλιεύς.* παρὰ τὸ γρῖπος, τὸ δίκτυον, παρωνύμως γριπεύς· γρῖπος δὲ παρὰ τὸ ἀγρεῖν οἷον ἄγριπος ἐνδείᾳ τοῦ α· ἀγρεῖν δὲ τὸ λαμβάνειν. οὕτω Θέων ἐν τῇ ὑπομνήσει Θεοκρίτου. Etymm.) — *Λεπράς*: τραχεῖα· [ἢ λευκή·] ἢ ὑπὸ τῶν κυμάτων λεαινομένη· ἢ ὑψηλή, ἐπεὶ καὶ λέπας τοῦ ὄρους τὸ ἄκρον φασίν· ἢ λευκὴ καὶ λέπρᾳ ἐοικυῖα. — (*Λεπράς*: ἡ λευκή. 3.) — Τινὲς δὲ τὴν τραχεῖαν ἔφασαν, τὴν ἐκλεπρωθεῖσαν καὶ ἐκσπιλωθεῖσαν, οἷον ἐκβρωθεῖσαν.

Rec. [*Ἄλλως. Ὁ νοῦς·*] (ἐπὶ τούτοις κατεσκεύασται 1. 2. 6. 23. E. Lips.) γριπεύς τε γέρων, ἤγουν δικτυοθήρας, καὶ

38) *Διανεύοντες*, στρέφοντες τοὺς ὀφθαλμούς. E. N. — *Πάσχουσι*, μοχθῶσιν. M.

39) Ἐπὶ τούτοις δέ. E. M. N. P. ἐν τούτοις. C.

40) *Λελεπρασμένη.* 2. ὀστρέοις κεκαλυμμένη. 23. M. ὀστρεώδης E. N. — [*Σπεύδων*:] ὥστε ῥῖψαι αὐτὸ εἰς τὴν ἅλα. 2. ἀγωνιζόμενος. M. — [*Βόλον*:] τόπον ἁλιευτικόν. 3. εἰς βολὴν τῶν ἰχθύων. 5. πᾶν τὸ βαλλόμενον ἐπ' ἄγρᾳ βόλος καλεῖται. 6.

---

1) ὑπὸ κάτω 3. 5. Vulc. 1) τὰ ὑπώπια] 3. 5. Gen.[b] Vulc., om. p. vulg. 2) //Gen.[b] sine ἀντὶ τοῦ. 3) κάμνοντι Gen.[b] 5) //Lips. et inde a μοχθίζοντι Gen.[a] 5) ὑπὸ τοῦ] P. Lips., ὑπ' vulg. 6) κυλοιδιόοντες Lips. 7) ἀντὶ τοῦ] E. Lips., καὶ vulg. 7) ματαίως] Lips., μάταια vulg. 8) ἤγουν μοχθοῦσι, κοπ.] P. Lips., καὶ κοπιῶσι vulg., πάσχουσι, κοπιῶσι, μοχθῶσιν Gen.[a], cf. GlM. 8) ποιητικῶς Lips. 11) //Gen.[b] sine lemmate. 11) γρίπος ante Duebn. 12) Vid. Adn. 16) //Gen.[b] sine ἢ λευκή. — ἡ ὑπὸ ante Heins., ἡ πὸ Gen.[b] 17) λεαινομένη] Gen.[b], λειανομένη Vulc., λευκαινομένη vulg. 19) //Om. Gen.[a b] Lips. 20) ἐκσπηλ. ante Heins. 20) ἐκβρ.] καὶ βρ. vulg., καταβρ. ex conj. Jacobsii Duebn. 21) Lips. c. lemm. τοῖσδε μετά. — ὁ νοῦς affertur ex 1. 2. 6. 23. (?) — δὲ κατεσκευάσθη E. 22) τε] 1. 2. 6. 23. I. P. Y. Lips., τις vulg. — 26) κεκαλυμμένη] περικεκ. M., κεκαλλυμένη 23. — ὀστρώδης E.

πέτρα λεπράς, τουτέστι βρύα ἔχουσα, ἐφ' [ἃ καὶ ἐν] ᾗ [πέτρᾳ] σπεύδων ὁ πρέσβυς μέγα δίκτυον ἕλκει εἰς βόλον, ἤγουν εἰς ἄγραν, εἰς τὸ ῥῖψαι αὐτὸ ἐπὶ ἄγρᾳ ἰχθύων, ὡμοιωμένος ἀνδρὶ μοχθοῦντι κατὰ τὸ κρατερόν, ἤγουν κατὰ πᾶσαν αὐτοῦ τὴν ἰσχύν.

Vet. Ἢ (*κάμνοντι τὸ καρτερικὸν ἀνδρί*: Gen.[b]) *τὸ ἰσχυρὸν τῆς δυνάμεως ἀνδρὶ ἀκμάζοντι ὅμοιον ἔχων.*

Vs. 42.

Vet. *Φαίης κεν γυίων νίν*: *εἴποις ἂν αὐτὸν ἐκ τῶν μελῶν τοῦ σώματος ἁλιεύειν, ἢ ἐκ πάσης δυνάμεως ἧς ἔχει. — Ἐλλοπιεύειν δέ ἐστι τὸ ἔλλοπας, ἤγουν ἰχθῦς, ἀγρεύειν· ἔλλοπες γὰρ οἱ ἰχθύες παρὰ τὸ ἐν λεπίσιν εἶναι, ἢ παρὰ τὸ λεπιδωτὸν τῶν ἰχθύων, ἢ παρὰ τὸ ἐλλείπεσθαι ὀπὸς καὶ φωνῆς. — (Τὸ δὲ ἐλλοπιεύειν τοὺς ἰχθύας ζωγρεῖν, λαμβάνειν.* Gen.[b] *ἔλλοπες γὰρ οἱ ἰχθύες ἢ παρὰ τὴν λεπίδα, ἢ ὅτι ἐλλειπομένην ἔχουσι τὴν ὄπα.* 5. Gen.[b])

Rec. *Ἄλλως. Εἴποις ἂν ἐλλοπιεύειν αὐτόν, ἤγουν ἰχθυᾶσθαι, ἐπὶ τῇ τῶν ἰχθύων ἄγρᾳ μοχθεῖν, ὅσον σθένος, ἤγουν ὅση δύναμις, τῶν μελῶν. ὁ σχηματισμὸς οὗτος καὶ τοῖς κοινοῖς ἐστὶ συνήθης, οἷον „συλλαβοῦ ὅση σοι δύναμις· ἐκκλίνω τόδε ὅση μοι ἰσχύς.“ ἐλλιπῶς δὲ ταῦτα λέγεται. τὰ γὰρ ἐντελῆ· „συλλαβοῦ κατὰ τὴν δύναμιν ὅση σοί ἐστι“ καὶ „ἐκκλίνω τόδε κατὰ τὴν ἰσχὺν ὅση μοί ἐστιν.“ εἶχε δ' ἂν ταῦτα ὁμοίως τῷ*

τῶν οἳ νῦν βροτοί εἰσι,

καὶ σαφέστερα ἦν, εἰ οὕτως ἂν ἐλέγετο „συλλαβοῦ κατὰ

---

1) *λεπράς, τουτ. βρ. ἔχ.*] Lips. Call. et codd. Duebneri, *λέπρὰς, τ. βρ. ἔχ.*, Brub. II, *λέπρας, τ. βρ., ἔχ.* Xyl. vulg. 1) Inclusa om. Lips. 2) *εἰς βόλον*] Lips., *ἐς β.* vulg. — *ἤγουν ἄγραν* Lips. 3) *αὐτὸ*] M. P. Lips., om. E. vulg. — *ἄγρᾳ*] E. P. Lips., *ἄγραν* M. vulg. Verba *εἰς τὸ . . . ἄγρᾳ* om. I. — *ἰχθύων*] add. E. I. M. P. Lips. 3) *ὁμοιωμένος* ante Heins., *ὡμοιωμένως* P. 4) *κρατερὸν*] Y. Lips., *καρτερὸν* vulg. 4) *μετὰ* pro *κατὰ* Heins. et vulg. ante Reisk. — *πᾶσαν τὴν βρύα ἔχουσαν ἰσχύν* I. 6) //Gen.[b] 9) //Gen.[b], ubi *κε γύων* et *εἴπης*. 11) //Om. Gen.[a.b.] Lips. 11) *ἰχθεῖς* ante Heins. 13) *λεπιδωτὸν*] Brub. mg. et vulg., *λεπιδωτοὺς* ante Heins. 13) *ὀπὸς*] p., *ὀπῆς* vulg. 17) //Lips. c. lemm. *φαίης κὲν ὅσον σθένος ἐλλοπιεύειν*. In reliquo Id. I hic liber lemmata non habet, quanquam iis partim spatia relicta sunt. Gen.[a] haec habet: *ἐλλοπιεύειν ἰχθύας ἀγρεύειν, ἰχθυᾶσθαι . . . . μοχθεῖν* reliquis scholii omissis. 18) *τῇ — ἄγρᾳ*] I. M. Y. Gen.[a] Lips. et tac. Gaisf., *τὴν — ἄγραν* vulg. 19) *σχημ. μὲν οὗτος* M. 20) *σοι*] *σοί ἐστι* M., om. Lips. vulg. 21) *ἐλλιπῶς*] 6. Lips., *ἐλλειπῶς* vulg. 25) *Hom. Il. A*, 272. — *νῦν* om. Lips. 26) *σαφέστερον* 23.

τὴν ὅση σοι δύναμίς ἐστι“ καὶ „ἐκκλίνω τόδε κατὰ τὴν ὅση μοι ἰσχύς ἐστι.“ ταῦτα γὰρ ἀπὸ τοῦ τ ὴ ν ἀρξάμενα, εἶτα οὐκ ἀποδεδωκότα τὸν λόγον πρὸς αὐτό, ἀλλ' ὥσπερ ἐκ μεταμελείας εἰς ἕτερον μεταπεσόντα σχηματισμόν, δῆλα γίνεται ἀπὸ τῆς ἀρχῆς οἷ ἔτεινεν, εἶτα ὅποι μετακλιθέντα ἀποδίδοται. νῦν δὲ ἐλλιπέστερον λέγεται τοῦ κ α τ ὰ τ ὴ ν ἀπόντος. κατὰ ταὐτά ἐστιν ἐλλιπὲς καὶ τὸ

ὅσος ὄχλος ἄμμιν ἐπιρρεῖ.

τὸ γὰρ ἐντελές· βαβαὶ τοῦ ὄχλου, ὅσος ἡμῖν ἐπιπίπτει.

Vs. 43. 44.

Vet. Ὠ δ ή κ α ν τ ι: Αἰολικῶς [ἢ Δωρικῶς] ἀντὶ τοῦ [ᾠδήκασιν, ἤγουν] τεταυρισμένῳ ἢ πεφυσιωμένῳ καὶ ἐξωγκωμένῳ ὄντι· οἰδῶ γὰρ [οἰδήσω] τὸ ἐξογκοῦμαι. (οἰδῶ, οἰδήσω ᾤδηκα ᾠδήκημι Αἰολικῶς. Gen.[b]) — Ἶ ν ε ς δὲ τὰ παρακολουθοῦντα νεῦρα ταῖς φλεψίν. ἐλέγετο δὲ παρ' αὐτὰς καὶ ὁ υἱὸς ἶνις· ἀπὸ γὰρ τούτων τῶν μερῶν τὸ σπέρμα συνάγεσθαι δοκεῖ. — Τ ὸ δ ὲ σ θ έ ν ο ς ἄ ξ ι ο ν ἥ β α ς: ἤγουν (τὸ σθένος αὐτοῦ 3. 5. P. Gen.[b]) ἄξιόν ἐστι νέῳ τινὶ εἶναι. — Ἄλλως. Ἡ δὲ δύναμις ἀξία τῆς ἡλικίας αὐτοῦ. ἴσως γὰρ εὐῆλιξ ἐγγέγλυπτο τῷ κισσυβίῳ εὐμήκης τε τὴν σύνθεσιν τῶν μελῶν. ἢ ἀνάλογον τῆς ἀκμῆς τὸ σθένος αὐτοῦ.

43) Γ ρ ά φ ε τ α ι α ἵ δ έ ο ἵ. 3. — Ὀγκωμέναι εἰσί. E. ἐξογκοῦνται. C.

44) Ἀκμῆς. 23. ἤγουν νεανικῆς ἡλικίας. 23. M.

---

4) μετασχημ. E. 5) οἷ] Lips. Gaisf., οἵ E., οἵα vulg. 5) ὅποι] Lips., ὅπη vulg. 6) λέγεται] E. Lips. vulg., om. Kiessl. seqq. 6) τ ο ῦ κ α τ ὰ τ ὴ ν] κατὰ τοῦ την E., καὶ τοῦ τὴν Lips. vulg. 7) ταὐτὰ] Toupio auctore Kiessl. seqq., ταῦτα Lips. vulg. 8) *Id. XV*, 59. 9) ἐπιπίπτει] 2. 23. M. Lips., ἐμπίπτει vulg. 11) //G e n.[b] — Αἰολικῶς ἢ] Adert., Ἀττικῶς ἢ 5. Gen.[b], om. vulg. 11) ᾠδήκασιν ἤγουν om. Gen.[b] 12) τεταυρισμένῳ ἢ πεφυσιωμένῳ καὶ ἐξωγκωμένῳ ὄντι] γεγαυρισμένοι ἢ πεφυσιωμένοι καὶ ἐξογκωμένοι ὄντες 3., γεγαυρισμένος (τεταυρισμένος Gen.[b], ταυρισμένως 5.) ἢ πεφυσιωμένος (πεφυσσ. Gen.[b]) καὶ ἐξωγκωμένος ὢν (ὢν ante καὶ Gen.[b]) vulg. 13) οἰδήσω om. Gen.[b] 13) ὀγκοῦμαι Gen.[b] 13) οἰδῶ οἰδήσω in cod. ante ἀντὶ τοῦ leguntur, unde transposui. — ᾠδήκω cod. 14) //G e n.[b] P h a v. sine δέ. 15) φλέβαις Gen.[b] 15) αὐτὰς] Duebnerus, αὐτοῖς vulg., παρὰ Δωριεῦσι Phav. 16) μερῶν] Duebnerus, μελῶν vulg. 17) //G e n.[b] post ἢ ἄλλως p. 55. 1. cum lemm. ἄ ξ ι ο ν ἥ β η ς. 18) //G e n.[b] —Ἄλλως] 3. 5. P. Gen.[b], ἢ vulg. 19) ἐγγέγλυπτο] ἐγέγλυπτο vulg., ἐζωγραφήθη 3. 5. P. Gen.[b] 20) τε παρὰ τὴν Gen.[b] 20) σύνθεσιν] Gen.[b] vulg., σύνδεσιν Reisk. seqq.

Rec. [Ἄλλως. Ὁ νοῦς·] ᾠδέ οἱ ᾠδήκαντι: οὕτως εἰσὶν ᾠγκωμέναι κατὰ τὸν αὐχένα αὐτοῦ πάντοθεν αἱ ἶνες, ἤγουν τὰ νεῦρα, καίπερ ὄντι πολιῷ, τουτέστι λευκῷ τὰς τρίχας· ἡ δὲ ἰσχὺς ἀξία ἥβης, ἤγουν ἀκμῆς.

Vs. 45—47.

Vet. [Τυτθὸν δ' ὅσον: τυτθὸν κυρίως τὸ ἐπιτίτθιον βρέφος παρὰ τὸν τιτθόν, ὃ σημαίνει τὸν μαζόν, ὅθεν καὶ τυτθὴν λέγουσι τὴν ὀλίγην ἢ μικράν.] — [Κῶρος, ἢ κοῦρος, νέος ἀπὸ τῆς τοῦ ὀφθαλμοῦ κόρης, οἱονεὶ χόρη τις οὖσα ἀπὸ τοῦ δι' αὐτῆς χεῖσθαι τὸ διορατικὸν πνεῦμα. κόρη δὲ καὶ ἡ παρθένος, ἡ ὑγροφυὴς καὶ τρυφερὰ ἀπὸ τοῦ κορεῖν τὸ καλλωπίζειν, ὃ καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ εἴρηται· ἢ ἡ καθαρὰν καὶ ἄφθορον ἔχουσα τὴν ἡλικίαν· κορεῖν γὰρ τὸ καθαίρειν, ἀφ' οὗ καὶ νεωκόρος· ἢ παρὰ τὸ κείρειν ἡ κειρομένη ἔτι καὶ νηπιάζουσα. ἀφ' ἧς καὶ τὸ κῶρος καὶ κοῦρος, ὁ ἁπαλὸς καὶ τρυφερὸς παῖς.]

Rec. Ἄλλως. Τυτθὸν δ' ὅσον ἄποθεν: ἄπωθεν δὲ τοῦ γέροντος, (ἀντὶ τοῦ ἀπὸ τοῦ γέροντος, E. Lips.) μετὰ τὸν γέροντα τὸν κατὰ τὴν θάλασσαν πονούμενον, τοσοῦτον διάστημα ὅσον ὀλίγον. τοῦτο γὰρ δύναται τὸ ὀλίγον ὅσον, προταττόμενον ἔχον τὸ ὀλίγον τοῦ ὅσον, καθὰ τὸ ὅστις ἔχει τὸ ὃς τοῦ τίς προταττόμενον, ἃ ἐν τῇ διαιρέσει τοῦ λόγου ὕστερον ἐξ ἀνάγκης ἀποδίδοται, οἷον „τίς ὃς τάδε ἐποίησε“

45) Ὅσον ὀλίγον ἐκ παραλλήλου Ἀττικῶς. 23. M. — Τοῦ ἐν τῇ ἁλὶ τρυχομένου. πονουμένου. 23. M. τοῦ δαμαζομένου ἐν τῇ ἁλί. 2.

46) Πυρραῖς, πεπείροις E. N. — [Σταφυλαῖσι:] ἔκτασις Ἀττική. M. — Θάλλει. M. — Ἄμπελος. C. M. P. χωρίον, ἀμπελὼν E. N.

---

1) //Lips., ubi initium ante κατὰ evan. — ᾠδέ οἱ] ante Heins., ὡς δέ οἱ vulg. 2) ὀγκωμέναι ante Kiessl. (recte Phav. s. v. ᾠδήκαντι). 3) ἐόντι 1. 3) τουτέστι] 1. 6. 23., ἤγουν Lips. vulg. 6) //Om. Gen.[a.b.] Lips., ex Etymol. ductum, vid. EtM. 772, 12. 6) ἐπιτύτθιον ante Heins. 7) τιτθόν] Toupio auctore Kiessl. seqq., τυτθὸν vulg. 8) //Schol. om. Gen.[a.b.] Lips., ex Etymol. derivatum, vid. EtM. 529, 32. EtG. 338, 3. 9) χόρη] Etymm. et Suid. s. v. κόρη, χώρη vulg. 11) ἡ ante ὑγρ. om. Reisk. seqq. 15) καὶ ante τρυφ. om. Reisk. seqq. 17) //Lips., ubi pro lemm. lacuna. 17) ἄπωθεν Lips. vulg., ἄποθεν ante Heins. 18) ἀντὶ τοῦ om. E. — ἄπο E.[3] (ἀπὸ E.[2] Lips.) 18) ἤγουν μετὰ E. 20) γὰρ] 1. 6. 23. M. N. Y. Lips. et ante Ox. II, γὰρ καὶ E. (?), καὶ vulg. 21) ὅστις ἔχον E. 22) τις Kiessl. seqq. —24) ὅσον ὀλίγον om. M. 25) πονουμένου om. M. 26) πυραῖς codd. 26) σταφυλαῖσι in M. super primis duabus syllabis productionis signa habet.

καὶ „τοσοῦτον ἀπέχει τόδε τοῦδε ὅσον ὀλίγον,“ ἐν ᾧ τὸ ὅσον ἀπὸ ἴσου διαστήματος ἑτέρου ἐγνωσμένου ἀπαιτεῖ τὸν λόγον δείκνυσθαι· εἶτα, ὥσπερ μὴ προχείρου τούτου ὄντος, τὸ ὀλίγον ἀποδίδοται καθολικῶς, ὑφ' ᾧ τόδε τὸ διάστημα καὶ τόδε εἰσίν· ὥσπερ εἴ τις πρὸς τὸ „τίς ὅδε ἐστί;“ τὸ ἄνθρωπος ἀποδοίη, τοῦ τίς τὴν ὑπόστασιν αἰτοῦντος καὶ τὸ ἄτομον. ὥσπερ δὲ τὸ ὅσον ἐν τοῖς τοιούτοις ὑποτάττεται, κατὰ τὰ αὐτὰ ταῦτα καὶ τὸ οἷον ἀκολουθίαν ἔχει ὑποτετάξεσθαι. — Τυτθὸν δ' ὅσον: τὸ πᾶν οὕτως· μετὰ τὸν γέροντα δὲ τὸν κατὰ τὴν θάλασσαν πονούμενον τοσοῦτον διάστημα ὅσον ὀλίγον ἀλωή, ἤγουν ἄμπελος, βαρεῖται καλῶς σταφυλαῖς πυρναίαις, ἤγουν πυρσαῖς, ἤδη πεπείροις δηλονότι, ἣν μικρός τις παῖς φυλάσσει ἐπὶ τοῖς φραγμοῖς καθήμενος. — (Ἁλιτρύτοιο: τοῦ ἐν τῇ ἁλὶ τρυχομένου, ἤγουν πονουμένου κατὰ τὴν θάλασσαν. Gen.[a]) — (⟨Πυρναίαις: ταῖς περκαζούσαις·⟩ παρὰ τῶν ἀκτίνων γὰρ πυρούμεναι πεπαίνονται. 6.)

Vet. Πυρναίαις: ὡρίμοις, περκαζούσαις. οἱ δὲ τὰς ἤδη ὥραν ἐχούσας τροφῆς. πύρνον γὰρ ἔνιοι τὴν τροφὴν λέγουσιν. ἢ πυρναίαις: ταῖς τρωξίμοις· ἐπάγει γοῦν ἑξῆς φοιτᾷ σινομένα τὰν τρώξιμον. ἢ ταῖς περκαζούσαις, παρ' ὅσον παρὰ τῶν ἀκτίνων τοῦ ἡλίου πυροῦνται. — Ἄλλως. Πυρναίαις: ταῖς περκαζούσαις ἢ τροφίμοις· πύρνος γὰρ ὁ σῖτος καὶ ἡ τροφή. — Ἀλωὴ σημαίνει τέσσαρα. κυρίως μὲν γὰρ λέγεται ὁ ἀμπελόφυτος τόπος ὡς κατὰ πολὺ λῷων τοῦ ἁπλῶς πεδίου. λέγεται ἀλωὴ καὶ ὁ δενδροφόρος τόπος, ἐπεὶ δευτέρως καὶ αὐτὸς λῷων τῆς ἁπλῶς γῆς. ἀλλὰ καὶ ὁ λαχανηφόρος τόπος ὁμοίως καὶ αὐτὸς διὰ τὴν αὐτὴν

---

1) ὀλίγον om. E. N. 2) Recte Hamak. distinxit; vulg. post διαστ. comma est, in Kiessl. seqq. etiam post ἐγνωσμένου. 4) ἐφ' ᾧ E. 8) ὑποτετάξεσθαι] E. Lips., ὑποτάξεσθαι vulg., ὑποτάξασθαι M., ὑποτάσσεσθαι N. 9) //Lips. 11) ἀλωὴ] Lips., ἀλωὰ vulg., ἀλωὰ Reisk. seqq. 11) πυρνέαν ante Xyl., πυρνέαις 6. 12) πυρσαῖς, ἤδη πεπ.] Lips. Call., sine distinctione Brub., πυρσαῖς ἤδη, πεπ. Xyl. vulg. 16) Haec Wart. seqq. inseruerunt post περκαζούσαις l. 17. cf. l. 20. 17) //Gen.[b] 18) ὥρας Gen.[b] Vulc., ταῖς ὥρας 3. 18) τροφαῖς 3., τροφὰς Vulc. 19) ἐπ. γοῦν ἑξ.] ἐπ. οὖν ἑξ. vulg., ἑξῆς νῦν φησὶ Gen.[b], ἑξῆς νῦν Vulc. 20) φοιτᾷ] Gen.[b] et ante Heins., φοιτῇ vulg. 20) σινομένη Gen.[b] 20) ἢ om. Gen.[b] 21) πυροῦνται] Vulc., πυροῦται 5. Gen.[b], πυροῦσθαι vulg. 21) //Om. Gen.[a.b.] Lips. 23) //Gen.[b] Phav. ἀλωὴ] Gen.[b] Phav. Ἀλωὰ vulg., ἀλωὰ Heins., ἀλωὰ Kiessl. 25) ἁπλῶς] Gen.[b] Phav., ἁπλοῦ vulg. — πέδου Gen.[b] 25) ἀλωὴ] Gen.[b] Phav., ἀλωὰ vulg. 26) τῆς] Gen.[b] Phav., ut conj. Hamak., τοῦ τῆς vulg. 27) αὐτὸ Gen.[b] 27) αὐτὴν om. Gen.[b]

αἰτίαν. ἀλωὴ δὲ καὶ ἡ ἅλως. — *Ἐφ' αἱμασιαῖσι:* (*ἐπὶ τοῖς φρακταῖς*, p.) *παρ' ὅσον πλήρεις αἵματος γίνονται οἱ εἰσερχόμενοι ἐπ' αὐταῖς διὰ τὸ ἀκανθώδεις αὐτὰς εἶναι.* — (⟨*Αἱμασιαῖσι:*⟩ *φραγμοῖς ἠκανθωμένοις, εἰς ἃς οἱ εἰσερχόμενοι αἱμάσσονται τοὺς ἰδίους πόδας.* P.)

Vs. 48—51.

Vet. [*Ἥμενος δὲ καθεζόμενος. ἀπὸ τοῦ ἕω, τὸ καθέζομαι, ἕημι καὶ τὸ παθητικὸν ἕεμαι ἧμαι, ἡ μετοχὴ ἑέμενος ἥμενος.*] — [*Ἀν' ὄρχως: ὄρχος ὀρχάτου διαφέρει. ὄρχος γάρ ἐστιν ὁ βόθρος, εἰς ὃν ἐντίθεται τὸ φυτὸν πρὸς μοσχείαν, παρὰ τὸ ὀρύσσω ὄρυχόν τινα ὄντα· ὄρχατον δὲ τὴν ἐπίστιχον φυτείαν παρὰ τὸ ἔρχεσθαι. καὶ Ἀριστοφάνης τὸ μεταξὺ τῶν φυτῶν μετόρχιον ἐκάλεσεν ἐν τοῖς Γεωργοῖς, καὶ Ἡσίοδος ὄρχον λέγει τὴν ἐπίστιχον τῶν ἀμπέλων φυτείαν.*] — [*Φοιτᾷ: ὁρμᾷ. ὡς παρὰ τὸ πόρος πορῶ τὸ πορεύομαι, οὕτω καὶ παρὰ τὸ ὁδὸς γίνεται ὁδῶ, τροπῇ τοῦ δ εἰς τ ὀτῶ, πλεονασμῷ τοῦ φ καὶ ι φοιτῶ τὸ πορεύομαι καὶ ὁρμῶ.*] — [*Ἠ*] *ἄν' ὄρχως: τοὺς διδύμους τῆς ἀμπέλου, ἤγουν τοὺς κλάδους.* — *Πάντα δόλον τεύχοισα:* [*κατασκευάζουσα.*] *γράφεται καὶ κεύθοισα, ἀντὶ τοῦ κρύπτουσα· πανοῦργον γὰρ τὸ ζῷον.* — (*Τὸ παιδίον οὕτως,* ⟨*οὐχ*⟩ *ὡς τὸ παίγνιον, φέρνιον. Ἀττικῶς δὲ οὕτω παραπλήσιον τὸ κλειδίον λέγουσι.* 5. P. Gen.[a.b.]) — *Πρὶν ἢ ἀκράτιστον: πρὶν ἢ τοῦ ἀκρατισμοῦ ξηρὸν ποιήσει αὐτό.* — *Ἀκράτιστον δὲ νῦν, ὡς*

---

1) *ἀλωὴ*] Gen.[b.] Phav., *ἀλωὴ* vulg. — *καὶ* om. Gen.[b.] — *ἄλως* Phav. 1) //Om. Gen.[a.b.] Lips. 2) *τοῖς*] *ταῖς* cod. 7) //Om. Gen.[a.b.] Lips., ex Etymol. petitum, vid. EtM. 429, 5. 7) *δὲ*] ante Ox. I, *τὸ* vulg. 9) //Om. Gen.[a.b.] Lips., ex Etymol. ductum, vid. EtM. 634, 35. 12) *ἐπὶ στίχον* ante Heins. 13) *μετόρχιον*] EtM. et auctore Jungermanno ad Poll. VII, 145. Gaisf., *μετόρχμιον* vulg. — *Aristoph. fr.* 168, *Hesiod. Sc.* 294. 296. 15) //Om. Gen.[a.b.] Lips., ex Etymol. ductum, vid. EtM. 797, 48. EtG. 556, 10. 15. 18) //Gen.[b.] — *ἢ*] Call., *ἡ μὲν* Brub., *ἁ μὲν* Xyl. vulg., om. Gen.[b.] 19) *λαχιδίους* pro *κλάδους* 3. 5., *λαχισίους* P., *χαλιδίους* Gen.[b.] Vulc. 19) //Gen.[a.b.]; in Gen.[a.] cum sequente post *τόπων* p. 57. 15. extat. — *δόλον* om. Gen.[b.] 19) *κατασκ.* om. Gen.[a.b.] Vox ex SchRec. assumpta. 20) *καὶ* om. Gen.[a.b.] — *κεύθουσα* ante Xyl. 20) *πανοῦργον γὰρ τὸ ζ.* ante *ἀντὶ* leguntur in Gen.[a.b.], *γὰρ* om. Gen.[a.] 21) //Gen.[a.b.] — *τὸ* prius om. 5. P. 21) *οὐχ* dubitanter proposuit Duebnerus. 22) *φέρνιον* in codd. post *κλείδιον* legitur, unde transposui. — *δὲ τούτῳ* susp. Duebn. 22) *κλειδίον*] *κλείδιον* codd., *κλαδιον* Wart. 23) //Gen.[b.] — *πρινῆ* bis Gen.[b.] et in interpr. ante Xyl. 23) *τοῦ*] add. Gen.[b.], ubi *κρατισμοῦ*. 24) *αὐτὸν* p., *αὐτὸν ποιήσει* Gen.[b.] 24) //Gen.[b.] post Schol. Vs. 56. — *ἀκράτιστον*] Gen.[b.], *ἀκρατισμὸν* vulg.

οἶμαι, φησὶ τὸν ἀπὸ τῶν βρωμάτων κόρον τε καὶ μέθην. Ἄλλως. Οἱ μέλλοντες πολεμεῖν πρωΐας ἔτι οὔσης ὀλίγον τινὰ ἤσθιον ἄρτον καὶ ἄκρατον οἶνον ἔπινον, ὡς θερμοὶ ὦσι καὶ μὴ δειλιῶσιν, ὃ καὶ ἀκρατισμὸν ἐκάλουν. ἐνταῦθα δὲ ἀ κ ρ ά τ ι σ τ ο ν ἀντὶ τοῦ ἄγευστον. — Κ α θ ι ξ ε ῖ: γράφεται καὶ κ α θ ί ξ η βαρυτόνως λεκτέον· τὰ γὰρ ὑποτακτικὰ τῶν ῥημάτων ὁμοίως οἱ Δωριεῖς ἡμῖν προφέρουσιν.

Rec. *Ἄλλως. Ἀ μ φ ὶ δ έ μ ι ν δ ύ ο ἀ λ ώ π ε κ ε ς ἁ μ ὲ ν ἀ ν' ὄ ρ χ ω ς φ ο ι τ ᾷ: σχῆμα ὡς Ὅμηρος·*

οἱ δὲ δύο σκόπελοι, ὁ μὲν [εἰς] οὐρανὸν εὐρὺν ἱκάνει.

τοῦτο δὲ τὸ σχῆμα οὐκ ἔχει κίνδυνον, οὐ γὰρ ἀφ' ἑτέρου προσώπου ἐφ' ἕτερον ἡ μετάβασις γίνεται, ἵνα δέηται πλαγιασμοῦ, ἀλλ' ἀπὸ ὅλου εἰς μέρη· ταὐτὸν δὲ τὸ ὅλον τοῖς μέρεσιν. ἔχει δὲ τὸ πᾶν οὕτως· δύο δὲ ἀλώπεκες περὶ αὐτόν, ἡ μὲν ἀνὰ τοὺς ὄρχους, ἤγουν τὰς συστοιχίας τῆς ἀμπέλου, στρέφεται βλάψουσα τὴν σταφυλὴν τὴν εἰς βρῶσιν ἐπιτηδείαν· ἡ δὲ ἐπὶ τῇ πήρᾳ, ἤγουν κατὰ τῆς πήρας τῆς τὸν ἄρτον τοῦ παιδὸς ἐχούσης, πάντα δόλον κατασκευάζουσα τὸ παιδίον οὐ πρότερον ἐάσειν φησί, πρὶν ἂν καθίσῃ αὐτὸ ἐπὶ τοῖς ξηροῖς, ἀντὶ τοῦ ἐπὶ τοῖς κενοῖς ἀπὸ μεταφορᾶς τῶν

48) *Τὴν συστοιχίαν.* 2. *τοὺς κλάδους τῆς συστοιχίας τῆς ἀμπέλου.* 23. M. *εἰς τὰς φυτείας, εἰς τὸν κλάδον.* Q.

49) *Στρέφεται.* M. P. — *Βλάπτουσα, ἐσθίουσα.* C. E. M. N. — *Τὴν ὥριμον σταφυλήν.* 5. 6. M. — [*Π ή ρ ᾳ*:] *σακούλιον.* 5. C.

50) *Πᾶσαν μηχάνην.* 23. M. P. — *Πανοῦργον γὰρ τὸ ζῷον.* 5. — *Ἐάσειν, ἀφήσειν.* P. *καταλείψειν* M.

51) [*Ἀ κ ρ ά τ ι σ τ ο ν*:] *ἄγευστον, οὐδενὸς ἐγκρατές.* 23. E. M. P. *ἄγευστον* Cant.

---

5) //Gen.[a.b.] — *Καθιξεῖ*] *καθίξει* Gen.[b.], *καθίξῃ* vulg. 5) *γράφεται καὶ καθίξῃ*] 3. P. Gen.[b.], *καθίξη* sine *γρ. καὶ* Gen.[a.], cf. SchRec. p. 57. 14. *τὸ καθ. γρ.* vulg. 6) *λεκτέον*] 3. Gen.[a.b.], *δεκτέον* P., om. vulg. 7) *προφέρονται* P.[1.] Gen.[a.], *προφέροντι* 3. P.[3.] 8) //Lips. 9) *σχῆμα ὡς Ὅμηρος*] 6.*, *ὅμοιον τῷ* vulg., *ὁμοίως τῷ* M. — *Hom. Od. M*, 73. 10) *οἱ δὲ*] 6.*, om. M. vulg. 10) *εἰς*] Lips. vulg., *εἷς* M. et ante Ox. I, om. Gaisf. tac. ut apud Homerum. 10) *ἱκάνει* om. Lips. 11) *δύναμιν* pro *κίνδυνον* E. sec. N., *σολοικισμοῦ* addunt E. N. 13) *ἀλλ' ἀπὸ ὅλου*] 1. 6. 23. M. Y. Lips., *ἀλλ' ἀπὸ τοῦ ὅλου* E., ut conj. Hamak., *ἀλλὰ τὸ ὅλον* vulg. 13) *ταὐτὸν*] Lips. vulg., *ταὐτὸ* Kiessl. seqq. 15) *ὄρχως* ante Scult. 15) *συστοιχίας*] 1. 6. 23. M. Lips., *συστιχίας* E. vulg. 16) *βλάπτουσα* E. 17) *τῇ*] Lips. et ante Ox. II, om. vulg. 17) *τουτέστι* pro *ἤγουν* Lips. 18) *τὸ παιδίον . . . τόπων* etiam in Cant. Phil. — 27) *ἀγκρατὲς* (sic) 23.

ἀνύδρων τόπων, ἀκράτιστον, ἤγουν οὐδενὸς ἐγκρατές. ὅτι δὲ ἀπὸ τοῦ κρατῶ συνετέθη τὸ ἀκράτιστον, δῆλον μὲν (ἀπὸ τῆς ἐννοίας, δῆλον δὲ καὶ) ἀπὸ τοῦ βραχὺ ἔχειν τὸ κρα. τὸ δὲ *πρὶν* ἐνίοτε μὲν μετὰ ἀπαρεμφάτου λέγεται, οἷον „πρὶν γενέσθαι τόδε, ἐγένετο τόδε," ἐνίοτε δὲ μετὰ ὁριστικοῦ, οἷον „πρὶν ποιήσω τόδε, ἐποίησα τόδε." [δοκεῖ δὲ μετὰ ἀπαρεμφάτου μὲν λέγεσθαι ἐπὶ τοῦ ποιουμένου πράγματος, μετὰ ὁριστικοῦ δὲ ἐπὶ τοῦ ποιοῦντος αὐτό.] — (Τρωκτὸν τὸ ἤδη τρυγηθὲν καὶ εἰς βρῶσιν παρατεθέν· λαμβάνεται δὲ ἐπὶ τῶν ἀκροδρύων. τρώξιμος δὲ σταφυλὴ ἡ τὸ στύφος τοῦ ὀμφακοῦ μεταβαλοῦσα εἰς γλυκύτητα καὶ τὴν γεῦσιν ἡδύνουσα. ἡ δὲ ἀλώπηξ πάντα δόλον κινοῦσα, ὅπως τὰ ἐν τῇ πήρᾳ φαγοῦσα αὐτὸν ξηρὸν ἐάσῃ καθίσαι. 6. — Ὁ δὲ μὴ γενόμενος καὶ ξηραίνεται. 6. — Γράφεται *καθιξεῖ*, ἐπὶ κενοῖς καθίσει ἀπὸ μεταφορᾶς ἀνύδρων τόπων. Gen.[a])

Vs. 52—54.

Vet. *Αὐτὰρ ὄγ' ἀνθερίκεσσιν*: ἀνθέρικος ὁ τῆς ἀσφοδέλου καρπός. ⟨Ἄλλως. Ἀσφόδελος βοτάνη τίς ἐστιν,⟩ ἧς τὰ φύλλα ὡς πράσου ἀγρίου, μείζω δὲ καὶ πλατύτερα. ὁ δὲ καυλὸς ἀνθέρικος καλεῖται, ὅσον πηχυαῖος ὢν καὶ μείζων. τὸ αὐτὸ δέ φησι καὶ Θεόφραστος· Ἀπολλόδωρος δὲ ὁ Δωριεύς φησιν οὕτω λέγεσθαι τὸν τῆς ἀσφοδέλου καρπόν· ὁ δὲ

---

1) *ἀκράτιστον*] Lips., ἢ ἀκρ. vulg. tanquam alius scholii initium. 1) *ἤγουν . . . . κρα* etiam Harl. Phil. 1) *οὐδὲν* E. Harl. Phil. 1) *ἐγκρατές*, *ἄγευστον* E. 2) *ἀπὸ . . . . καὶ*] add. E.[4] M.[4] Y.[4] Lips. et praefixo *καὶ* E.[3] M.[3] Y.[3], omisso utroque *καὶ* 1. 6. 23. E.[2] 4) Verba *μετὰ ἀπαρεμφ.* seqq. etiam Phav. s. v. *πρὶν* omissis *λέγεται* et *ἐνίοτε . . . οἷον*, quorum loco *καί*. 6) *δοκεῖ δὲ* seqq. om. Lips. 10) *τρ. ἡ σταφ.* Wart. 10) *ὀμφακοῦ*] Kiessl., *ὀμφάκου* cod. 11) Verba *ἡ δὲ ἀλώπηξ* seqq. Wart. iterum posuerat post SchVet. *πρὶν ἢ ἀκρ.* 13) *καθίξαι* cod. 13) Haec a Wart. seqq. post *ἄγευστον* p. 56. 5. posita sunt. 17) //Gen.[a.b.] (in Gen.[a.] praemissis *καὶ ἄλλως*), Phav. s. v. *ἀνθέρικος*. — *αὐτὰρ ὄγ'* om. Gen.[b.] 17) *ἀντέρικος* Vulc., *ἀνθέριξ* Gen.[a.] 19) *ἧς . . . καλεῖται* om. Vulc., *ἧς . . . πλατύτερα* om. Gen.[a.b.] Phav.; sed in Gen.[a.] ea verba praemisso *ἀνθέρικος* in fine scholii addita, ubi *ἧς τὰ μὲν φύλλα ἔχει ὡς*. 19) *ὁ δὲ καὶ καυλὸς καὶ καρπὸς* Gen.[a.], *καὶ ὁ καυλὸς* Phav. 20) *ἀνθέρικος*] 5., *ἀνθερικὸς* Gen.[b.], *ἀνθέρινος* Gen.[a.], *ἀνθέριος* P., *ἀνθέριξ* vulg., *ἀνθ. καλ.* om. Phav. 20) *ὡς φησὶ* (*ὥς φησι* Vulc., *ὅς φησι* P., *ἧς φ.* Gen.[b.]) *χυδαῖος* pro *ὅσον πηχυαῖος* 3. 5. P. Gen.[a.b.] Vulc., *ὥς φησιν Ἰδαῖός τε καὶ Θεόφραστος* Phav. 20) *ὢν* om. Gen.[b.] 21) *τὸ δὲ αὐτὸ καὶ Θ.* Gen.[a.] — *Theophr. H. Pl. VII*, 13, 2. 21) *Ἀπελλ.* Gen.[b.] 21) *ὁ υἱὸς ὁ Δωριεὺς* Gen.[a.], *δωριέων* Gen.[b.] Vulc., *δωρίκων* P. 22) *φησὶν* om. Gen.[a.b.] et Vulc., qui pergit *οὐ λ. θέλει*. — *οὕτω*] Phav., ubi *τὸν καυλὸν μόνον οὕτω καλεῖσθαι βούλεται* reliquis deficientibus, *οὐ* vulg. 22) *καρπόν*] 3. 5. P. Gen.[a.b.] Vulc., *καυλὸν* vulg. et Phav.

Νεοπτόλεμος ἀνθέρικα γελοίως ᾠήθη τὸν ἀθέρα [*τοῦ στάχυος*]. — (*Μέλεται δέ οἱ: μέλει δὲ αὐτῷ οὔτε πήρας οὔτε* * * * * *λεπτότερον καὶ εὐτονώτερον.* P. Gen.[a.b.] *Πήρας: παρὰ τὸ φέρω φήρα καὶ πήρα.* ⟨*ἣ*⟩· *μεθ' ἧς πανταχοῦ περῶμεν. καλεῖται δὲ καὶ κίβισις καὶ οὐλάς.* 3. 5. P. Gen.[a.b.] Vulc. [*ἢ ἡ πρὸς τὸ τηρεῖν καὶ φυλάττειν τὰ παρ' αὐτῆς κατεχόμενα εἰργασμένη, τήρα τις οὖσα. ἤτοι σακκίον μικρόν.* Vulc.])

Rec. *Ἄλλως. Αὐτὰρ ὅγε: ὁ δὲ πλέκει καλὴν ἀκριδοθήραν δι' ἀνθερίκων, ἀντὶ τοῦ διὰ καλάμης, ἣν οἱ κοινοὶ καλαμαίαν φασί.* — (*Ἄλλως. Ἀνθέριξ ἡ τοῦ σίτου καλάμη ἀπὸ μέρους, ἣν οἱ κοινοὶ καλαμαίαν φασί.* Gen.[a.] — *Ἀνθέρικες τὰ προβαλλόμενα τῶν ἀσταχύων καὶ οἱ καυλοὶ τῶν ἀσφοδέλων· καὶ εἰσὶν ἄθραυστοι ἀλλήλοις ἐπιπλεκόμενοι.* 6.) — *Σχοίνῳ ἐφαρμόζων, ἀντὶ τοῦ συναρμόζων, συνδῶν· σχοῖνος δὲ τὸ παρὰ τοῖς κοινοῖς βρύλλον.* — (*Ἐφαρμόσδων δὲ τῷ σχοίνῳ, οἱονεὶ ἐπιτιθεμένους ἐκείνους συνδεῖ διὰ σχοίνου.* 6.)

Vet. [*Καλάν: ἐπίθετόν ἐστι παρὰ τὸ κάζω ῥῆμα, ὃ δηλοῖ τὸ κοσμῶ, ὁ μέλλων κάσω, ἀφ' οὗ ῥηματικὸν ὄνομα καλός, τὸ θηλυκὸν καλή. ἢ παρὰ τὸ καλῶ ῥῆμα ἐγένετο κα-*

52) *Τῇ τοῦ σίτου καλάμῃ ἀπὸ μέρους* 23. M., *ἣν οἱ κοινοὶ καλαμαίαν φασί.* 23. — *Κόφινον ἢ σπυρίδαν, ἐν ᾗ ἀποτίθενται αἱ ὀπῶραι.* M. *σπυρίδιον, καλάθιον.* 5. *καλαθίσκον.* 11.

53) [*Σχοίνῳ:*] *ἐν βρούλῳ.* 5. *βρύλλῃ.* P. — *Τοῦ σακουλίου.* M.

---

1) *ἀνθέρικα*] P.[4.] Gen.[b.], *ἀνθέρικω* 5. P.[2.] Vulc., *ἀνθέρικος* Gen.[a.], om. vulg. 1) *γελοιᾶ ἤθη* Gen.[a.] 1) *ἀθέρα*] Toup., *αἰθέρα* 5. P. Gen.[b.] Vulc., *ἄερα* Gen.[a.], *ἀνθέρα* vulg. 1) *τοῦ στ.* om. Gen.[a.b.] et fort. 5. P. Vulc. 2) Haec etiam in Gen.[a.] post schol. antec. leguntur. 3) Lacunam inesse indicavit Duebn. Praef. p. X. 3) *ἀτονώτερον* Gen.[a.] 3) *Πήρας*] Gen.[a.], *πήρα* rell. 4) *παρῶμεν* 5. P., *περώμεθα* Gen.[a.] 5) *καλεῖται ... οὐλὰς* in Vulc. infra post *οὖσα* leguntur. 5) *κίβυσσις* 3. Vulc., *κισσιβὶς* Gen.[a.] 6) *ἢ ἡ πρὸς* seqq. sunt ex EtM. 670, 52. 7) *εἰργασμένη*] EtM., —*να* cod. 7) *ἤτοι σακκίον*] EtM., *ἤ τι σάκκιον* cod. 9) //Lips. et sine lemmate Gen.[a.], in quo h. sch. post *οὐλὰς* l. 5. legitur. 11) Ante *ἄλλως* in Gen.[a.] leguntur ex *Suida* *ἀνθέρικες ... ἀσφοδέλων* praefixo lemmate *Αὐτὰρ ὅγ' ἀνθερίκεσσι.* 14) *ἀσφοδέλων*] Adert., —*λῶν* cod. 15) //Gen.[a.] Lips. — *σχοίνῳ ἐφαρμόζων*] Lips., *σχ. ἐφαρμόσδων* ante Ox. I, 'ΕΦ. vulg., cum *ἀντὶ τοῦ* om. Gen.[a.] 15) *συνειδεὶς* pro *συνδῶν* Gen.[a.] 15) *σχοίνῳ τῷ παρὰ τοῖς καινοῖς βρούλλῳ* v. teste Creuzero Melet. I p. 85. 19) //Om. Gen.[a.b.] Lips. ex Etymol. haustum, vid. EtM. 485, 55. — 22) *καλαμαίαν*] *καλαμαν* cod. 23) *σπυρίδαν*] Duebn., *σπηρίδαν* cod. 24) *σπιρίδιον, καλάδιον* cod.

λὸς διὰ τὸ καλεῖν πρὸς ἑαυτὸν ἕκαστον, ὡς τὸ ἀγαθόν, ἐφ' ὃ ἄγαν θέομεν.]

Rec. Μέλεται δὲ αὐτῷ, ἀντὶ τοῦ μέλει, ἤγουν φροντίς ἐστιν, οὔτέ τι πήρης, τουτέστιν οὐδὲν οὔτε τῆς πήρας, οὔτε τῶν φυτῶν, ἤγουν τῆς ἀμπέλου, κατὰ τοσοῦτον — τοῦτο γὰρ τὸ τοσσῆνον — καθ' ὅσον γηθεῖ, ἀντὶ τοῦ γήθεται, ἤγουν χαίρει, περὶ τῷ πλέγματι, ἀντὶ τοῦ ἐπὶ τῷ πλέγματι.

Vs. 55. 56.

Vet. Παντᾶ δ' ἀμφὶ δέπας: πανταχοῦ δὲ περὶ τὸ ποτήριον περιπέπταται καὶ περικέχυται ὑγρός τις ἄκανθος καὶ μαλακός, ὅπερ ἐστὶν εἶδος φυτοῦ ἀκανθῶδες χαμαίζηλον, εἰς μῆκος ἐξανθοῦν λίαν. (ὑγρὸς δὲ ὁ εὐκαμπὴς καὶ νεόφυτος. p. 3.) ἢ ὑγρὸς ἄκανθος ὁ εὔκαμπτος καὶ νεόγονος. — Αἰπολικόν τι θάημα: ἤγουν θαῦμα, οἷον αἰπόλος ἂν θαυμάσειε διὰ τὸ κάλλος. γράφεται καὶ χωρὶς τοῦ π αἰολικόν, τὸ ἀπατητικόν· αἰολίζω γὰρ τὸ ἀπατῶ, καὶ Σοφοκλῆς

μηδ' αἰόλιζε ταῦτα.

τοῦτο δὲ ἔφη δι' ὑπερβολὴν τοῦ κάλλους. — (Ἄλλως. Αἰολίχον θάημα: αἰόλον τι καὶ ποικίλον θέαμα. Gen.[b]) ἢ Αἰολικὸν [τὸ Αἰτωλικόν]. Αἰολὶς γὰρ ἡ Αἰτωλίς· ἐξ Αἰτωλίας δέ φησι τὸ ποτήριον κεκομίσθαι. (γράφεται δὲ αἰπολικόν. 5. Gen.[b]) — [Ἢ] αἰολικὸν (θάημα Gen.[b]): ἀπα-

---

3) //Gen.[a] Lips. — μέλεται δὲ αὐτῷ] Gen.[a] Lips., μέλεται δέ οἱ ante Ox. I, *ΜΕΛ.* vulg. 3) ἤγουν] add. Lips. 4) ἐστιν] Gen.[a] Lips., ἐστιν αὐτῷ vulg. 4) οὔτέ τι] Lips., οὔτε τι P. (Gen.[a]) et Kiessl. auctore Toup., οὔτε ἐπὶ vulg. 4) οὔτε τῶν φυτῶν omissis verbis ἤγ. τ. ἀμπ. post τοσσῆνον leguntur in Gen.[a] Lips. 6) τοσῆνον ante Brub., σοσσῆνον Gen.[a] 6) γηθεῖ] Lips., γαθεῖ vulg. 6) ἀντὶ τοῦ γ. ἤγουν] Gen.[a]. Lips., ἤγουν γ. καὶ vulg. 9) //Gen.[b], qui παντᾶ δέ οἱ, ubi δέ οἱ ex antecedente lemmate μέλεται δέ οἱ irrepsit. 10) περιτέταται P.[2] 11) ἀκανθώδους 5. P. Gen.[b], ὁ ἄκανθος εἶδός ἐστι φυτοῦ χαμαιζήλου omissis seqq. εἰς μ. ἐ. λ. 3. 13) ἢ seqq. om. p. 3., ἢ om. Gen.[b] 13) εὔκαμπτος] Duebnerus, εὔκαρπος Gen.[b], εὔκοπος vulg., εὐκαμπὴς Hamak. ex praecedentibus. — νεόγονος] εὔτονος vulg. 14) //Om. Gen.[a.b.] Lips., nisi quod in Gen.[b] ἢ οἷον αἰπόλος θαυμάσειε post αἰολίζειν p. 60. 2. leguntur. 15) θαυμάσειε] Gen.[b] omisso ἄν, θαυμάσῃ vulg. 16) Σοφοκλῆς] Toup., Ἱεροκλῆς vulg., cf. *Soph. fr.* 854 *W.* 19) //Gen.[b] post διαβάλλονται p. 60. 3. — αἰολίχον] αἰπολικὸν cod. 20) αἰόλον] αἰολικὸν cod. 20) θέαμα] θήημα cod. 21) τὸ Αἰτ. om. Gen.[b] 21) Αἰολὶς γὰρ ἡ Αἰτωλίς] Gen.[b], Αἰολεῖς γὰρ οἱ Αἰτωλοὶ vulg. 22) πρότερον pro ποτήριον p. 22) γράφει δὲ αἰτωλικὸν Gen.[b] 23) //Gen.[b], ubi αἰπολικὸν pro αἰολ. 23) ἀπατητικὸν] Gen.[b], ἀπατηλὸν vulg.

τητικόν, ποικίλλον, [ἐκπληκτικὸν καὶ ὃ ἄν τις διὰ κάλλος θαυμάσῃ·] ταῦτα γὰρ δύναται τὸ αἰολίξειν. (ἢ Αἰολικῶς <ἀπατῶν> Gen.[b])· οἱ γὰρ Αἰολεῖς ἐπὶ ἀπάτῃ διαβάλλονται, (<ὡς ἐν τῷ> Λοκροὶ τὰς συνθήκας· ταυτοὶ δέ εἰσι Λοκροὶ τοῖς Αἰολεῦσι. Gen.[b]) — (Αἰολίχου θέαμα: ἀντὶ τοῦ Αἰολικὸν παρὰ Θεοκρίτῳ. ἡ γὰρ Καλυδὼν Αἰολὶς ἐκαλεῖτο. Hesych.)

Rec. Ἄλλως. Πάντῃ δὲ περὶ τὸ δέπας, ἤγουν τὸ ποτήριον, περιτέταται ἁπαλὴ ἄκανθος — εἶδος φυτοῦ φασὶν εἶναι τὴν ἄκανθον — αἰπολικόν τι θάημα, ἤγουν θαῦμα, ἀπὸ τοῦ θεέω, θεῶ, θεήσω, θέημα καὶ τροπῇ τοῦ ε εἰς α Δωρικῶς θάημα.

Vet. Τέρας καί τυ θυμὸν ἀτύξαι: ἀντὶ τοῦ ἐκπλῆξαι δυνάμενον. καὶ Ὅμηρος·

πατρὸς ὄψιν ἀτυχθείς.

Ἢ τοῦτο τὸ θέαμα τεράστιον ὂν τὴν σὴν ἐκπλήξει διάνοιαν. ἢ ἀτύξαι: καταπλήξαι σου τὴν ψυχήν, καὶ δι' ὑπερβολὴν κάλλους τεράστιον ἂν νομισθείη.

Rec. Ἢ (<τέρας,> ἤγουν ὑπερφυὲς ἔργον Gen.[a] Lips.) ἀτύξαι ἄν, τουτέστι σείσαι, ἐκπλήξαι σε κατὰ τὴν ψυχήν. — (Τέρας καί τι: ὥστε διασεῖσαι τὸν θυμόν, τοῦ ὁρῶντος δηλονότι. 6*.)

55) Περιφύεται. M. — Χλωρός. 6. ἁπαλός, χλωρός. E. N. P. — [Ἄκανθος:] ὁ λεγόμενος ἄγκανος διὰ τὸ ἀεὶ θάλλειν. M.

56) [Αἰπολικόν:] αἰολικὸν ἢ ἀπατητικόν. 5. αὐτὸ κισσύβιον θαυμαστόν. 3. ἐστί, τὸ κισσύβιον δηλονότι. K. M. — [Τέρας:] ὑπερφυὲς ἔργον. E. I. M. N. P. Y. παράδοξον. C.

---

1) ποικίλλον] ποικίλον vulg. 4) Λοκροὶ seqq. in cod. male post lemma πορθμεῖ Καλυδωνίῳ p. 61. 12. leguntur. Verum locum Adertus indicavit. 4) ταυτοὶ] ταῦτοι cod. 5) αἰολίχου] αἰολικὸν vulg. — ἀντὶ τοῦ Καλυδωνικὸν Phav. 6) Θεοκρίτῳ Phav. et Musurus, Θεόκρητι cod. 8) //Gen.[a] Lips. 9) περιπέπταται 2., περιτ. δὲ Gen.[a] — ἁπαλὴ] E. I. M. Y., unde Gailius verba περιτέταται ... ἄκανθον male ad SchVet. p. 59. 10. attulit, ἀπαλὸς vulg., ἁπαλὸς Lips. 9) εἶναι τὴν ἄκανθον] E. I. Y., εἶναι τὸν ἄκανθον M., ὁ ἄκανθος sine εἶναι vulg. 10) αἰπολ. τι om. Gen.[a] 13) //Gen.[b] c. lemm. ἀτύξαι. 15) *Hom. Il.* Z, 468. πρὸς et ἀτυχθὴς ante Heins. 16) Post διάνοιαν in P. additum ὡς ὑπερφυὲς ἔργον ex SchRec. l. 19. 17) καταπλήξαι] Duebn., —ῆξαι vulg. — σοῦ Kiessl. seqq. 18) τεράστιον] conj. Fr. Jacobs, ἐραστὸν vulg., ἐραστὸς 5. Gen.[b] Vulc. 19) //Gen.[a] Lips., ille c. lemm. τέρας κέ τυ θυμὸν ἀτύξαι. 20) σείσαι] Duebnerus, σεῖσαι vulg. 20) ἐκπλήξαι] P. Call., ἐκπλῆξαι Xyl. vulg. 20) τὴν om. Lips.

Vs. 57. 58.

Rec. Τοῦ μὲν ἐγώ: ἕνεκα μὲν τούτου ἐγὼ αἶγά τε ἔδωκα ὦνον τῷ πορθμεῖ τῷ ἀπὸ τῆς Καλυδῶνος καὶ τυρόεντα, ἀντὶ τοῦ τυρόν, μέγαν ἀπὸ γάλακτος λευκοῦ. ὤνια τὰ πωλούμενα, ὦνος δὲ ὃ δίδωσί τις, ἵνα λάβῃ τι τῶν πωλουμένων. — (Τοῦτο δὲ τὸ δέπας ὠνησάμην παρὰ τοῦ πορθμέως αἰγὸς καὶ τυροῦ λευκοῦ γάλακτος. καὶ ἔστιν ἡ σύνταξις Ἀττική. οὕτω φαμὲν πλὰξ μαρμάρου. τὸ δὲ λευκοῦ γάλακτος τὸ ἴδιον τίθησιν. οὕτω καὶ μέλαν σκότος. 6. — Ὤνιον τὸ πρᾶγμα, ὠνὴ ἡ ἐνέργεια, ὦνος τὸ διδόμενον τίμημα. ἐκ δὲ τοῦ διδομένου τιμήματος καὶ εὔωνος. 6.)

Vet. Πορθμεῖ Καλυδωνίῳ: ἢ ὄνομα κύριον, ἢ τῷ ἀπὸ Καλυδῶνος εἰς Πελοπόννησον αὐτὸ μετακομίσαντι· ἀντίκεινται γὰρ ἀλλήλων τὰ χωρία. Ἄλλως. Πορθμεῖ: ἴσως διαπορθμεύοντι ἐξ Αἰτωλίας εἰς Πελοπόννησον. γράφουσι δέ τινες καὶ Καλυδνίῳ, ἀγνοοῦντες ὡς Καλυδναὶ ἐγγὺς τῆς Κῶ εἰσιν. Ὅμηρος·

καὶ Κῶν Εὐρυπύλοιο πόλιν νήσους τε Καλυδνάς.

— Καὶ τυρόεντα: τυρός, τυρόεις παράγωγον, τυρόεντα. τὸ τυ μακρόν, ρόεντα μέ συνίζησις. τὰ εἰς ρος γὰρ δισύλλαβα ὀξύτονα τῷ υ παραληγόμενα ἐκτείνουσιν αὐτό, οἷον τυρός, πυρὸς ὁ σῖτος. τὸ πῦρ δέ, τοῦ πυρὸς βραχύ. — (⟨Τυρόεντα⟩ μέγαν: λείπει τὸ κύκλον. p. — Τυρόεντα: πλακοῦντα. Hesych.)

57) Ναυκλήρῳ M. — Ἦ ὄνομα κύριον τοῦ πορθμέως ἢ τῷ ἀπὸ Καλυδῶνος χώρας. 5. τῷ ἀπὸ Καλυδῶνος πόλεως. M. P.

58) [Τυρόεντα:] λείπει τὸ κύκλον. Ἰωνικὸν ἀντὶ πρωτοτύπου τὸ παραγωγόν. 5. τυρόν. μετασχηματισμός ἐστι τοῦτο. M.

---

2) //Gen.[a] Lips. sine lemmate. 10) ἐνέργεια] Toupio auctore Kiessl. seqq., εὐέργεια Wart. 12) //Gen.[b], ubi post verba Λοκροὶ . . . Αἰολεῦσι (vid. supra ad p. 60. 4.) pergitur τὸ δὲ Καλιδώνιον ον. κύρ. 12) τὸ ἀπὸ 3. 5. 13) αὐτῷ 3. 5. Gen.[b] 14) δὲ pro γὰρ Gen.[b] 14) Ἄλλως] Gen.[b], ἢ vulg. 15) γράφουσι seqq. om. Gen.[b] 16) Καλυδναὶ] Καλυδνοὶ ante Heins., Καλύδναι vulg. 18) *Hom. Il. B*, 677. — πόλεως ante Brub. — Καλυδνάς] ante Heins., Καλύδνας vulg. 19) //Gen.[b] 22) δὲ om. Gen.[b] — 25) ἢ τοῦ cod.

Vs. 59—61.

Rec. Οὐδέ τί πω, ἤγουν οὔπω δὲ οὐδαμῶς, πρὸς τὸ ἐμὸν χεῖλος ἔψαυσεν, ἀλλ' ἔτι κεῖται ἄχραντον, ἤγουν ἄψαυστον, ἀμόλυντον. — Τῷ καί τυ μάλα: [— γράφεται καὶ τῷ κέν τοι —] δι' οὗ καί σε μάλα ἀρεσαίμην, ἀντὶ τοῦ ἀρέσω, [εὐάρεστος δόξαιμι. τὸ δὲ] πρόφρων, ἐπιρρηματικῶς ἀντὶ τοῦ προθύμως, μετὰ προθυμίας, αὐτὸ διδοὺς δηλονότι. — (Πρόφρων: φρὴν φρενός, τὸ δὲ σύνθετον πρόφρων καὶ πρόθυμος τὸ αὐτό· πρόφρων δὲ ποιητικόν. πρόθυμος ὁ ⟨ὑπὸ θυμοῦ⟩ κινούμενος εἰς τὸ ἔμπροσθεν· ἡ γὰρ πρὸ τὸ ἔμπροσθεν δηλοῖ. καὶ πρόφρων ὑπὸ φρενὸς κινούμενος ⟨εἰς τὸ ἔμπροσθεν⟩. ὃ δὲ ποιεῖ, φρονήσει κινούμενος ποιεῖ, διὸ ἀεὶ δὴ ἐπὶ ἐσκεμμένου καὶ λελογισμένου ἐστί. τὸ δὲ πρόθυμον ἐπί τε τοῦ μανικόν τι καὶ ἀκρατὲς δρᾶσαι καὶ ἐπὶ ἐσκεμμένου· ἐπαμφοτερίζει γάρ. 6.) — Αἴκέν μοι τὺ φίλος: ἐὰν καὶ [σὺ ὦ φίλος ᾖ] σὺ ὦ φίλε ᾄσῃς τὸν ὕμνον, ἀντὶ τοῦ τὴν ᾠδὴν τὴν ἐπιθυμητὴν ἐμοί. — (Ἵμερος ἡ ἔφεσις, καὶ ἱμερόεις ὁ ἵμερον ἔχων, ἐφίμερος δὲ ὕμνος ὁ ἐπιπόθητος. 6.)

Vet. Τὸν ἐφίμερον: τὸν γλυκύν· λέγει δὲ τὴν ἐπὶ Δάφνιδι ᾠδήν.

Rec. [Τὸ ἀρέσκω οὕτως·] ἀρέσκω τινὶ ἀντὶ τοῦ ἀρεστὸς αὐτῷ φαίνομαι· Ἀττικῶς δὲ μετὰ αἰτιατικῆς, ὡς παρὰ

59) Φυλάσσεται. P.

61) Τὸν ἐρωτικόν, τὸν ἐπιθυμητικόν. 5. ἐπιθυμητικόν. 6. ἀγαπητὸν καὶ γλυκύν. 3.

---

2) //Gen.[a] Lips. — οὐδέ τί πω] Gen.[a] et ante Ox. I, *OT*. vulg. In Lips. initium ante πρὸς evan. 2) ἤγουν om. Gen.[a] 2) πρὸς] E. Gen.[a] Lips., εἰς vulg. 4) //Gen.[a] sine τυ μάλα et Lips. 4) Circumscripta om. Gen.[a] Lips. 5) ἤγουν δι' οὗ σε M., ἤγουν καὶ 2. 5) σοι pro σε E. N., evan. in Lips. 5) ἀρεσαίμην] Lips., —μαν vulg. 6) λίαν ἀρέσω M., ἀρέσω διδοὺς P. 6) Circumscripta om. Gen.[a] Lips. 6) Pro πρόφρων in Lips. spatium lemmati relictum. 7) προθύμως] add. Y. Gen.[a] Lips. 12) φρονήσει] Duebnerus, φρονη . . . cod. 13) διὸ ἀεὶ δὴ] . . . ἀεὶ δὲ cod. 13) ἐπὶ ἐσκ.] Reen., ἐπισκ. Wart., ἐπ' ἐσκ. Kiessl. seqq. 13) ἐστί] . . . cod. 13) τὸ Kiessl. seqq., τυ Wart. 14) ἐπί τε] Reen., ἐπ . . . cod. 15) //Gen.[a] Lips. sine lemmate. 16) καὶ] E. Lips., δὲ καὶ Gen.[a], γε vulg. 16) ἢ σὺ ὦ φίλε om. Gen.[a] Lips. 20) //Gen.[b], ubi τ. ἐφ. τ. γλυκὺν hoc loco (sed τὸ ἐφ.). quae vulg. post ὕμνον l. 16., ubi desunt in Gen.[a] Lips. 20) δὲ] P. Gen.[b] et ante Heins., γὰρ vulg. 21) Δάφνιδι] Gen.[b], Δάφνιδος vulg. 22) //Gen.[a] Lips. sine circumscriptis.

Πλάτωνι· „ἀλλ' εἰ μὴ αὖ σε ταῦτ' ἀρέσκει.“ ἀρέσκομαι δέ τινι ἀντὶ τοῦ ἀποδέχομαι αὐτόν· καὶ ἀπαρέσκομαι τὸ οὐκ ἀποδέχομαι.

Vs. 62. 63.

Rec. Κοὔτι τοι φθονέω: καὶ οὐδαμῶς σοι φθονῶ. πρόσαγε σαυτὸν ὦ ἀγαθέ, ἤγουν πρόσελθε, ἦξον. [γράφεται καὶ κοὔτι τυ κερτομέω.] — Τὰν γὰρ ἀοιδάν: τὴν γὰρ ᾠδὴν οὐδαμῶς φυλάξεις εἰς τὸν Ἅιδην τὸν ἐκλελάθοντα, ἀντὶ τοῦ τὸν λήθης ποιητικὸν [καὶ αἴτιον].

Vet. (Τὸν ἐκλελαθόντα φυλαξεῖς: 3. Gen.[b]) ἐκλανθάνουσι γὰρ πάντων οἱ ἐν αὐτῷ, ἤγουν τὸ τῆς Λήθης ὕδωρ πίνοντες. (ἢ τὸν ἐκλελαθόντα: τὸν λήθης αἴτιον. 3.) — (Τὸν λήθοντα καὶ τὸν λήθην ποιοῦντα. Gregor. §. 6.)

Rec. Ὡς ἀπὸ τοῦ ἔλαχον λελάχω ἐνεστώς, οὕτω καὶ ἀπὸ τοῦ ἔλαθον λελάθω. — (Λελαθόντα τὸν λήθης ποιητικόν. ἔστι δὲ τὸ πάθος ἀναδίπλωσις, ὡς καὶ παρ' Ὁμήρῳ τὸ λελάχωσι καὶ τεταγών. 6.)

Vs. 64.

Vet. Ἄρχετε βωκολικᾶς: τῆς βουκολικῆς ᾠδῆς ἄρξασθαί με ποιήσατε ὡς ποιήτριαι. ἐπικαλεῖται γὰρ αὐτὰς μέλλων ἀείδειν. τοῦτο δὲ λέγεται πρόασμα καὶ ἐπιμελῴδημα καὶ ἐπῳδός. τὸ δὲ ἄρχετε καὶ λήγετε ἐπῳδοῦ τάξιν ἔχει. Μνασίας δὲ ἐν τῷ περὶ Εὐρώπης Πανὸς υἱόν φησι Βουκολίωνα, ἀφ' οὗ καὶ τὸ βουκολεῖν.

62) Γράφεται κοὔτοι φθονέω. 5. 6. — Οὐδαμῶς σοι ἕνεκα τῆς δόσεως φθονῶ. P. — Παροιμία ἐπὶ τῶν γινωσκόντων καὶ μὴ μεταδιδόντων. Vat.

63) Τὸν λήθην ἐμποιοῦντα. E. τὸν πάντων ἐπιλανθανόμενον. H.

---

1) *Plat.Cratyl.* 391. C. 5) //Gen.[a.] Lips. sine lemmate. *Phav.* habet πόταγ' ὦ 'γαθέ: ἀντὶ τοῦ πρόσαγε .... ἦξον. 6) πρόσαγε seqq. om. Gen.[a.] — πρόσαγε] Lips. Phav., προσάγαγε vulg., πρόσελθε ἢ πρόσαγε τὸ μέλος E. 6) ὦ 'γαθὲ Lips. Phav. 6) ἦξον] E. Phav. vulg., εἶξον Lips. et ante Heins. 6) Circumscripta om. Lips. 7) //Lips. 8) ἐκλελάθοντα] Lips. vulg., —όντα Kiessl. 9) καὶ αἴτιον om. Lips. ex SchVet. ducta. 10) //3. Gen.[b.] — φυλαξῆς 3. 11) πάντων] πάντες 3. vulg., cf. GIH. 11) ἤγουν] add. 3. Gen.[b.] 14) //Lips. 14) οὕτως pro οὕτω καὶ Lips. 19) //Gen.[b.], ubi ἄλλως. ἄρξασθέ μοι ποιήσασθε τῆς β. ᾠ. omissis ὡς π. post ἀείδειν leguntur. 21) τοῦτο ... ἔχει om. Gen.[b.] 22) ἐπῳδός] Duebnerus, ἐπῳδὴ vulg. 23) *Μνασίας*] 3. 5. P. Gen.[b.] Vulc. et ante Heins., *Μνασέας* vulg. — 28) τὸν πάντων] Duebn., τῶν π. cod.

Rec. Ἄλλως. Ἄρχετε βωκολικᾶς: ἄρχετε ὦ Μοῦσαι, ἤγουν προηγεῖσθε, τῆς βουκολικῆς ᾠδῆς ἄρχετε.

Vs. 65.

Rec. Θύρσις ὅδ' ὢξ Αἴτνας: (Θύρσις ὅδε, Gen.[a] Lips.) δεικτικῶς ἤγουν ἐγώ, ὁ ἐξ Αἴτνης, (τουτέστιν ἀπὸ Σικελίας, 1. P. Gen.[a] Lips.) καὶ Θύρσιδος ἥδε ἡ φωνή.

Vet. (Θύρσις ὁδ' ὠξ Αἴτνας: Gen.[b]) ὁ ποιμὴν Θύρσις ἐπαινεῖ ἑαυτόν. ἡ δὲ Αἴτνη Σικελίας ὄρος ἐστὶν ἀπὸ Αἴτνης τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς, ὥς φησιν Ἄλκιμος. Σιληνὸς δὲ ἐν τῷ περὶ Σικελίας Αἴτνην φησὶ κρῖναι Ἥφαιστον καὶ Δήμητραν περὶ τῆς χώρας ἐρίσαντας. Δημήτριος δὲ ὁ Καλλατιανὸς τοῦ Βριάρεω, ἑνὸς τῶν Κυκλώπων παῖδας γενέσθαι Σικανὸν καὶ Αἴτνην, ἀφ' ἧς τὸ ὄνομα (τῷ ὄρει Vulc.). Ἄλλως. ὡς Σικελιώτου αὐτοῦ ὄντος καὶ κατὰ τὴν Αἴτνην νέμοντος. μέλλει δὲ ᾄδειν, ὃν τρόπον ὁ Δάφνις, μὴ δυνάμενος φέρειν τὸν τῆς Ξενέας τοὔνομα Νύμφης ἔρωτα ἀπέλιπε τὸ ζῆν.

Vs. 66—69.

Vet. Πᾶ ποκ' ἄρ' ἦσθ' ὅκα Δάφνις ἐτάκετο: ὁ Δάφνις Σικελιώτης ὑπάρχων ἐν Σικελίᾳ ἦν, ὅτε τὰ λοίσθια ἔπνεεν. ὅτι γοῦν Νύμφης ἤρα ὁ Δάφνις, ἡ δὲ Νύμφη ἀπεστρέφετο αὐτὸν διὰ τὴν πρὸς ἑτέρας γυναῖκας ὁμιλίαν, αἰνίσσεται ὅτι οὐδὲ αἱ λοιπαὶ ἐν Σικελίᾳ ἦσαν, ὅτε ὁ Δάφνις ἔθνησκεν. — Ἢ κατὰ Πηνειῶ καλὰ τέμπεα: [Πηνειὸς ποταμὸς Σικελίας.] τέμπη [δὲ] γενικῶς μὲν τὰ ἄλση· νῦν δὲ

---

1) //Lips. 4) //Gen.[a] Lips. sine lemmate. 5) δειγματικῶς ἤγουν ὁ ἐγὼ Gen.[a] 6) ἡ om. Gen.[a] 7) //Gen.[b], ubi αἰνεῖρ' αὐτόν. 8) Post ὄρος Phav. s. v. Αἴτνη habet ἐν Κατάνῃ. — ἐστὶν ... Ἄλκιμος om. 3. 5. P. Gen.[b] 9) Σιληνὸς] Dorvillius Sicul. p. 246, Σιμωνίδης Gen.[b] vulg., ὁ Σιμ. 3. 5.[2] P. 10) δὲ om. 3. 5. P. Gen.[b] 10) φησὶν αἴτνη 3. 5.[2] Gen.[b], φησι Σιμωνίδης αἴτνη tanquam post Σιμ. δὲ 5.[1] 10) κρίναι 3. P. et ante Kiessl., κρίνη 5. 11) δὲ om. Gen.[b] 12) Καλλατ.] Wartonus, Καλατ. Toupio auctore Kiessl. seqq., Καλετ. Gen.[b] vulg. 13) Σικανὸν] 3. 5. P. et ante Ox. II, Σικανὰν Gen.[b], Δικανὸν vulg. ante Kiessl. 13) ἀφ' οὗ 5. P. Gen.[b] Vulc. 14) ὡς om. Gen.[b] 15) Ante μέλλει Gen.[b] habet lemma καὶ Θύρσιδος ἀδέα φωνή. 15) δὲ et ὃν ... τῆς om. Gen.[b] 16) Ξενίας p. 5. Gen.[b] 16) τοὔνομα Νύμφης om. 5. Gen.[b] 16) εὐρωταν 5. 16) ἐξέλιπε 5. Gen.[b] 19) //Om. Gen.[a.b.] Lips. 24) //Gen.[b], ubi καλὰ ... Σικελίας et δὲ desunt. 25) Θετταλίας pro Σικ. auctore Palmerio Kiessl. 25) μὲν γεν. ἄλση Gen.[b] 25) νῦν καὶ τὸ Heins. et vulg. ante Reisk.

τὸ μεταξὺ τῆς Ὄσσης καὶ τοῦ Ὀλύμπου χωρίον, ὅ ἐστι περικαλλὲς καὶ ὥσπερ ὑπὸ θείας γνώμης πόρος τις ὄρυξι διῃρημένος, δι' οὗ ὁ Πηνειὸς πρὸς τὴν θάλασσαν ῥεῖ. λέγεται δὲ τοῦτο τὸ χωρίον τέμπεα Θετταλικά. — Ἢ κατὰ Πίνδω: Πίνδος [ὄρος τῆς Ἀρκαδίας ἢ ποταμός· κατὰ δέ τινας] ὄρος τῆς Περραιβίας ἐγγὺς θαλάσσης. τὸ δὲ εἴχετε ἀντὶ τοῦ κατῳκεῖτε. — Οὐ γὰρ δὴ ποταμοῖο: οὐ γὰρ τότε τὸ μέγα ῥεῦμα εἴχετε, ὅ ἐστιν οὐκ ἦτε ἐκεῖσε. ὁ δὲ Ἄναπος ποταμὸς ἐν Συρακούσαις τῆς Σικελίας. Ἄναπος δὲ εἴρηται ὁ ἄνευ πόσεως ὢν καὶ βληχρὸν ἔχων ὕδωρ. ἢ (Ἄναπος: ποταμὸς περὶ τὴν Σικελίαν Gen.[b]) παρὰ τὸ τοῖς ποσὶ μὴ διάβατος εἶναι. — Οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ: Ἆκις ποταμὸς Σικελίας. ὁ δὲ νοῦς· αἱ Νύμφαι τότε οὐκ ἦσαν περὶ Σικελίαν, ὅτε ὁ Δάφνις ἔπασχέ τι, ἴσως διὰ τὸ Νύμφης ἐρᾶν ὑπερηφανευούσης αὐτὸν αἰνισσόμενος ὡς οὐδὲ τῶν λοιπῶν αὐτόθι οὐσῶν. Ἆκις δὲ παρὰ τὸ ἀκίδι ἐοικέναι τὰ ῥεύματα. Νυμφόδωρος ἐν τῷ περὶ Σικελίας „θαυμάζομεν" φησὶν „εἰ ἐπὶ Δάφνιδος Ἆκις ποταμὸς Σικελίᾳ ἐνῆν."

Rec. [Ἄλλως. ὁ νοῦς· πᾶ ποκ' ἄρ' ἦσθα:] (ποῦ ποτε

66) Ποῦ ποτε ἄρα ἐκ παραλλήλου. M. P. — Διερρεῖτο. M. ἐδαμάζετο ὑπὸ τοῦ ἔρωτος. H. M. P.

67) Πηνειὸς ποταμὸς Θεσσαλίας. 5. — [τέμπεα:] κοιλώματα. 6. E. M. — [Πίνδω:] ποταμὸς καὶ οὗτος Θεσσαλίας. M.

68) [Ἀνάπω:] ὄρος Σικελίας. 6.

---

1) νήσου pro Ὄσσης Gen.[b] 2) πόρος] πρὸς vulg. — τις ὄρυξι] τὴν ὄρυξιν Gen.[b], τὴν ὄρεξιν Vulc., διορυξιν vulg. 2) διῃρημένος] Gen.[b] Vulc., —νον vulg. 3) δι' οὗ] p. 3. Gen.[b], δι' ἧς vulg. 3) εἰς θαλ. Gen.[b] 3) λέγεται seqq. om. Gen.[b] 4) //Gen.[b] sine lemmate. 5) Circumscripta om. Gen.[b] et, ut videtur, 5., unde verba ὄρος τ. Π. ἐ. θ. tanquam novum scholion allata sunt. 6) Περραιβίας] 5., Περαιβίας Gen.[b], Περεβοίας Call., Πεῤῥεβοίας Brub., Πεῤῥαιβοίας Xyl. vulg. 6) τὸ δὲ seqq. om. Gen.[b] 6) κατῳκεῖτε] κατοικεῖτε vulg. 7) //Gen.[b] sine δή. 8) οὐκ εἴχετε Gen.[b] 9) περὶ τὴν Σικελίαν Συῤῥακούσαις Gen.[b] 9) ὁ] Gen.[b], ὡς vulg. 10) αὐληκρὸν pro καὶ βλ. Gen.[b], καὶ βληχὸν ante Brub. 10) ὕδ. ἔχ. Gen.[b] 10) ἢ om. Gen.[b] — ποταμός] ποτε cod. 11) τὸ et μὴ om. Gen.[b] 12) //Gen.[b] sine οὐδ'. 12) Ἆκις] Duebnerus, Ἄκις vulg. Item infra. 13) ἀντὶ τοῦ pro ὁ δὲ νοῦς Gen.[b] 13) ἐπὶ Σικελίας p. 14) ὁ om. Gen.[b] 14) ἔπασχέ τι] ἐπάσχετο 5., ἀπώλετο vulg. 14) ἴσως δὲ διά 5. Gen.[b] 14) περιφανοῦς εἰς αὐ. 5. Gen.[b], i. e. indicante Duebnero ὑπερηφανούσης αὐτόν, quod fortasse verius. 15) μηδὲ 5. Gen.[b] 15) αὐτόθεν 5. Gen.[b] 16) Ἄλλως. Ἄκις παρὰ Gen.[b], δὲ ποταμὸς Σικελίας. λέγεται δὲ παρὰ Z. 16) ἄκιδι vulg. 17) ἐν τῷ om. Gen.[b] 17) εἰ ἐπὶ] ὅτι vulg., ὅτι ἐπὶ Casaub. 18) Σικελίᾳ] Casaub., Σικελλίας vulg. — ἐνῆ Gen.[b] 19) //Gen.[a] Lips. sine circumscriptis. 19) ποτ' et ἐτάκετο E. M. Y.

ἄρα ἦτε ὦ Νύμφαι, ὅτε ὁ Δάφνις ἐτήκετο, ἤγουν διεῤῥεῖτο ὑπὸ τοῦ ἔρωτος; E. M. Y. Gen.[a] Lips.) πού ποτε ἄρα ἦτε; ἢ κατὰ τὰ καλὰ τέμπη τοῦ Πηνειοῦ ἦτε; — ποταμὸς οὗτος Θετταλίας — ἢ κατὰ τὰ καλὰ τέμπη τοῦ Πίνδου; — ποταμὸς καὶ οὗτος Θετταλίας — οὐ γὰρ δὴ εἴχετε, ἤγουν ᾠκεῖτε, τὸν μέγαν ῥοῦν τοῦ ποταμοῦ τοῦ Ἀνάπου — τῆς Σικελίας οὗτος ποταμὸς — οὐδὲ τὴν σκοπιὰν τῆς Αἴτνης, περιφραστικῶς ἀντὶ τοῦ τὴν ὑψηλὴν Αἴτνην, οὐδὲ τὸ ἱερὸν ὕδωρ τοῦ Ἄκιδος· ποταμὸς καὶ οὗτος Σικελίας. ἤγουν οὐ γὰρ τὴν Σικελίαν ᾠκεῖτε τότε. λέγει δὲ ἀπεῖναι τὰς Νύμφας, ἐπεὶ Νύμφης ἤρα ὁ Δάφνις, ἧς ἀπούσης μετὰ τῶν ἄλλων δηλονότι ἐτελεύτα. εἰ γὰρ παρῆν, οὐκ ἂν ἴσως ἀπέθανεν. — (Τήκεσθαι τὸ κατ' ὀλίγον ὑποῤῥεῖν τῷ πυρὶ δαπανώμενον, οἷον ἐπὶ κηροῦ καὶ ἐπὶ τῶν ἄλλων τῶν τηκτῶν, ὡς ἐπὶ τῶν βοτανῶν τὸ μαραίνεσθαι. 6.) — (Τέμπη τὸ μεταξὺ τῆς Ὄσσης καὶ τοῦ Ὀλύμπου χωρίον χάριτας ἔχον πολλάς, δι' οὗ καὶ ὁ Πηνειὸς ῥεῖ. 6. — Σκοπὸς ὁ σκεπτόμενος, σκοπιὰ δὲ ὁ τόπος, ἐν ᾧ ἱστάμενος σκέπτεται, ὃ δὴ καὶ σκόπελος ποιητικῶς γράφεται. 6.)

Vs. 71. 72.

Vet. ([Θῶες: λυκοπάνθηροι. ἀπὸ τοῦ θέω τὸ τρέχω γίνεται θώς, ἢ ἀπὸ τοῦ θοός· ταχεῖς γάρ εἰσι καίπερ βραχυσκελεῖς ὄντες. ἔστι δὲ ὁ θὼς ζῷον ἄλκιμον καὶ εὐκίνητον. Vulc.]) — Τῆνον χ' ὠκ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα: [γράφεται καὶ χὠκ δρυμοῖο λέων ἂν ἔκλαυσε.] τινὲς αἰτιῶνται τὸν Θεόκριτον, ἐν Σικελίᾳ λέγοντες μὴ εἶναι λέοντας. ἀλλὰ προστιθεμένη ἡ ἂν συλλαβὴ λύει τὴν αἰτίαν [ἵνα ᾖ· τῆνον ἂν ἔκλαυσεν, εἰ ἐν Σικελίᾳ ἦν, καὶ ὁ λέων ἐκ

71) [Θῶες:] λυκοπάνθηρες. M. θῆρες ὁρμητικοί. P.
72) Καὶ ὁ ἐκ δρυμοῦ καὶ λόχμης λέων, εἴπερ ἦν ἐνταῦθα· οὐ γάρ ἐστιν ἐν Σικελίᾳ λέων, ὥς φασιν. M. — Δρυμὸς ὁ πυκνοῖς δένδρεσι συνηρεφής. 6.

---

2) ποτε] E. M. Y. Gen.[a] Lips. et ante Ox. II, ubi τοτε exaratum, τότε Reisk. seqq. 3) ἢ ἀγαθὰ τέμπη Gen.[a] 6) ἤγουν τοῦ Ἀν. Lips. 12) ἀπέθανεν] Gen.[a] Lips., —νε vulg. 12) τήκεσθαι] Duebn., τήκεται cod. 14) οἷον] Duebn., οἷος cod. 18) ὃ δὴ] ὃ δὴ Gaisf., ὁ δὲ Wart. rell. 21) Schol. manavit ex Etymol., vid. EtM. 459, 42. EtG. 268, 3. 24) //Gen.[b], ubi desunt lemma praeter δρυμοῖο et verba circumscripta. 27) λέοντα ante Heins. 28) Circumscripta om. Gen.[b]

τοῦ δρυμοῦ· ἢ καί,] εἰ ἐγένετο γὰρ ἐν Σικελίᾳ λέων, κἀκεῖνος τοῦτον ἐθρήνησεν.

Rec. Ἄλλως. Τῆνον μὰν θῶες: ἐκεῖνον οἱ θῶες, ἐκεῖνον οἱ λύκοι ὠρύσαντο, ἤγουν ὠρυόμενοι ἐθρήνησαν. ἢ ἐκεῖνον οἱ θῶες, ἐγηρύσαντο δηλονότι. οὐ γὰρ τὸ ὠρύσαντο δύναται καὶ ἐπὶ τῶν θώων λέγεσθαι ἀπὸ κοινοῦ· συνυπακούεται οὖν τὸ οἰκεῖον κατ' ἀναλογίαν τοῦ προρρηθέντος. ἐκεῖνον καὶ ὁ λέων ἐκ τοῦ δρυμοῦ ἀνέκλαυσε θανόντα. — (Λύκοι ὠδύραντο: ὀδύρω ἀχρ... πεποιημένη φωνή· ὀλοφύρω δὲ ἅμα τῷ κλαίειν καὶ τὰς τρίχας τίλλειν. γράφεται δὲ ⟨καὶ ὠρύσαντο.⟩ 6.)

Vs. 73.

Vet. Ἄρχετε βωκολικᾶς: ὅρα τὴν ἡδονήν. ἀντῳδὴ δὲ τὸ σχῆμα, ἥτις γίνεται οὕτως, ὅταν λαλῇ ᾠδὴν ἄλλην καὶ ἄλλην ἀποκρίνεται.

Vs. 74. 75.

Vet. Δαμάλαι μὲν αἱ ἤδη δαμασθῆναι δυνάμεναι· πόρτιες δὲ αἱ μικραί, αἱ μήπω εἰς ζυγὸν ἐλθοῦσαι.

Rec. Ἄλλως. Πολλαί οἱ πὰρ ποσσί: πολλαὶ δὲ βόες παρὰ τοῖς ποσὶν αὐτοῦ, πολλοὶ δὲ ταῦροι, πολλαὶ δὲ δαμάλαι, ἀντὶ τοῦ δαμάλεις, καὶ πόρτιες πολλαὶ — ἀπὸ κοινοῦ — ὠδύραντο, ἤγουν ἐθρήνησαν. βόες αἱ τέλειαι, δαμάλεις καὶ πόρτιες αἱ μήπω ὑπὸ ζυγὸν ἐλθοῦσαι μηδὲ ὀχευθεῖσαι· αἱ πόρτιες δὲ καὶ ἔτι ἀτελέστεραι τῶν δαμάλεων. ἐπὶ δὲ τῶν ἀρρένων μόσχοι τὰ νεογνὰ καὶ τὰ ὑπὸ ταῖς μητράσιν

74) Παρ' αὐτῷ. τοῦτο δὲ καθ' ὅλον καὶ μέρος εἴποις. M.

75) Δάμαλις καὶ δαμάλη ποιητικῶς ἡ ἐνιαυσιαία· πόρτις δὲ ἡ τριμηναία καὶ ἐπέκεινα. 6 — Δαμάλεις, ἤγουν ἀπειρόζυγοι βόες, αἱ μήπω ζυγῷ ὑποθεῖσαι αὐχένα καὶ πορείας ἁψάμεναι. M.

---

1) καὶ pro εἰ Gen.[b] 3) //Gen.[a] Lips. 4) ἢ om. Lips. 5) ἐγυρήσαντο ante Heins. 7) οὖν] Gen.[a] Lips., γοῦν vulg. 7) κατ'] Gen.[a] Lips., κατὰ vulg. 7) προσρηθέντος Lips. 13) //Om. Gen.[a b] Lips. 17) //Gen.[b], ubi δαμάλεις. 17) μὲν et 18) δὲ om. Gen.[b] 18) αἱ μήπω] Gen.[b] et ante Ox. I, καὶ μήπω vulg. 19) //Gen.[a] Lips. sine lemmate. 22) ἀντὶ τοῦ pro ἤγουν Gen.[a] 23) ὀχευθεῖσαι] Toupio auctore Kiessl. seqq., ὀχηθεῖσαι vulg., ὀχηθῆσαι Gen.[a] In Lips. vox evanida. 24) δὲ αἱ ἔτι Phav. s. v. βόες. — ἀτελέστεραι] Gen.[a] Lips. vulg., ἀτελέστεροι P., εὐτελέστεραι 23. et inde Kiessl.

ἔτι, ταῦροι δὲ οἱ τέλειοι. ἔστι δὲ ἡ δάμαλις τῆς δαμάλεως· οἱ ποιηταὶ δὲ καὶ δαμάλη τῆς δαμάλης λέγουσιν, ἀφ᾽ οὗ ἐνταῦθα αἱ δαμάλαι.

Vs. 77—85.

Vet. *Ἦνθ᾽ Ἑρμᾶς*: πρῶτος Ἑρμῆς ἦλθεν, (ἢ ὡς νόμιος, 5. Gen.[b]) ἢ ὡς φίλος Δάφνιδος, ἢ ὡς ἐραστής. — (*Ἦνθε Ἑρμᾶς*: Gen.[b]) τὸ λ εἰς ν τρέπουσιν οἱ Δωριεῖς οὐ πάντοτε, ἀλλ᾽ ὅταν αὐτῷ τὸ ϑ ἢ τὸ τ ἐπιφέρηται, οἷον βέλτιστος βέντιστος, φίλτατος φίντατος· οὕτως οὖν καὶ τὸ ἦλθε ἦνθε. — *Ἦνθ᾽ ὁ Πρίηπος*: οἰκείως· ἀγροῖκος γὰρ ἦν ὁ Πρίαπος ὡς καὶ ὁ Δάφνις. ἴσως <δὲ ἢ ὡς ἐρώμενος τοῦ Δάφνιδος> διὰ τὸ κάλλος <ἢ ὡς> υἱὸς Ἀφροδίτης. Ἄλλως. ἢ ὡς ἐρώμενος τοῦ Δάφνιδος ἢ ὡς υἱὸς Ἀφροδίτης. — *Κῆφα*: καὶ ἔφη· ἔστι δὲ τὸ πάθος ἔκθλιψις καὶ κρᾶσις. — (*Κῆφα*: καὶ ἔφη, κατὰ συναίρεσιν καὶ συγκοπήν. 5. Gen.[b]) — *Ἁ δέ τοι κώρα*: τὸ ἑξῆς· ἡ δὲ κόρη ἀνὰ πᾶσαν τὴν κρήνην ζητοῦσά σε — διὰ μέσου γὰρ ὁ στίχος τὸ *ἄρχετε βωκολικᾶς* — μανιωδῶς φέρεται. — *Ποσσὶ φορεῖται*: καθόλου τὰ εἰς ται λήγοντα ῥήματα, ὅταν ἔχῃ τὸ ει παραλῆγον καὶ προπερισπώμενον, παροξύνουσιν οἱ Δωριεῖς· [ὅταν δὲ βαρυνόμενον, ὁμοίως ἡμῖν ἐκφέρουσιν.] — *Ἄρχετε βουκολικᾶς Μῶσαι* — γράφεται *Μοῖσαι* — *πάλιν*: τὸ *πάλιν* ἐξ ὑποστροφῆς ἀρχὴν ποιούμενός φησιν. αἱ παραγραφαὶ δὲ

---

1) ἐστι pro ἔτι Gen.[a] 1) ἔστι ἡ Gen.[a] 5) //Gen.[b], ubi praefixo ἄλλως post sequens legitur. 5) πρῶτος Ἑ. ἦ.] Gen.[b], ἦλθεν ὁ Ἑ. πρώτιστος vulg. 5) ἢ ὡς νόμιος a Wart. seqq. ex 5. post Δάφνιδος inserta erant. 7) //Gen.[b] — τὸ λ Gen.[b], τὸ δὲ λ vulg. 7) οἱ Δ. εἰς ν μετατρέπουσιν, ἀλλ᾽ οὐ διὰ παντὸς et in marg. ἦνϑε. οὐ διαπαντὸς τρέπεται τὸ λ εἰς ν. Gen.[b] 8) αὐτῷ] Bast. ad Greg. p. 198 et Hamak., αὐτὸ vulg. 9) βέλτιος βέντιος sine οἷον Gen.[b] 9) οὕτω καὶ Gen.[b] 10) ἦλθε ἦνθε] Gen.[b], ἦνθ᾽ Ἑρμᾶς vulg. 10) //Gen.[b], ubi ἦνθε ὁ. 10) Πρίηπος] Gen.[b], Πρίαπος vulg. 10) ἀγροικικὸς δὲ ὡς καὶ Δ. Gen.[b] post Ἀφροδίτης. 13) ἢ ὡς ἐρώμενος] 5. Gen.[b], ἢ ἐρωμένου vulg. 13) //Om. Gen.[a.b.] Lips. 14) ἔστι] 3. et ante Heins., ἐστὶ Reisk. seqq., εἰ vulg. — δὲ] 3. et ante Heins., γὰρ vulg. — τὸ om. 3. 14) ἔκθλιψις] 3., ut voluit Heinsius Lectt. p. 303., ἔκλιψις ante Xyl., ἔκλειψις vulg. 15) ὡς ἔφη 5. 15) καὶ] καὶ κατὰ 5., κατὰ Gen.[b] 16) //Gen.[b] post πρὸς αὐτὸν pag. 69. 16. — ἁ δέ τοι κ.] Gen.[b] et praemisso γράφεται tanquam post lemma 3., ἁ δέ γε κ. Call. 16) αὐτὴ ἡ κόρη Gen.[b] 17) δὲ pro γὰρ Gen.[b] 17) βωκ. om. Gen.[b] 18) μαν. φέρ. vulg. post φορεῖται leguntur, unde transposui, om. Gen.[b] 18) //Gen.[b] 19) ει παραλῆγον] ν παραληγόμενον vulg. 21) //Gen.[b] — βουκ.] Gen.[b], βωκ. vulg. 22) γρ. Μοῖσαι — πάλιν] Xyl., γρ. Μοῖσαι πάλιν Call. et vulg. post Heins. 22) τὸ π. ἐξ ὑπ. om. Gen.[b] 23) παραγραφαὶ] 5., παριγρ. Gen.[b] Call., περιγρ. Bas. II. vulg.

συστέλλουσι τὰς ᾠδάς. τὸ δὲ ἄρχετε βουκολικᾶς λέγεται ἐπῳδοῦ τάξιν ἔχειν. — Ζατοῖσ᾽: Αἰολικὸν (τὸ ζατοῖσα, διὸ καὶ βαρύνεται. 3. 5. Gen.[b]). *συναπτέον δὲ τοῦτο τοῖς ἐπάνω· πάντῃ δὲ πλανᾶται ζητοῦσα αὐτόν. εἰρωνευόμενος δὲ λέγει πρὸς αὐτὸν τοῦτο· αὐτὸς γὰρ μᾶλλον ἐζήτει. διὰ τοῦτο καὶ δύσερως. τινὲς δέ φασιν, ὅτι οὐ διὰ τὴν Νύμφην, ἀλλὰ διὰ τὴν τοῦ βασιλέως θυγατέρα, δι᾽ ἣν ἐπηρώθη. — (Ζατοῖσ᾽ ἆ: γράφεται καὶ χωρὶς κουφίσματος ζατοῖσα ἀντὶ τοῦ ζητοῦσα Αἰολικῶς.* p. *Ζατοῖσα βαρέως, ἐπεὶ Αἰολικόν, διὸ σημαίνει τὸ ζητοῦσα.* Gen.[b] *εἰ δ᾽ ἦν Δωρικόν, εἴρητο ἂν ζατεῦσα.* p. Gen.[b]) — *Ἄλλως. Ζατεῦσα: εἰρωνεύεται δέ· ζητεῖ γὰρ αὐτὸς μᾶλλον, οὐ ζητεῖται ὑπὸ τῆς Νύμφης. ἢ καὶ παρηγορητικὸς ὁ λόγος. — Δύσερώς τις ἄγαν: δύσκολον ἔρωτα ἔχεις καὶ παντελῶς ἀπροσμήχανον. ζητοῦσα γάρ σε ἡ Νύμφη περιέρχεται. παρηγορῆσαι θέλων τοῦτό φησι πρὸς αὐτόν.*

Rec. [*Ἄλλως. τὸ πᾶν·*] *ἦλθεν ὁ Ἑρμῆς πρώτιστος ἀπὸ τοῦ ὄρους, εἶπε δέ· ὦ Δάφνι, τίς σε κατατρύχει, ἤγουν δαπανᾷ, φθείρει; τίνος ὦ ἀγαθὲ κατὰ τοσοῦτον ἔρασαι, ἀντὶ τοῦ ἐρᾷς; ἦλθον οἱ βουκόλοι, μετὰ τὸν Ἑρμῆν δηλονότι· ἦλθον οἱ ποιμένες, οἱ αἰπόλοι. πάντες ἀνηρώτων, τί κακὸν ἔπαθεν. ἦλθεν ὁ Πρίαπος καὶ ἔφη· ὦ Δάφνι τάλαν, ἤγουν ἄθλιε, τί σὺ τήκῃ, ἤγουν διαρρέῃ, φθείρῃ; ἡ δὲ κόρη ἀνὰ πᾶσαν πηγήν, ἀνὰ πάντα τὰ ἄλσῃ, φέρεται τοῖς ποσὶ ζη-*

78) [*Τίς:*] *τίς ἔρως.* P. — *Καταδαμάζει, ἤγουν δαπανᾷ, φθείρει.* E. H. M. P.

81) *Πρίαπος υἱὸς Ἀδώνιδος, θεὸς ἀγροικικός.* * Q.

85) *ζητοῦσά σε ὄντως.* M. — *Γράφεται καὶ ζατοῖσα δίχα κουφισμοῦ.* p.

---

1) *βουκ.*] Gen.[b], *βωκ.* vulg. 2) *ἐπῳδοῦ*] 5. Gen.[b], *ἐπῳδῆς* vulg. 2) *ἔχει* Gen.[b] 2) //Gen.[b] post schol. *ἁ δέ τοι κώρα.* — *ζατοῖσ᾽*] *ΖΑΤΟΙΣ᾽* 3. 5., *ζατοῖσα* Gen.[b], *ζατεῦσα* Call. 3) *δὲ* ante *τοῦτο* om. Gen.[b] 4) *αὐτόν*] 3. 5. Gen.[b], *σε* vulg. 5) *τοῦτο* om. Gen.[b] 6) *Νύμφην* om. Gen.[b] 7) *τὴν τοῦ*] 3. 5., *τοῦ* vulg. 7) *ἐπηρώθη*] Hemsterh. et Hamak., *ἐπηρώτα* vulg. 7) *ζατοῖσ᾽ ἆ*] *ΖΑΤΟΙΣ᾽ Α* Gaisf. 9) *ἐπεὶ*] *ἔστι* cod. 10) *εἰ δὲ Δ.* Gen.[b] 10) *Δωρικῶς εἴρηκεν ἄρα* p. 11) *ζητοῦσα* Gen.[b] 11) //Om. Gen.[a.b.] Lips. 13) //Gen.[b], ubi *ἔχει.* 14) *σε*] Vat. (Gen.[b]), om. vulg. ante Wart 17) //Gen.[a.] Lips. sine circumscriptis et *ὁ*. 18) *ὦ Δάφνι*] 1. 6. E. Gen.[a], *τῷ Δάφνιδι* vulg., evan. in Lips. 19) *τίνος*] Gen.[a] Lips., *τίνος ἕνεκα* vulg. 19) *ὦ 'γαθὲ* Lips. 19) *τοσοῦτο* sola Ox. II, quare *τοσοῦτον* ex 1. 6. enotatum.

τοῦσα — σε δηλονότι. παραμυθούμενος δὲ αὐτὸν τοῦτο λέγει —· δύσερώς τις ἄγαν εἶ — ἤγουν οὐκ εἰδὼς ἐρᾶν, οὐ καλῶς διοικῆσαι τὸν σαυτοῦ ἔρωτα δυνάμενος — καὶ ἀμήχανος, ἤγουν καὶ ὑπ' οὐδεμιᾶς μηχανῆς μετριώτερος περὶ τὸν ἔρωτα γενέσθαι δυνάμενος. — (Τρύχει καὶ τρύχεται τὸ τραχέσι τισὶ καταπονεῖται. ἐρῶ σου καὶ ἐρῶμαι ὑπὸ σοῦ. ἔρασσαι δὲ παθητικὸν ὂν ἀντὶ τοῦ ἐρῶ λαμβάνεται, καὶ ἔστι ποιητικόν. καὶ Εὐριπίδης·

πρὸς θεῶν ἔραμαι κυσὶ θωῦξαι.

6.) — (*Πρίηπος θεὸς ἔφορος τῆς ἀκολασίας, ὅθεν καὶ πριαπισμὸς ἡ ἔκτασις τοῦ αἰδοίου.* 6.) — (*Δύσερως ὁ ἐπὶ κακῷ χρώμενος τῷ ἔρωτι. ὃς γὰρ ἀλοὺς ὑπ' αὐτοῦ οὐκ οἶδεν ἀντέχειν, ἀλλὰ χαυνοῦται, βλάπτεται καὶ κινδυνεύει, ὡς καὶ ὁ Δάφνις, δύσερως λέγεσθαι.* 6.) — (*Ἐξηγητικὸν τὸ ἀμήχανος τοῦ δύσερως. ὁ γὰρ χαυνωθεὶς ὑπὸ τοῦ ἔρωτος ἀμηχανεῖ καὶ οὐ δύναται εὑρεῖν θεραπείαν ἐπὶ τῷ ἔρωτι.* 6.)

Vs. 86—91.

Vet. *Βούτας μὲν ἐλέγευ: βουκόλος ὤν, φησίν, οὐ κατὰ τοὺς βουκόλους ἐρᾷς, παρ' ὅσον οἱ μὲν βουκόλοι πρὸς τὰ ἀφροδίσια ἐγκρατεῖς, οἱ δὲ αἰπόλοι λάγνοι. ἐπάγει δὲ τὴν αἰτίαν, ὅτι κατωφερέστεραι οὖσαι αἱ αἶγες δελεάζουσι τοὺς αἰπόλους. — Ἄλλως.* (*Βούτας μὲν ἐλέγευ:* Gen.[b]) *παροιμία τοῦτο ἐπὶ τῶν ἡσύχων μὲν πρῶτον καὶ ἡμέρων, ἔπειτα δὲ ἀγρίων. οἱ γὰρ βόες ἥμεροί εἰσιν. ἀπὸ γοῦν τῶν βοσκομένων καὶ οἱ βόσκοντες αὐτοὺς τοιοῦτοι λέγονται. αἱ δὲ αἶγες ἄγριαι, παρόσον καὶ εἰς τὰ ὑψηλὰ τῶν ὀρῶν καὶ εἰς κρημνώδεις τόπους νέμονται· ἀπὸ τούτων δὲ καὶ οἱ αἰπόλοι τοιοῦτοι λέγονται. — Ὡιπόλος: ἀντὶ τοῦ ὁ αἰπόλος.*

87) *Ὀχεύονται.* P. Y.

---

1) *ζητοῦσα σε*] Lips., *ζητοῦσά σε* vulg., *ζητοῦσά, σε* Amst., *ζητοῦσα, σὲ* Duebn. 2) *δυσέραστός τις* Gen.[a] 4) *καὶ ὑπ'*] Gen.[a] Lips., *ὑπ'* vulg. 6) *ἐρῶ σοῦ* vulg. 9) *Eurip. Hipp.* 219. — *θωῦξας* Wart. 12) *ἀλοὺς*] Piccolos, *ἄλλους* cod. 13) *κινδυνεὶ* et 14) *λέγεται* cod. 18) //Gen.[b] sine lemmate ante *ἦνθ' ὁ Πρίηπος* p. 18. 10. 18) *ὢν ὁ κατὰ βουκ.* Gen.[b] 20) *ἐπάγει δὲ τ. αἰτίαν*] Gen.[b], *ἡ δὲ αἰτία* vulg. 21) *κατ. οὖσαι* om. Gen.[b] 22) //Gen.[b] post *τὰ σκοτεινὰ* p. 74. 2. sine *ἄλλως*. 26) *ὑψηλὰ*] 5., *ὕψη* vulg. 27) *νέμονται*] 5. Gen.[b], *βόσκονται* vulg. 28) //Om. Gen.[a.b.] Lips.

γίνεται κατὰ συναίρεσιν τοῦ ο καὶ τοῦ α εἰς ω μέγα, μένοντος προσγεγραμμένου τοῦ ι, οἷον ὁ αἰπόλος ᾠπόλος, οἱ αἰπόλοι ᾠπόλοι.

Rec. [*Ἄλλως. Βούτας μέν: ὁ νοῦς·*] *βουκόλος μὲν ἐλέγου, νῦν δὲ ὡμοίωσαι ἀνδρὶ αἰπόλῳ. τοῦτο δὲ ταὐτόν ἐστιν, ὥσπερ εἰ ἔλεγεν· οὐκ ἀξίως τῆς σαυτοῦ τάξεως διετέθης. βουκόλος γὰρ ὢν ὤφειλες μεγαλοπρεπής τις εἶναι καὶ γενναίως τοὺς ἔρωτας καὶ τὰ συμπίπτοντα δύνασθαι διαφέρειν. νῦν δέ, ὡς ἔοικεν, ἐλέγου μόνον βουκόλος, τῇ ἀληθείᾳ δὲ οὐκ εἶ, μικροπρεπῶς διακείμενος καὶ τοιαῦτα πάσχων, οἷα ἂν αἰπόλος ἀνὴρ ἔπαθε. πρὸς ὃ ἐπάγει· ὁ αἰπόλος ὅτε ὁρᾷ τὰς μηκάδας, ἤγουν τὰς αἶγας, οἷα — ἀντὶ τοῦ ὅπως ἐπιρρηματικῶς — βατεῦνται, ἤγουν ὀχεύονται, τοῖς τράγοις μίγνυνται, τήκεται κατὰ τοὺς ὀφθαλμούς, ἤγουν διαρρεῖται, φθείρεται, ὅτι οὐ τράγος αὐτὸς ἐγένετο· καὶ σὺ δέ, ἐπειδὰν ὁρᾷς (τὰς παρθένος, ἀντὶ τοῦ* Gen.[a] Lips.) *τὰς παρθένους, ὅπως γελῶσι, τήκῃ τοὺς ὀφθαλμούς, ὅτι οὐ σὺν αὐταῖς χορεύεις. — (Βούτης ἢ βουκόλος ὁ τῶν βοῶν, ποιμὴν ὁ τῶν προβάτων, αἰπόλος ὁ τῶν αἰγῶν.* 6.)

Vs. 92. 93.

Vet. Τῶσδ' οὐδὲν ποτελέξαθ' ὁ βουκόλος: πρὸς τούτους δέ, οὕστινας ἄνωθεν εἴπομεν, ἤτοι τοὺς βούτας, τοὺς ποιμένας καὶ τοὺς αἰπόλους, τὸν Πρίαπον καὶ τοὺς λοιπούς, οὐδέν τι ἐφθέγξατο ὁ βουκόλος, ἤτοι ὁ Δάφνις. — Ἀλλὰ τὸν αὐτῶ: ἀλλὰ τὸν αὐτοῦ ἔρωτα ἐπέραινε καὶ διήνυε μέχρι καὶ τῆς μοίρας. τοῦτο διχῶς. ἐὰν μὲν γὰρ ἐκτείνωμεν τὸ ας, σημαίνει γενικὴν πτῶσιν· ἐὰν δὲ συστέλλωμεν αὐτό, αἰτιατικὴν τῶν πληθυντικῶν Δωρικῶς. [*ἐκεῖνοι γὰρ τὰς παρ' ἡμῖν ἐκφερομένας εὐθείας τῶν πληθυντικῶν διὰ τῆς αι δι-*

90. *Ὅπως γελῶσιν, μετὰ γέλωτος καὶ χαρᾶς χορεύουσιν.* M. P.
92) *Πρὸς τούτους, τοὺς νομεῖς καὶ τοὺς ἄλλους.* N.

---

4) //Gen.[a] Lips. sine circumscriptis. 6) *σαυτοῦ* Gen.[a] Lips. Call., *σεαυτοῦ* Bas. II. vulg. 7) *τις*] 1. 6. 23. E. M. N. Y. Gen.[a] Lips. Call., om. Bas. II. vulg. 8) *διαφέρειν*] 6. Lips., *φέρειν* vulg. 13) *ἐπιρρήματος* Gen.[a] 13) *ὀχεύονται*] Lips., *βατεύονται* vulg. 13) *μετὰ τῶν τράγων* H. 15) *ὅτι καὶ τρ. αὐ. οὐκ* Gen.[a] 15) *σὺ δέ*] Y. Gen.[a] Lips., *σὺ δ'* E., *σὺ* vulg. 18) *ἢ*] *ὁ* cod. 21) //Om. Gen.[a b] Lips. 24) *οὐδέν τι*] p. 3., *οὐδὲν* vulg. 24) *προσεφθέγξατο* 3. 24) //Om. Gen.[a b] Lips. 25) *αὐτοῦ* Reisk. seqq.

φθόγγου διὰ τοῦ ες ἐκφέρουσιν.] — ([Θεόφραστος ὁ τοῦ Ἀριστοτέλους μαθητὴς ἔφη· ἔρως ἐστιν ἀλογίστου τινὸς ἐπιθυμίας ὑπερβολὴ ἔχουσα μὲν ταχεῖαν τὴν πρόσοδον, βραδεῖαν δὲ τὴν ἀπόλυσιν. Bar.])

Rec. Ἄλλως. Τώσδ' οὐδὲν (ποτελέξατο Gen.[a] Lips.): πρὸς τούτους, ἤγουν τοὺς νομεῖς καὶ τὸν Πρίαπον, οὐδὲν ἐλέξατο, ἀντὶ τοῦ οὐδὲν ἀπεκρίνατο, ὁ βουκόλος, ἀλλὰ τὸν ἑαυτοῦ ἐπλήρου ἀλγεινὸν ἔρωτα, καὶ εἰς τὸ τέλος ἤνυεν, ἤγουν ἔσπευδε, τὸ τῆς Μοίρας, ἤγουν ὃ ἡ Μοῖρα αὐτῷ ἀπεκλήρωσεν.

Vs. 95—98.

Vet. Ἦνθε γε μὰν ἁδεῖα: ἦλθε καὶ ἡ ἡδεῖα Κύπρις γελῶσα καὶ ἔφη· βοῦτα, ὑπ' ἀργαλέου ἐλυγίσθης ἔρωτος καὶ ἐκάμφθης. ταῦτα δὲ ἐπὶ μυκτηρισμῷ [κεληθυῖα] φησὶν ἡ Κύπρις. Εὔπολις·

⏑– οἷον λυγίζεται καὶ συστρέφει τὸν αὐχένα.

— (Ἐλυγίχθης: ἐκάμφθης, κατεδέθης. ἐπὶ μυκτηρισμῷ δὲ ταῦτά φησι. p.) — Ἄλλως. (Ἀδεῖα καὶ ἁ Κύπρις γελάοισα: Gen.[b]) τὸ ἀδεῖα καὶ ἡδεῖα ἀντὶ τοῦ ἡδέα ποιητικῶς [λέγεται]. ἐὰν δὲ γράφεται διὰ τοῦ ι ἁ δῖα, ἡ Διὸς θυγάτηρ, ἐναντίως βούλεται. θέλει γὰρ εἰπεῖν φανερῶς μὲν γελῶσαν, λανθάνειν δὲ βαρυνομένην ἐπὶ τῷ Δάφνιδι. [ταῦτα ἐπὶ μυκτηρισμῷ λέγει ἡ Ἀφροδίτη.]

96) [Ἔχοισα:] κρατοῦσα. H. βαστάζουσα. P.

97) [Θήν:] ἐπιπολύ. C. H. K. — Καταπαλαίσειν· ἡ μεταφορὰ ἀπὸ τῶν παλαιόντων. M. καταπαλαῖσαι. C.

98) Ἐκάμφθης. 6. ἐδεσμήθης· μεταφορικὴ ἡ λέξις ἀπὸ τοῦ λύγου. 5.

---

1) Ex Stob. Flor. LXIV, 27. 5) //Gen.[a] Lips. 6) ἐλέξατο] ἔλεξεν vulg., ποτ' ελέξατο 2. 7) βωκόλος Gen.[a] 8) ἐπλήρου] 1. E. P. Y. Gen.[a] Lips., ἀπεκρίνου vulg. 8) ἤνυεν] Lips., ἤνυε vulg., ἤνυσεν Gen.[a] — εἰς τὸ τέλος τῆς μοίρας ἔσπευδεν, ἤγουν τὸ τέλος ὃ M. 9) ἔσπευδε ... ὃ om. Gen.[a] 9) ἀπεκλήρωσατο M., ἐπεκλήρωσεν 2., ἐπεκύρωσεν omisso αὐτῷ E. N. 12) //Gen.[b], ubi μήν. 12) ἡ et Κύπρις γελῶσα om. Gen.[b] 13) βούτα vulg. 13) ἐλυγίσθης] ante Heins., ἐλυγίχθης vulg., ἐλυγίχθεις et ἐκάμφθεις Gen.[b] 16) *Eupol. fr. inc.* 54. — λογίζεται ante Xyl. 17) Haec a Gaisf. ad ἐλυγίχθης in SchRec. p. 73. 9. afferuntur. 18) //Gen.[b] 19) τὸ ... ἡδέα] τὸ ἀδεῖα καὶ ἁ δῖα vulg. (δία ante Heins.), ἀδεῖα ἀντὶ τοῦ ἡδεῖα Phav., τὴν δὲ ἡδεῖαν ἡδέαν Gen.[b] 20) λέγεται, δὲ et ἁ δῖα om. Gen.[b], ἁ δία ante Heins., ἀδία δὲ διὰ τοῦ ι ἡ τοῦ Διὸς θυγάτηρ ἀντὶ τοῦ ἡ Δία. Phav. 21) βάλλεται Gen.[b] 22) γελῶσαν] Hamakerus, γελῶσα vulg. 22) λανθάνει Gen.[b] 22) Circumscripta om. Gen.[b] — 26) καταπονῆσαι cod.

Rec. (*Λάθρη*: τῷ μὲν φαινομένῳ ἐθυμοῦτο, κεκρυμμένου δὲ ἐγέλα. 6.) — [*Ἄλλως.* Ἦνθε γε μὰν ἀδεῖα:] ἦλθέ γε μὴν καὶ ἡ Κύπρις ἡ ἡδεῖα γελῶσα, λάθρα μὲν γελῶσα, βαρὺν δὲ θυμόν, ἤγουν βαρεῖαν ὀργήν, ἀνέχουσα, τουτέστιν ἀναδεδεγμένη — βαρεῖα δὲ ὀργή, ἣν οὐκ ἄν τις ῥᾳδίως ἐνέγκαι — καὶ εἶπε· σὺ δὴ ὦ Δάφνι κατεύχου, ἀντὶ τοῦ εὔχου, ἐκαυχῶ, λυγιξεῖν, ἤγουν λυγίσειν, καταπαλαίσειν τὸν Ἔρωτα (— μεταφορὰ ἀπὸ τῶν παλαιόντων — Gen.[a])· ἆρ' οὐκ αὐτὸς ὑπὸ τοῦ Ἔρωτος τοῦ ἀλγεινοῦ ἐλυγίχθης; (ἀντὶ τοῦ ἐλυγίσθης, ἤγουν ἐνικήθης. E. I. P. Y. Gen.[a] Lips.) τῶν Δωριέων δὲ τοῦτό ἐστιν. ἐπεὶ γὰρ οὗτοι ἐπὶ τοῦ μέλλοντος τοῦ ἐνεργητικοῦ λυγιξῶ λέγουσιν ὡς πλέξω, ἐξ ἀνάγκης καὶ ἐλυγίχθης λέγουσιν ἐπὶ τοῦ παθητικοῦ ἀορίστου ὡς ἐπλέχθης. — (*ΛΥΓ.* ὡς ἁπαλὸν τίνα κλάδον συντρῖψαι. λυγίζω, ὁ μέλλων λυγίσω καὶ Δωρικῶς λυγιξῶ. ἔστι δὲ τὸ λυγίζω ἐπὶ ἁπαλοῦ τινος κλάδου καὶ ἐπὶ παλαίστρας. 6.)

Vet. Ἄλλως. *Λυγιξεῖν*: καταδήσειν, τουτέστι περιέσεσθαι τοῦ Ἔρωτος [ἐκαυχῶ]. ἴσως γὰρ ὁ Δάφνις μεγαλορρημονήσας εἰς τὴν θεόν, ταύτην ὑπέσχε τὴν ποινὴν καὶ τιμωρίαν. ἢ *λυγιξεῖν*: τὸ βεργίοις δήσειν, ἤτοι δήσειν λύγοις [παρὰ τὸ δεσμεύειν]. καὶ Ὅμηρος·

δίδη μόσχοισι λύγοισιν.

ἢ θλάσειν· ἁπαλὸς γὰρ ὁ λύγος. (Ἀμερίας δέ φησι „*λύγος* ῥάβδος, ἄγνος.“ ἴσως οὖν μαστιγώσειν. 3. 5. Gen.[b] Vulc.)

---

2) //Gen.[a] Lips. sine lemm. 3) ἦλθε] Gen.[a] Lips. vulg., ἦνθε Reisk. seqq. 4) ἔχουσα E. 6) ἐνέγκοι E. 6) σὺ δὲ Gaisf. tac. 6) ηὖχου E. 7) ἐκαυχῶ] (Gen.[a]) Lips. Xyl. et Reisk. seqq., ἐγκαυχω vulg. 7) λιγυξεῖν ἤγ. λιγύσειν ante Brub. (recte Phav. s. v. λυγιξεῖν, ubi pergitur νικήσειν, καταπ. καὶ κάμψειν). 10) ἤγουν] Gen.[a] Lips., om. rell. 11) ἐπεὶ οὕτω Gen.[a] 12) λυγίξω Lips. 12) ὡς . . . λέγουσιν exciderunt apud Gaisf. 17) //Gen.[b] c. lemm. τὺ θὴν τὸν ἔρωτα. 17) καταδήσειν] καταδῦσαι Gen.[b] et ante Heins., καταδῆσαι vulg. 18) ἐκαυχῶ] Xyl. et Reisk. seqq., ἐγκαυχῶ vulg., om. Gen.[b] 19) ὑπέσχε] Gen.[b], ὑπέσχετο vulg. 19) ποινὴν καὶ om. Gen.[b] 20) ἢ om. Gen.[b], ubi λυγιξῆν. Phav. s. v. λυγιξεῖν haec habet: κυρίως δέ ἐστι τὸ τοῖς λύγοις δεσμεῖν. σημαίνει καὶ τὸ θλᾶν· ἁπαλὸς γὰρ ὢν ὁ λύγος εὔθλαστός ἐστι. 20) τὸ] Duebnerus, τοῖς Gen.[b] vulg. 20) δήσειν bis] δῆσαι vulg. 22) *Hom. Il. Λ*, 105. 23) θλάσειν] Hemsterh., θλάσαιο Gen.[b], θλάσεο ante Heins. et Reisk. seqq., θλάσεω vulg., θλάσαι Heins. Lectt. p. 304. 23) παλὸς Gen.[b] Secundum Gaisfordii notam crederis verba ἁπ. γ. ὁ λ. deesse in 5. et fortasse in 3. Vulc. Sed Wart. verba Ἀμερίας seqq. post λύγος inseruit, ubi etiam in Gen.[b] leguntur. 23) ἀμερίοις Gen.[b] — δὲ] Duebnerus, γὰρ codd. 23) λύγος, ῥάβδος] 5. Gen.[b], λύγους, ῥόβδους Wart. Verba Ἀμερίας . . . σκοτεινὰ auctore Gaisfordio in 3. Vulc. *fere* ut in 5. 24) ἄγνος, ἴσως οὖν μαστιγώσειν]

δυνατὸν δὲ καὶ τὸ ἀμαυρώσειν λέγεσθαι· λυγαῖα γὰρ τὰ σκοτεινά. — Ἦ λυγιξεῖν: κάμψειν, δεσμεύσειν. ⟨λυγίζω⟩ λυγίσω καὶ Δωρικῶς λυγιξῶ ἀπὸ τοῦ λύγος τὸ βεργίον καὶ ὁ δεσμός. ἴσως γὰρ ὁ Δάφνις περιέσεσθαι τοῦ Ἔρωτος μεγαλορρημονήσας ταύτην ἔπαθε τὴν ποινήν.

Vs. 100—103.

Rec. Τάνδ' ἄρα χ' ὡ Δάφνις ποταμείβετο: πρὸς ταύτην καὶ ὁ Δάφνις ἠμείβετο, ἀντὶ τοῦ ἠμείψατο, ἤγουν ἀπεκρίνατο· ὦ Κύπρι βαρεῖα, ἤγουν ἐπαχθής — βαρὺ ἐπὶ ὄγκου, ᾧ ἐναντίον τὸ κοῦφον· ἀφ' οὗ βαρὺς ὁ δυσκίνητος καὶ ὁ ἐπαχθής — Κύπρι νεμεσητή, ἤγουν ἀξία μέμψεως, Κύπρι ἀπεχθής, ἤγουν μεμισημένη ὑπὸ τῶν ἀνθρώπων. ἤδη γὰρ ὁ ἥλιος φράζει ἡμῖν πάντα, ἤγουν δείκνυσι, φανερὰ ποιεῖ — διὰ τὴν μετὰ τοῦ Ἄρεος αὐτῆς μίξιν λέγει, ἣν ἔδειξεν ὁ Ἥλιος — δεδύκει ὁ Δάφνις, ἤγουν ἐκλείπει, ἀποσβέννυται, καὶ ἐν τῷ Ἅιδῃ κακὸν ἄλγος ἔσται Ἔρωτος, ὥσπερ καὶ ἐν τῇ ζωῇ δηλονότι. δοκεῖ γὰρ ἀντιτάξασθαι πρὸς τὸν Ἔρωτα· διὸ καὶ ταύτην αὐτὸς αὐτῷ τὴν δίκην ἐπήνεγκεν. — (Ἤδη γὰρ ὁ Ἥλιος πάντα ἡμῖν ἔφρασε· δῆλον γὰρ ἐποίησεν, ὡς συνεγένετό σοι ὁ Ἄρης. καὶ ἀσυνδέτως τὰ ἑξῆς· δεδύκει, τουτέστι θνήσκει, ὁ Δάφνις, καὶ ἐν τῷ Ἅιδῃ κακὸν ἄλγος ἔσται ⟨Ἔρωτος⟩ — οὐχ ὃ ἐποίησεν, ἀλλ' ὃ ἔπαθεν. 6.)

102) Ἰδοὺ γὰρ λέγει, δείκνυσιν. P. δῆλον ποιεῖ. 5. 6. φανερὰ ποιεῖ καὶ δεικνύει. H. — Πάντα σου τὰ ἔργα. 5. — [Δεδύκει:] ἐκλείπει, λειποψυχεῖ. 2. σβέννυται, ἀποκρύπτεται. H.

103) Ὑπάρξει αὐτῷ ἡ λύπη ἡ ἀπὸ τοῦ ἔρωτος. H.

ἀγνοῶν ἴσως οὓς μαστιγώσει 5. Gen.[b] (hic ἴσων et μαστιγῶσι) Wart. et fere 3. Vulc., ἀγνοῶν ἴσως· οὐ γὰρ μαστιγώσειν conj. Duebnerus. 1) δυνατὸν — λέγεσθαι] 3.[1] 5. Gen.[b] et fort. Vulc., λέγουσι — δηλοῦν vulg. 1) λυγαῖα] Toup., λύγεα Gen.[b], λυγρὰ 5. vulg. 2) //Om. Gen.[a.b] Lips. 7) //Gen.[a] Lips. sine lemm. 9) Κύπρις ante Heins. 11) Κύπρι νεμεσητή] Gen.[a] Lips. Call., Κ. νεμεσσητή Xyl. seqq., quae verba quum inde a Call. tanquam lemma scripta essent, in Ox. 1 in ΚΤΠ., a Reisk. seqq. in ΚΤΠΡΙ mutilata sunt. 12) ἀνδρῶν H. 13) φράζει] Lips., φράσδει vulg. 14) Ἄρεος] Gen.[a] mg. Lips. et ante Xyl., ἀέρος Gen.[a] pr., Ἄρεως vulg. 14) λέγει om. Gen.[a] 15) εἶτα δεδύκει Y. 16) ὥσπερ καὶ] add. E. I. M. Y. Gen.[a] Lips. 18) ἐπήνεγκεν] Gen.[a] Lips., —κε vulg. 19) ἤδη γὰρ tanquam lemma scripta erant. 20) συνεγένετο οἱ Wart. 20) ἀσύνδετα cod. 20) δεδύκει] ΔΕΔ. Wart. Gaisf.; plenam vocem, sed tanquam lemma dederunt Amst. Duebn. 22) ἔσται] ἔσεται cod.

Vet. [Τὸ δὲ] ἄμμιν: ἡμῖν ἦν καὶ τροπῇ τοῦ η εἰς α Δωρικῶς καὶ προσθέσει τοῦ μ Αἰολικῶς καὶ ἐν ὑπερβιβασμῷ τοῦ τόνου ἄμμιν.

Vs. 105—107.

Vet. Οὗ λέγεται τὰν Κύπριν: τὸ ου δασυντέον· ἔστι γὰρ ἀντὶ τοῦ ὅπου. λείπει δὲ τὸ καταισχῦναι, ἵν' ᾖ τὸ ὅλον· ὅπου ὁ βουκόλος [Ἀγχίσης] τὴν Κύπριν [καὶ τὴν Ἀφροδίτην] καταισχῦναι λέγεται, (ἄπελθε. δηλοῖ δὲ τὴν Ἴδην· Gen.[b.]) [Ἀγχίσης γὰρ ὁ Αἰνείου πατὴρ κατὰ τὴν Ἴδην ἐμίγη Ἀφροδίτῃ καὶ Αἰνείαν ἐγέννησεν·] ὡς ἑξῆς ἐπιφέρει· ἕρπε ποτ' Ἴδαν [ἕρπε ποτ' Ἀγχίσαν, ἀντὶ τοῦ ἄπελθε πρὸς τὸν βουκόλον Ἀγχίσην]. βουκόλον δὲ τὸν Ἀγχίσην φησί· καὶ Ὅμηρος·

ἥ μιν ὑπ' Ἀγχίσῃ τέκε βουκολέοντι.

ἄλλοι δὲ οὐ προσυπακούουσι τὸ καταισχῦναι. — [Ἡ δὲ] Ἴδη: ὄρος Τροίας. δύναται δὲ καὶ πάντα τὰ ὄρη τῆς ἴδης τῇ προσηγορίᾳ καλεῖσθαι ἀπὸ τοῦ ἴδη, ἡ βοτάνη, ἢ ἀπὸ τοῦ ἰδεῖν καὶ θεάσασθαι· ἀφ' ὑψηλοῦ γάρ τις ἱστάμενος δύναται πόρρω ἰδεῖν. καλεῖται δὲ Ἴδη καὶ ὄρος Κρήτης. — Τηνεὶ δρύες: (ἐκεῖ δρύες 3. 5. Gen.[b.]) ὥστε σκέπειν τὸν Ἀγχίσην συνερχόμενον αὐτῇ. (ὧδε κύπειρος: ἐνθάδε ταπεινὴ βοτάνη, ἀναπεπταμένος ὁ ἀήρ, καὶ οὐ δυνήσῃ λαθεῖν συνουσιάζουσα. Gen.[b.]) — Ἢ ⟨ἐκεῖ δρύες⟩ ὥστε σκέπειν σε συνερχομένην τῷ

105) Ἄιδεται. 2. M. — Τὴν Κύπριν ποιῆσαί τι, γνῶναι δηλονότι, αἰσχῦναι. M. γνῶναι δηλονότι, ἤγουν αἰσχῦναι. E. N. φάναι. K.
107) Ἠχοῦσι, τερετίζουσι. P. — Πρὸς τοῖς σίμβλοις, πρὸς τοῖς πλήθεσι. P. ἐν τοῖς σίμβλοις· ἐκ τοῦ περιεχομένου τὸ περιέχον. M.

---

1) //Gen.[b.] post παροξύνουσι p. 77. 19. sine τὸ δέ. 1) η εἰς α] Gen.[b.] Brub. mg. et vulg., α εἰς η ante Ox. I. 2) Αἰολικῶς et ἄμμιν om. Gen.[b.] 5) //Gen.[b.] — ου] οὗ Gen.[b.], οὗ vulg. 5) δασυντέον] 3. Gen.[b.], δασύνεται vulg. 6) ἔστι γὰρ om. Gen.[b.] 7) Ἀγχ. et κ. τ. Ἀφρ. om. Gen.[b.] 7) τὴν Κ.] τὰν Κ. Gen.[b.] vulg. 8) ἀπῆλθε cod. 9) Ἀγχίσης . . . ἐγέννησεν om. Gen.[b.] 11) Ἴδην Gen.[b.], ubi desunt sequentia circumsepta. 13) καὶ Ὅμ. vulg. post δὲ leguntur, Ὅμηρος sine καὶ ante φησὶν Gen.[b.] 14) *Hom. Il.* E, 313. — ἡμῖν Gen.[b.] 14) Ἀγχίσην ante Heins. 14) βουκολέοντα Gen.[b.] et ante Heins. 15) //Gen.[b.] ante schol. αὖθις ὅπως στάσῃ p. 77. 21. sine ἡ δέ. 16) δύναται] Gen.[b.] et vulg. post Xyl., δύνανται ante Brub. II, ubi δύνα·ται sphalmate. 16) τῇ et καλεῖσθαι om. Gen.[b.] 18) ἱστάμενος] Gen.[b.], ἐφιστ. vulg. 19) //Gen.[b.] — ἐκεῖσε 5. 21) ἀναπεπταμένος] Piccolos, ἀπεπαυμένος cod. 23) //Om. Gen.[a.b.] Lips. — 25) Ante γνῶναι ex E. N. ἀπέρχου affertur, quod ad ἕρπε pertinet.

Ἀγχίσῃ· ἐνταῦθα δὲ κύπειρον, ταπεινὴ βοτάνη καὶ μὴ δυναμένη σκέπειν σε. κύπειρον δέ τινες λέγουσι τὸ παρ' ἡμῖν βούτομον. — (Κύπειρος: χαμαίζηλος πόα. 3.) — Ὧδε καλὸν βομβεῦντι: τουτέστι κατηγορούσας τῆς ἀκρασίας εὑρήσεις τὰς μελίσσας, εἰ πρὸς ἡμᾶς ἥκεις, διὰ τοῦ βόμβου τοὺς ὁδοιπόρους ἐπαγομένας. σμήνη δὲ τὰ τῶν μελισσῶν ἀγγεῖα, ὡς καὶ Ἡσίοδος·

ὡς δ' ὅταν ἐν σμήνεσσι κατηρεφέεσσι μέλισσαι.

Rec. (*Οὗ λέγεται: παρασιώπησις· ὅπου λέγεται εἰπεῖν πρὸς τὴν Κύπριν ὁ βουκόλος.* 6.) — (*Ἤγουν ἕρπε πρὸς τὴν Ἴδην, οὗ καὶ ὅπου ὁ Ἀλέξανδρος λέγεται καὶ ἐκλέγεται τὴν Κύπριν, ἤγουν τὴν Ἀφροδίτην.* Q.) — [*Ἄλλως. Ὁ νοῦς·*] (*Οὗ λέγεται τὰν Κύπριν* Gen.[a] Lips.) *ἕρπε ποτ' Ἴδαν: ἕρπε, ἀντὶ τοῦ ἀπέρχου, πρὸς τὴν Ἴδην, ὅπου λέγεται ὁ βουκόλος τὴν Κύπριν, γνῶναι δηλονότι,* [*αἰσχῦναι·*] *ἀπέρχου πρὸς τὸν Ἀγχίσην — οὗτος ἦν ὁ βουκόλος, ὃν λέγουσι συγγενέσθαι αὐτῇ ἐν τῇ Ἴδῃ —·* [*τηνεῖ δρύες:*] *ἐκεῖ δρύες, κρύπτειν σε δηλονότι δυνάμεναι· ὧδε, ἤγουν ἐνταῦθα, κύπειρος — βοτάνη τίς ἐστιν αὕτη μικρὰ καὶ εὐώδης —· ὧδε μέλισσαι βομβοῦσιν ἐμμελῶς ποτὶ σμήνεσσιν, ἀντὶ τοῦ ἐν τοῖς σίμβλοις, ἐπαγόμεναι δηλονότι τοὺς ὁδίτας.*

Vs. 109. 110.

Vet. *Ὡραῖος* [*χ' ὤδωνις*]: *ἀντὶ τοῦ τρυφερός, ὅθεν καὶ τὸ θρύπτεσθαι ὡραΐζεσθαί φησι Μένανδρος·*

ὡραΐζεθ' ἡ τύχη πρὸς τοὺς βίους.

ἢ ἀντὶ τοῦ ἀκμάζων, ὡς καὶ Ἡσίοδος·

ὡραῖος δὲ γυναῖκα τεὸν ποτὶ οἶκον ἄγεσθαι.

Rec. [*Ἄλλως. Ὁ νοῦς·*] *ὡραῖος καὶ ὁ Ἄδωνις, ἤγουν*

109) *Εὔμορφος.* 2. *ἀκμάζων ὑπάρχει, ἤγουν νέος.* H.

---

3) //Gen.[b] c. lemm. *ποτὶ σμήνεσσι μέλισσαι.* 4) *τουτέστι*] Gen.[b], *ἀντὶ τοῦ* vulg. 4) *μελίσσας εὑρήσεις εἰς πρὸς* Gen.[b] 6) *τοῖς ὁδοιπόροις ἐπαγομένοις· σμήνη τὰ* Gen.[b] 7) *καὶ*] add. 3. 8) *Hesiod. Th.* 594. 13) //Gen.[a] Lips. — *ἕρπε π. Ἴ.* om. Gen.[a] 15) *αἰσχύσαι* Gen.[a], om. Lips., ubi ante *ἀπέρχου* spatium lemmati relictum. 17) *τηνεὶ δρύες* om. Gen.[a] Lips. 19) *τις καὶ αὕτη ἐστὶ* Gen.[a] 20) *σμήνεσσιν*] Gen.[a] Lips., *σμήνεσιν* vulg. 23) //Gen.[b] sine *χ' ὤδωνις.* 24) *Menand. fr.* 291. 26) *καὶ* om. Gen.[b] — *Hesiod. Op.* 693. 27) *ὡραῖος*] 3. 5. Gen.[b] Heins., *ὡραίαν* Call. vulg. 27) *τεὴν γυναῖκα ποτὶ* 3. 5. Gen.[b] 28) //Gen.[a] Lips. — *καὶ ὁ Ἄδωνις*] Gen.[a] Lips., *χ' ὤδωνις* vulg.

ἀκμάζων καὶ εὐειδής, ἐπεὶ καὶ μῆλα, ἤγουν πρόβατα, βόσκει καὶ [πτῶκας, ἤγουν] λαγωοὺς τοξεύει — τοῦτο γὰρ τὸ βάλλει — καὶ πάντα τὰ θηρία [— ἢ καὶ θηρία τἄλλα· γράφεται γὰρ καὶ οὕτω —] διώκει, τουτέστιν ἀγρεύει. σκώπτει δὲ αὐτὴν ὡς ἐρῶσαν τοῦ Ἀδώνιδος.

Vet. [*Τοῦ δὲ πτώκας τὸ ας μακρόν. οἱ γὰρ Δωριεῖς ⟨τὰς αἰτιατικὰς⟩ τῶν εἰς ες ληγόντων εὐθειῶν τῶν πληθυντικῶν ὁμοίως παροξύνουσι καὶ μακρὸν ἔχουσι τὸ α, θῶας Τρῶας, ὅτι τὰς παρ' ἡμῖν εἰς ες ληγούσας εὐθείας τῶν πληθυντικῶν ἐκεῖνοι διὰ τῆς αι προφέρουσιν.*] — *Ὡραῖος χ' ὤδωνις:* [*ἱστορία.*] *Κινύρου τοῦ Ἀπόλλωνος καὶ Σμύρνης θυγατρός, ἥτις κατὰ μῆνιν Ἀφροδίτης ἠράσθη τοῦ πατρός, ὅτι λύσασα τὰς τρίχας οὐδὲ Ἀφροδίτην ἔφη ἔχειν τοιαύτας. ἐλάνθανε δὲ τὸν πατέρα στολιζομένη καὶ συναναμιγνυμένη ὡς θεράπαινα. ὕστερον δὲ ἐγκυμονοῦσα καὶ γεννῶσα τὸν Ἄδωνιν ἐφωράθη. ἐφ' οἷς* [*αἰσθομένη ἢ*] *αἰσχυνομένη ηὔξατο εἰς ὁμώνυμον φυτὸν μεταλλαγῆναι.* — (*Πτῶκας: τὰς αἰτιατικὰς οἱ Δωριεῖς τῶν εἰς ες ληγουσῶν εὐθειῶν ὁμοίως ταῖς εὐθείαις παροξύνουσι.* Gen.[b])

Vs. 112. 113.

Vet. Αὖθις ὅπως στάσῃ: τινὲς περισπῶσιν, ἀλλ' ἁμαρτάνουσι. τὰ γὰρ ὑποτακτικὰ τῶν ῥημάτων, ὥς φησι Λεπτίνης, ὁμοίως ἡμῖν προφέρουσιν οἱ Δωριεῖς.

Rec. Ἄλλως. (*Αὖθις ὅπως στάσῃ:* Gen.[a] Lips.) *αὖθις ὅρα ὅπως ἰοῦσα στήσῃ πλησίον τοῦ Διομήδους, καὶ λέγε, ὅτι τὸν Δάφνιν νικῶ τὸν βουκόλον· ἀλλὰ σὺ μώραινε καὶ*

113) *Ἐνίκησα.* E. — *Ἀλλὰ εἰ θέλεις, σὺ ὦ Διομήδη μάχου μοι. ἢ ὁ Δάφνις πρὸς τὴν Ἀφροδίτην φησί.* 5. * Q. — [*Μαχεῦμαι:*] *γράφεται μάχευ μοι.* Vat. (6.?)

---

2) *πτ. ἤγ.* om. Gen.[a] Lips. 2) *τοξεύει* om. Gen.[a] 3) Circumsepta om. Gen.[a] Lips. 5) *δὲ* om. Lips. 6) //Om. Gen.[a b] Lips. — *πτώκας*] Amst., *πτῶκας* vulg. 7) *τὰς αἰτ.* addi jussit Hamakerus, hic tamen post *πληθυντικῶν*. 10) //Gen.[b] c. lemm. *χ' ὤδωνις.* 11) *ἱστορία* om. Gen.[b] 12) *θυγατρός*] 3. 5. Gen.[b], *θυγάτηρ Μοῖρα* vulg. (*Μύρρα* Scaliger). 13) *οὔτε Ἀφροδίτης* Gen.[b] 14) *πολιζόμενον* 3. 5. Gen.[b], *πωλιζόμενον* p. — *συναγαμ.* Gen.[b], *συναναμιγνύμενον* p. 15) *θεραπαίνη* p., *θεραπένη* Gen.[b], *θεραπαίνῃ* 3. 5. 15) *ἐγγυμιγνοῦσα* Gen.[b] 16) *ἐφωράσθη* Gen.[b] 16) *ἐφ' ἧς* 3. 16) *αἰσθ. ἢ* om. 3. 5. Gen.[b] 21) //Gen.[b] c. lemm. *ὅπως στασῇ.* 23) *ὁμ. ἡμ. προσφέρουσιν οἷον ὥς φ. Λεπτίνης* Gen.[b] 24) //Gen.[a] Lips. — 27) *συμμάχου μοι ὦ Δ.* Q.

μάχου μοι. — (*Τοῦτό φησιν, ὅτι ἔπληξεν ὁ Διομήδης τὴν Ἀφροδίτην κατὰ τὸ θέναρ, βουλομένην συμμαχῆσαι τῷ υἱῷ αὐτῆς τῷ Αἰνείᾳ, ὃν ἐγέννησε τῷ Ἀγχίσῃ.* 6.)

Vs. 115—117.

Vet. [*Ὦ λύκοι, ὦ θῶες, ὦ ἀνὰ ὤρεα*] *φωλάδες ἄρκτοι: οὐ μάτην φησίν, ἀλλ' ἐπεὶ καὶ Θεόφραστος καὶ Σώστρατος ἐν α' λέγει περὶ ἄρκτων, ὅτι πλεῖστον αἱ ἄρκτοι φωλεύουσι χρόνον.* — *Ἢ ὅτι μόναι τῶν ἄλλων θηρίων αἱ ἄρκτοι τίκτουσαι φωλεοῖς ἐπικάθηνται.* [*ἢ φωλάδες αἱ κατάστικτοι.*] — (*Φωλάδες: ἐμφωλεύουσαι.* Hesych.)

Rec. (〈*Φωλάδες: αἱ εἰς τὰ ὄρη φωλεύουσαι.* Vat. * M. — *Αἱ τοῖς φωλεοῖς προσκαθήμεναι καὶ ἀρκούμεναι τῇ λείξει τῶν οἰκείων ποδῶν· διὰ τοῦτο γὰρ καὶ ἄρκτοι λέγονται.* Vat.) — (*Ὦ λύκοι, ὦ θῶες, ὦ κατὰ τὰ ὄρη φωλεύουσαι ἄρκτοι, χαίρετε.* Gen.[a] Lips.) [*χαίρεθ' ὁ βωκόλος ὔμμιν:*] *ὡς ἀποδημῶν τῆς ζωῆς τοῦτό φησι. τὸ γὰρ χαίρειν ἐνίοτε μὲν ἐπὶ ἀποδημίᾳ λέγεται, ἐνίοτε δὲ προσαγόρευσιν ἁπλῶς σημαίνει. ὁ βουκόλος ὑμῖν ἐγὼ ὁ Δάφνις οὐκέτι κατὰ τὴν ὕλην, ἀναστραφήσομαι δηλονότι, οὐκέτι κατὰ τοὺς δρυμούς, οὐ κατὰ τὰ ἄλση. ἐπὶ τοῦ αὐτοῦ λέγεται ὕλη καὶ ἄλσος καὶ δρυμός, ὃς καὶ δρυμὼν λέγεται.* — (*Ὡς ποιμὴν ἀγρο-*

115) [*Θῶες:*] *παρδάλεις.* P., *λυκοπάνθηρες.* M. *συνίζησις.* C. — *Αἱ ἔχουσαι τοὺς φωλεοὺς κατὰ τὰ ὄρη.* 2. *ἐμφωλεύουσαι.* C. H. N.

117) *Πηγὴ ἐν Σικελίᾳ, ἐν ᾗ εἰσβάλλει ὁ Ἀλφειὸς ποταμὸς ἐξ Ἀρκαδίας, δυόμενος διὰ τῆς Ἀδριάδος θαλάσσης καὶ μὴ λυμαίνων τὸ γλυκὺ διὰ τοῦ ἁλμυροῦ.* P.

---

2) *βουλομένην*] Hamak., *βουλόμενος* cod. 5) //Gen.[b] c. lemm. *φωλ. ἄρκτοι.* Hoc schol. edidimus secundum codices 3. 5. Gen.[b] Vulc., quum vulgo pessime correctum vel corruptum legatur in hunc modum: *οὐ μάτην φωλάδας καλεῖ, ἀλλ' ὅτι, ὥς φησι Θεόφραστος καὶ Σώπατρος ἐν τῷ περὶ ἄρκτων, φωλεοῖς οἱ ἄρκτοι χρῶνται καὶ πολὺν φωλεύουσι χρόνον.* 6) *καὶ ὁ Σ.* Gen.[b] 7) *ἐν α' λέγει*] Duebnerus, *ἐνάγει* codd. 7) *πλεῖστον*] *πρῶτον* codd., *πολὺν* vulg. 8) *φωλεύουσι χρόνον*] vulg., *φωλεοῖς ἐχρῶντο ἢ φωλέεσσι* (*φωλέουσι* 5., *φωλεοῦσι* Gen.[b]) *χρόνον* codd., in quibus dittographiam inesse Duebnerus indicavit. 8) //Gen.[b] omisso initio *ἢ ὅτι μόναι* ante scholion *Οὐ λέγεται* p. 75. 5. 8) *αἱ*] (Gen.[b]) Kiessl. seqq., *οἱ* vulg. 9) *τίκτουσαι*] Hamakerus, *τίκτουσι καὶ* vulg. 9) Verba post *ἐπικ.* om. Gen.[b], quae ex glossa aliqua irrepserunt. 11) *καὶ εἰς* et *φωλεύουσι* Vat. 12) Hoc schol. praecedenti adhaerebat, solo commate distinctum. 12) *ἀρκευόμεναι* Wart. 14) *ὦ αἱ κατὰ* Gen.[a] 15) //Gen.[a] Lips. sine lemmate. 17) *ἀποδημίᾳ*] Gen.[a] Lips., *ἀποδημίας* vulg. 21) *καὶ δρυμός*] E. M. Gen.[a] Lips., *δρ. δὲ* vulg.

δίαιτος καὶ ταῖς ὕλαις ἐνδιατρίβων, μηδὲν εἰδὼς ἢ τὰ θηρία ἐπιβοᾶται καὶ ὡς λογικοῖς διαλέγεται· χαίρετε, ὅτι ὁ βουκόλος Δάφνις οὐκέτι ὑμῖν ἀνὰ τὴν ὕλην καὶ τοὺς δρυμοὺς ζῶν φανήσεται. 6.) — (Δρυμὸς τὸ πλῆθος τῶν δρυῶν πεπυκνωμένων ὄντων καὶ μὴ ἐπί τινι θεῷ ἀνειμένων. ἄλσος δὲ τὸ εἰς τιμὴν θεοῦ ἀποτετμημένον. 6.)

Vet. Χαῖρ' Ἀρέθοισα: πηγὴ ἐν Συρακούσαις τῆς Σικελίας, εἰς ἣν εἰσρέει ὁ ἐξ Ἀρκαδίας Ἀλφειὸς ποταμός. — Ἄλλως. Ἀρέθοισα: κρήνη ἐν Συρακούσαις, ἣ ἐν Σικελίᾳ φυγοῦσα διὰ πελάγους Ἀλφειὸν ἧξεν, ὥς φησιν Ἴβυκος παριστορῶν περὶ τῆς Ὀλυμπίας φιάλης. — (Ἄλλως. Ἴβυκος ἱστορῶν περὶ τῆς Ὀλυμπίας φιάλης Σικελικὴν κρήνην τὴν Ἀρέθουσαν εἶναί φησι καὶ ὑπὸ Ἀλφειοῦ πληροῦσθαι. Urs.) — [Ἄλλως.] Ὅτι Ἀρέθουσα Σικελικὴ κρήνη πρόδηλον. δοκεῖ δ' ὑπ' Ἀλφειοῦ πληροῦσθαι. ἔστι δὲ καὶ ἐν Εὐβοίᾳ Ἀρέθουσα, καὶ ἄλλη ἐν Σάμῳ·

πὰρ κόρακος πέτρῃ καὶ ἐπὶ κρήνῃ Ἀρεθούσῃ·

χαριέντως τοῦ Ἐπαφροδίτου λέγοντος ἐν τῷ περὶ στοιχείων, ὡς ἀρεθούσας καλοῦσι τὰς κρήνας. (ἀγνοήσας δὲ Κράτης μεταγράφει ἐπὶ κρήνης μελανύδρου. 3. 5. Can. Gen.[b] Vulc.)

Rec. Ἄλλως. Χαῖρε Ἀρέθουσα — πηγὴ αὕτη ἐν Σικελίᾳ, ἧς ἔλεγον ἐρᾶν τὸν Ἀλφειὸν τὸν ποταμόν.

---

2) ὡς] Hamakerus, τοῖς cod. 3) ὑμῖν] Kiessl. seqq., ἡμῖν Wart. 4) δρυῶν et τιμὴν] Toupio auctore Kiessl. seqq., δρυμων et τομην Wart. 7) //Om. Gen.[a b] Lips. 9) //Gen.[b] — ἄλλως. Ἀρέθοισα] 3., ἡ Ἀρέθουσα ante Xyl., ἡ Ἀρέθουσα vulg., om. Gen.[b] 9) Συῤῥ. Gen.[b] 9) ἣ] ἣ vulg., ταῖς Ursinus Lyricc. p. 120 ex ingenio opinor. 10) φυγοῦσα] ἥ φασὶ vulg., φ' sine ἥ Gen.[b], ubi desunt διὰ π. Ἀ. 10) ἧξεν] ἧξειν 3. 5. Gen.[b] et ante Heins., ἥκειν vulg. 11) περιστορῶν Gen.[b] 11) φάλης 5.[1] 11) Haec F. Ursinus Lyricc. p. 120 post antecedens scholion protulit. 11) //Gen.[b], ubi Ἀρεθ. ὅτι sine ἄλλως. 15) Ἀρέθουσα om. Gen.[b] 17) *Hom. Od.* N, 408. — περὶ pro πὰρ 3. 5. Gen.[b] et ante Heins. 18) χαριεντος 3.[1] Sequentia cum Duebnero scripsimus secundum codices 3. 5. Can. Gen.[b] Vulc., quum vulg. in hunc modum mutilata legantur: χαριέντως δὲ καὶ Ἐπαφρόδιτός φησιν, ὅτι ἀ. κ. τ. κρ. Ceterum Ἀρεθούσας tanquam N. P. scriptum erat post Xyl. 19) κράτις 3.[1] 22) //Gen.[a] Lips., ex quibus χαῖρε et αὕτη accesserunt. 23) τὸν ποτ.] Lips. et ante Scult., τὸν om. vulg.

Vs. 118.

Rec. Καὶ ποταμοί, οἵτινες χεῖτε καλὸν ὕδωρ, ἤγουν καθαρὸν καὶ μετὰ κάλλους ῥέον, κατὰ τοῦ Θύμβριδος· ποταμὸν Σικελίας εἶναί φασι καὶ τοῦτον.

Vet. Ἄλλως. Θύμβρις κατά τινα γλῶσσαν ἡ θάλασσα· τινὲς δὲ Σικελίας ποταμὸν ἔφησαν Θύμβριδα. — [Ἡ] Θύβριδος ὕδωρ: ποταμὸς Σικελίας, ἐφ' ᾧ μυθεύεται Ἡρακλῆς, ⟨ὡς⟩ τὰς ἐκ τῆς Ἐρυθείας βοῦς ἐλαύνων ἐνταῦθα ἀφίκετο, γενομένου δὲ χειμῶνος ἀνυπερβλήτου ἔχωσε τὸν ποταμὸν καὶ ἐπίπεδον ἐποίησεν· ἐφ' ὃν οἱ Κεφαλοίδιοι δείκνυνται κατοικοῦντες. (ὁ Θεαίτητος δέ φησι Συρακουσίους ⟨ὀνομάσαι⟩ ἀπὸ τῆς ὕβρεως. 3. 5. Can. Gen.[b] Vulc.) Ἀσκληπιάδης δὲ ὁ Μυρλεανὸς διὰ τοῦ δ γράφει καί φησι· „Δύβρις, ἡ κατὰ γλῶσσαν θάλασσα.“ γράφουσι δέ τινες ὑπὸ Τύμβριδος· ἔστι δὲ καὶ οὗτος ποταμὸς Σικελίας.

Vs. 120. 121.

Rec. Δάφνις ἐγὼν ὅδε: κατὰ ἐπανάληψιν τοῦτο λέγεται πρὸς τὸ ὁ βουκόλος ὔμμιν ἀποδιδόμενον. ἡ γὰρ συνέχεια τοῦ λόγου οὕτως ἔχει· ὁ βουκόλος ὑμῖν ἐγὼ ὁ Δάφνις οὐκέτι ἀναστραφήσομαι κατὰ τὴν ὕλην καὶ τοὺς δρυμοὺς καὶ τὰ ἄλση, ὁ Δάφνις ἐγὼ οὗτος ἐκεῖνος ὁ τὰς βοῦς

118) Χείμαρροι. M. — [Θύμβριδος:] ὄνομα τόπου ἢ ποταμὸς Σικελίας. P. Δύβριδος: θαλάσσης. p.

---

2) //Gen.[a] Lips. — καὶ] Gen.[a] Lips. et ante Ox. I, om. vulg. 2) ἤγουν] 1. Y. Lips., ἢ vulg. 3) καὶ] 1. 6. 7. M. N. Y. Gen.[a] Lips., ἢ vulg. 3) κατὰ τοῦ] Gen.[a] Lips., κατὰ ante Ox. I, om. vulg. 5) //Om. Gen.[a.b.] Lips. 6) //Gen.[b] — Θύβριδος ὕδωρ] Gen.[b], Θύμβρις vulg. 8) ἐκ τῆς (τ ex θ correctum) Gen.[b] 8) Ἐρεθυίας ante Kiessl., ἐρειθύας Gen.[b] 8) ἀφίκετο] 3. 5. Gen.[b] et ante Xyl., qui ἀφίκεσθαι, tum ἀφικέσθαι Heins. vulg. 9) ἀνυπερβλήτως 5. 9) ἔχωσε] 3. 5. Gen.[b] Vulc., χῶσαι vulg. 10) ἐποίησεν] Gen.[b], ἐποίησε 3. 5. Vulc., ποιῆσαι vulg. 10) Κεφαλοίδιοι δείκνυνται] Meinekius Vindd. Strab. p. 71. (praeeunte Duebnero, qui Κεφαλοίδιον) κέφαλοι διαδείκνυνται vulg. 11) ὁ om. Gen.[b] 11) Συρακουσίους] Συρρακουσίους Gen.[b], συρακούσιος 5., συῤῥακοσίως rell. 13) Μυρλ.] 5. Gen.[b] Vulc., Μερλ. vulg. 13) καί φησι] add. 3. 5. Gen.[b] Vulc. — Δύβρις] 5. Gen.[b], Δύμβρις vulg. 14) γρ. δέ τινες] 3. 5. Gen.[b] Vulc., ἄλλοι δὲ vulg. 17) //Gen.[a] Lips. sine ὅδε; lemma etiam in hoc, sed atro scriptum. 17) κατὰ] Lips. Call., κατ' Bas. II. vulg. 18) ὁ] E. Y. Gen.[a] Lips. et ante Xyl., om. vulg. 18) ἀποδιδόμενον] E. Y. Gen.[a] Lips. et ante Ox. II, ubi ἀποδεδόμενον, tum ἀποδεδομένον Kiessl.

ἐνταῦθα βόσκων, ὁ Δάφνις ὁ τοὺς ταύρους καὶ τὰς δαμάλεις ἐνταῦθα ποτίζων. τὸ δὲ χαῖρε Ἀρέθουσα καὶ τὸ ἑξῆς μέχρι τοῦ Δάφνις ἐγὼ διὰ μέσου.

Vs. 123—126.

Vet. *Ὦ Πὰν Πάν: ποιητικὴ ἐπανάληψις· εἰ μή τις πιθανεύοιτο λέγων, ὡς ὁ νοῦς ἐστὶ τοιοῦτος· ὦ τὸ πᾶν σὺ ὁ Πάν, ἵνα τὸ μὲν πρῶτον περισπασθῇ, τὸ δὲ δεύτερον ὀξυτονηθῇ. τὸν δὲ Πᾶνα οἱ μὲν Πηνελόπης καὶ [Ὀδυσσέως ἢ] Ἑρμοῦ, ἄλλοι δὲ Διὸς καὶ Καλλιστοῦς, ἕτεροι δὲ Αἰθέρος καὶ Οἰνηίδος [ἢ Νηρηίδος], ἔνιοι δὲ Οὐρανοῦ καὶ Γῆς. — (Εἴτ' ἐσσὶ κατ' ὤρεα μακρὰ* Gen.[b]) *Λυκαίω: ⟨τὸ⟩ ὑπὸ τῷ Λυκαίῳ φησι χῶμα, ἠρίον καλούμενον Καλλιστοῦς, εἰς ὃ [ἐλθοῦσαν] τὴν Λυκάονος Καλλιστὼ θυγατέρα ἄρκτον οὖσαν ὑπὸ Ἑρμοῦ ταφῆναι· ἥν φησιν Ἄρατος ἐν οὐρανῷ ἠστερίσθαι. — (ΛΥΚΑΙΟΥ: ὄρος τῆς Ἀρκαδίας κληθὲν ἀπὸ Λυκάονος τοῦ Πελασγοῦ, ἐν ᾧ μαντεῖον Πανός.* 5.) — *Μέγα Μαίναλον: Μαίναλον ὄρος ἀπὸ Μαινάλου τοῦ Λυκάονος [υἱοῦ Ἑρμοῦ· ἔνθα ἡ Ἀταλάντη τῷ Ἰάσονι παρέσχετο δόρυ ξένιον.*

δεξιτερῇ δ' ἕλεν ἔγχος ἑκηβόλον, ὅ ῥ' Ἀταλάντη
Μαινάλῳ ἔν ποτέ οἱ ξεινήιον ἐγγυάλιξεν].

— *Ἑλίκας δὲ λίπε ῥίον: τοῦ ὄρους τὸ ἀκρωτήριον παρὰ τὸ ἐπιρρεῖσθαι τοῖς τῶν ὑετῶν ὄμβροις καὶ (τοῖς τῶν* Gen.[b])

125) [*Ἑλίκας*:] *τὰς συστροφάς. καὶ πηγὴ Ἄργους.* P. *πηγῆς Ἄργους.* M. — [*Ῥίον*:] *ἀκρωτήριον.* 2. 6. M. *ἀκρωτήριον Πελοποννήσου.* Cant. — *Τὸ ὑψηλόν.* M.

126) *Λυκαονίδαο: τοῦ Μαινάλου. τοῦ υἱοῦ τοῦ Λυκάονος.* *Cant. *τοῦ Μαινάλου.* M. — *Θαυμαστόν.* Harl.

---

1) *ὁ ταύρους* Lips. 5) //Gen.[b] 7) *μὲν* om. Gen.[b] 8) *Πην. δὲ καὶ* Gen.[b] 10) *Νηρηΐδος ἢ Δινηΐδος* Gen.[b], *νηρηΐδος καὶ δινηΐδος* 5. *Νηρηίδος* diversam lectionem pro *Οἰνηίδος* esse Jacobsius adnotavit. Vid. Adn. ad Vs. 3. 10) *καὶ ἔνιοι* 5. 11) //Gen.[b] — *Λυκαίω*] Gen.[b], *Λυκαίου* vulg. 12) *Λυκαίων* pro *Λυκαίῳ* Vulc. 12) *χῶμα, ἠρίον καλούμενον*] *χωρίῳ καλουμένῳ* vulg., *χωρίων καλουμένων* Vulc. 14) *ταφῆναι*] 6. Gen.[b] Vulc., *τραφῆναι* vulg. Codex 6. a Wart. et Gaisf. errore pro 5. nominari videtur. 14) *ἣ καί φ.* Gen.[b] 16) *Πελαγοῦ* Gaisf., sphalmate puto. 16) *μαντιον* Wart. 17) //Gen.[b] sine lemmate. 18) *υἱοῦ* seqq. desunt in Gen.[b] 20) *Apollon. Rh. I*, 769. 20) *ὅ ῥ'*] ante Heins., *ὅῤῥ'* vulg. 21) *ξηνήϊον* ante Brub. II, quae *ξενήιον*, tum *ξεινήϊον* Xyl. vulg. 22) //Gen.[b] sine *λίπε*. 22) *τοῦ ὄρους τ. ἀ.* om. Gen.[b] 23) *ὄμβρος* Gen.[b] — 27) *Λυκαονίδαο*] *Λυκαίου* cod.

πηγῶν ὕδασιν. — *Ἢ* ⟨*Ἑλίκας*:⟩ *ὄνομα πόλεως πρὸς τῷ Ῥίῳ τῷ Ἀχαϊκῷ.* — *Τὸ Αἰπὺ τοῦ* ⟨*Αἰπυτίου*⟩ *τάφου κεφαλή. καὶ Ὅμηρος·*

Αἰπύτιον παρὰ τύμβον·

εἰς ὃν φασι τὰ εἰσερχόμενα ζῷα ἄγονα γίνεσθαι. — *Ἀγητόν: ἤγουν ἔκπληξιν ἔχον διὰ τὰ ἐν αὐτῷ γινόμενα (περὶ Λυκάονα καὶ Καλλιστὼ* ⟨*καὶ*⟩ *Ἀρκάδιον.* Gen.[b] Vulc.)

Rec. [*Ἄλλως. Ὁ νοῦς·*] *ὦ Πὰν Πάν, εἴτε εἶ κατὰ τὰ ὄρη τὰ μακρά, ἤγουν τὰ ἐπὶ πολὺ διήκοντα (ἢ τὰ ὑψηλὰ* Y. Gen.[a] Lips.), *τοῦ Λυκαίου — ὄρος δὲ Ἀρκαδίας τὸ Λύκαιον — εἴτε σύγε περιέρχῃ τὸ μέγα Μαίναλον — ὄρος καὶ τοῦτο ἐν Ἀρκαδίᾳ — ἐλθὲ ἐπὶ τὴν νῆσον τὴν Σικελήν, ἀντὶ τοῦ τὴν Σικελικήν, τῆς Ἑλίκης δὲ τὸ ῥίον κατάλιπε καὶ τὸ ὑψηλὸν μνῆμα ἐκεῖνο τοῦ υἱοῦ τοῦ Λυκάονος, ἤγουν τοῦ Μαινάλου, ἀφ' οὗ τὸ ὄρος Μαίναλον, ὃ καὶ τοῖς θεοῖς ἐστι θαυμαζόμενον. τὸ δὲ Ῥίον ἀκρωτήριόν ἐστι τῆς Πελοποννήσου ἐναντίως τῷ καλουμένῳ Ἀντιρρίῳ τετραμμένον.* — (*Ἀμφιπονεῖν* ⟨*λέγομεν*⟩ *τὸν περί τι ἀναστρεφόμενον πόνον ἔχοντα, ἀμφιπολεῖν δὲ* ⟨*τὸν*⟩ *περί τι πολοῦντα, οὐ μέντοι καὶ κοπιῶντα.* 6.)

Vs. 127.

Vet. *Ἴτε λήγετε: ὥσπερ ἤρξασθε, οὕτω καὶ λήγειν ποιήσατε.*

Rec. (*Ἴτε λήγετε:* Gen.[a] Lips. Phav.) *παρακελευσματικὸν ἐπίρρημα τὸ ἴτε ἀντὶ τοῦ ἄγετε.*

127) [*Λήγετ'*:] ὀξύνετε. K.P.

---

1) *ποταμῶν* pro *πηγῶν* Gen.[b] Vulc. 1) //Om. Gen.[a b] Lips. 2) *Ῥίῳ*] Duker. ad Thucyd. II, 86, *ὁρίῳ* vulg. 2) //Om. Gen.[a.b] Lips. Vulgo antecedenti adhaeret. — *τὸ*] *ὃ* ante Heins., ubi *ἤ*, tum *ἢ* Ox. II vulg. — *Αἰπὺ τοῦ*] *Αἰπύτου* vulg. 4) *Hom. Il. B*, 604. 5) //Gen.[b] — *ἀγητὸν*] Gen.[b], *ἀγατὸν δὲ* Call., *ἀγαστὸν δὲ* Brub. seqq., *ΑΓΑ.* Ox. I. II, *ἀγαστὸν* Reisk. seqq. 6) *ἤγουν* om. Gen.[b] 8) //Gen.[a] Lips. — *εἶ*] Y. Gen.[a] Lips., *εἰς* vulg., om. I. 12) *ἐν Ἀρκαδίᾳ*] Gen.[a] Lips. Call., *Ἀρκάδίᾳ* Bas. II, *Ἀρκαδίας* Brub. vulg. 12) *Σικελίαν* pro *Σικελὴν* Gen.[a] 13) *ἀντὶ τοῦ Σικελίαν* post *Σικελικὴν* add. E. 15) *ὅπερ καὶ* M. 17) *ἀμφιπονεῖν* et *ἀμφιπολεῖν*] Hamak., *ἀμφιπονεῖ* et *ἀμφιπολεῖ* cod., *λέγομεν* add. Hamak. post *ἔχοντα.* 18) *τὸν*] Hamak., *τὸ* cod. 22) //Gen.[b] sine *ἴτε.* 24) //Gen.[a] Lips. Phav. — *παρακελευματικὸν* ante Ox. I (recte Phav.). 25) *ἔλθετε* pro *ἄγετε* 7.

Vs. 128—130.

Rec. Ἔνθ' ὦ Ἄναξ: ἐλθὲ ὦ ἄναξ καὶ τήνδε τὴν καλὴν σύριγγα τὴν γλυκύφωνον — τοῦτο γὰρ τὸ μελίπνουν — ἐκ κηροῦ εὐπήκτου οὖσαν, περὶ τὸ χεῖλος ἑλικτήν, ἤγουν περιειλημένην, φέρε, ἀντὶ τοῦ λάβε. ὄντως γὰρ ἐγὼ ὑπὸ τοῦ ἔρωτος ἤδη ἕλκομαι εἰς τὸν Ἅιδην. εὔπηκτον δὲ λέγει τὸν κηρὸν ὡς εὐκόλως πηγνύμενον.

Vet. (Φέρ' εὐπακτοῖο: οἱ μὲν κατὰ συναλοιφὴν φέρ', εἶτα εὐπηκτοῖο, τοῦ καλῶς πεπηγότος· οἱ δὲ ἐκπληροῦσι φέρευ, ἀντὶ τοῦ λάμβανε, ⟨σοὶ⟩ δηλονότι, τὴν σύριγγα. Gen.[b]) μελίπνουν δὲ (ἢ τὴν ἡδύφωνον ἢ Gen.[b]) τὴν ὀδωδυῖαν διὰ τὸν κηρόν. Ἄλλως. Τὸ ἑξῆς· λάβε τὴν σύριγγα τὴν ἐκ κηροῦ εὐπήκτου, περὶ τὸ χεῖλος εἱλουμένην ἐν τῷ συρίζειν.

Vs. 132—136.

Vet. Φορέοιτε βάτοι: βάτος****— ⟨Νάρκισσος: καὶ⟩ θηλυκῶς λέγεται, ὡς ἐνταῦθα καλὴ νάρκισσος, καὶ ἀρσενικῶς παρ' Ἀριστοφάνει. — (Ἐπ' ἀρκεύθοισιν: ἄρκευθος δένδρον ἀκανθῶδες ἢ φυτόν. Gen.[b]) — Ὑπὸ ἀρκεύθοισι κομάσαι: ἄρκευθος εἶδος φυτοῦ ἀκανθώδους. [τὸ δὲ κομᾶσαι ἀντὶ τοῦ ἀναθῆλαι· τὰ ἀπαρέμφατα ἀντὶ προστακτικῶν.]

128) [Φέρ':] πρὸς τὸ χεῖλος σύναπτε. M. — Τὴν φωνὴν ἐπιτελοῦσαν ἡδεῖαν. P.

129) [Σύριγγα:] τζαφάραν ἄριστον. P. — [Χεῖλος:] σύναπτε τὸ [χεῖλος] φέρε ἐνταῦθα, ἤγουν φέρε περὶ τὸ σὸν χεῖλος τὴν ἑλικτὴν ἐκ κηροῦ σύριγγα, ἤγουν τὴν ἀληλιμμένην ἐν κηρῷ. M. — Συνεστραμμένην. P.

130) [Ἤδη:] ἀπὸ τοῦ νῦν. 2.

---

2) //Gen.[a] Lips. 2) κακαλην 2.[1] 4) περιειλημμένην Gen.[a] Lips. et ante Brub. II. 5) οὗτος pro ὄντως Gen.[a] 8) φέρ'] Adert., φέρε cod. 10) φέρευ] φέρε δὴ cod. 11) //Gen.[b] — μελ. δὲ] Gen.[b], καὶ μελ. vulg. 11) ἢ τὴν] ἤδη cod. 11) τοι ὀδ. pro τὴν ὀδ. Gen.[b] 12) Pro ἄλλως . . . τὴν in Gen.[b] est lemma ἐκ κηρῷ. 13) εὐπηκτοῖο Gen.[b] 13) τὸ om. Gen.[b] 16) //Gen.[b] — βάτος] Gen.[b], ἡ βάτος vulg. Sequitur vulg. θηλυκῶς nullo lacunae indicio. 17) λέγ. θηλ. Gen.[b] — ὡς] Gen.[b], ὁμοίως vulg. 17) καλὴ] καὶ ἡ vulg., om. Gen.[b] 17) κ. ἀρσ. παρ' Ἀ.] Gen.[b], παρὰ δὲ τῷ Ἀ ἀρσ. λέγεται vulg. 19) //Om. Gen.[a b] Lips. 21) κομᾶσαι] κομάσαι vulg.

Rec. Νῦν δ' ἴα μὲν φορέοιτε: νῦν δὲ ἴα μὲν αἱ βάτοι φορέοιτε, ἀντὶ τοῦ φέρετε, τουτέστι γεννᾶτε, ἐκτρέφετε, φέρετε δὲ οἱ ἄκανθοι (ἴα δηλονότι E.)· ἡ δὲ καλὴ νάρκισσος κομῆσαι, ἀντὶ τοῦ βλαστησάτω, ἐπὶ ταῖς ἀρκεύθοις· ἀκανθῶδες φυτὸν ἡ ἄρκευθος. τὸ δὲ κομῆσαι γίνεται ἀπὸ τοῦ κομάω κομῶ, ὃ λέγεται οὐ μόνον ἐπὶ τριχῶν, ἀλλὰ καὶ ἐπὶ φυτῶν. πάντα δὲ ἐνηλλαγμένα γενέσθω. [κατὰ τὸ

ἄνω ποταμῶν χωροῦσιν αἱ πηγαί.]

καὶ ἡ πίτυς ὄχνας, ἤγουν ἄπια, ἐνείκαι, ἀντὶ τοῦ ἐνεγκάτω, (τουτέστι Gen.[a]) γεννησάτω, ἐκθρεψάτω, ἐπεὶ ὁ Δάφνις ἀποθνήσκει. — (Νῦν, ἐπεὶ θνήσκω, πάντα ἐνηλλαγμένα γένοιντο, καὶ ἡ βάτος φέροιτο καὶ βλαστῆσαι ἴα, ἡ δὲ ἄρκευθος ἐπὶ τῆς κόμης νάρκισσον, καὶ ἡ πίτυς ὄχνας. 6.)

Vet. Ὄχνας: καὶ ὄχνας καὶ ἀπίους φασὶ καὶ ἀχράδας [ἢ καὶ ἀχλάδας]· ἀχράδας μὲν παρὰ τὸ ἐν τῷ ἐσθίεσθαι ὄχλησιν [οἱονεὶ] ἐμποιεῖν [ὀχλάδας τινὰς οὔσας]· ὄχνας δὲ ἀπὸ τοῦ ἄγχειν δοκεῖν· ἀπίους δέ, ὅτι πρῶτον ἐν Πελοποννήσῳ

132) [Ἴα:] καὶ ῥόδα. 2. 5. — [Ἄκανθοι:] ἀκανθηφόροι ῥάμνοι. P.

133) Ἐπὶ ὀξείαις ἀκάνθαις. M. P. — Ἀνθησάτω. M. P. ἀντὶ τοῦ βλαστησάτω, ἀνθησάτω. Phav. ἀναβλαστησάτω. E. ὁμοίως καὶ ἐνταῦθα κομάσαι ἀντὶ τοῦ κρύβηθι, τὸ εὐκτικὸν ἀντὶ προστακτικοῦ. Q.

133) Ἐνηλλαγμένα καὶ ἀνατετραμμένα. M. — Ἡ πεύκη. E. M. P. — Ἄπια Κυδώνια. M.

134) [Θνάσκει:] καὶ κινδυνεύει. P. — Διώκοι. P.

136) Νυκτικόρακες. 2. κόρακες. P. κόκκυγες. M. — Ἐρίσαιντο. P. διὰ φωνῆς φιλονεικήσαιντο. H.

---

1) //Gen.[a] Lips. — νῦν ἴα in lemm. Gen.[a] 2) ἐκφέρετε, φέροιτε καὶ pro ἐκτρ. φέρ. δὲ Gen.[a] 3) οἱ ἄκανθοι] E. Gen.[a] Lips., αἱ ἄκανθαι vulg. 4) κομήσαι] κομῆσαι Gen.[a], κομάσαι vulg. 5) κομήσαι] Lips., κομῆσαι Gen.[a], κομάσαι vulg. 6) κομάω] (Gen.[a]) Lips. Kiessl., κομέω vulg. 7) Circumsepta om. Gen.[a] Lips. 8) *Eur. Med.* 414, ubi ποτ. ἱερῶν χωροῦσι παγαί. 9) καὶ ἡ πίτυς ὄχνας] Gen.[a] Lips. et ante Scult., qui καὶ ἁ π. ὄ., tum *ΟΧΝ*. reliquis omissis Ox. I. II, *ΟΧΝΑΣ* Reisk. seqq. 10) ἐκθρ. γενν. Lips. 14) //Gen.[b] sine lemmate, ex quo libro accesserunt καὶ ὄχνας καὶ et φασί. 15) ἢ καὶ ἀ. et in seqq. οἱονεὶ et ὀχ. τ. οὔσας om. Gen.[b] 15) ἀχράδας] Gen.[b], ut videtur, ἀχλάδας vulgo. In eodem verba ἀχ. δὲ (sic pro μὲν) .... ἐμποιεῖν post δοκεῖν leguntur. 15) παρὰ] Gen.[b], διὰ vulg. 15) ὄχλους pro ὄχλησιν Gen.[b] 17) ἄγχεσθαι Gen.[b] 17) ἄπιοι δὲ δοκοῦσι πρ. ἐν Πελ. Gen.[b] — 18) ῥάμναι cod. 21) Eadem in SchQ. legi videntur, ubi Duebnerus κομάσαι et κρύβηθι neque atque in Gl. extare dicit.

δοκοῦσι φυῆναι, ἣ ἐλέγετο Ἀπία. — (*Ἕλκοι: θηλάζοι.* p.) — *Κἀξ ὀρέων τοὶ σκῶπες: Ἀλέξανδρός φησι τοὺς σκῶπας οὐκ ἐπιτερπεῖς τῇ φωνῇ· διὸ καὶ παρ' Ὁμήρῳ φησὶν ὀρθῶς δοκεῖν γράφεσθαι·*

σκῶπές τ' ἴρηκές τε.

οὐ δεῖ γάρ, φησί, γράφεσθαι χωρὶς τοῦ σ· οἱ γὰρ σκῶπες ⟨σκαιὰν⟩ φωνὴν ἀφιᾶσι. Καλλίμαχος δέ φησι· „φθέγγεται ὥσπερ ἐπισκώπτων τῇ φωνῇ, [ὅθεν καὶ οὕτω καλεῖται·]“ (*ὅπερ κάλλιον.* p. 3. 5. Can. Gen.[b] Vulc.) *Τυραννίων δέ φησι σκῶπας τοὺς νυκτικόρακας, οἷον σκίοπας, τοὺς ἐν σκιᾷ ἔχοντας τὴν ὄπα, ἤγουν ἐν νυκτὶ ἔχοντας τὴν φωνήν.*

Rec. [*Ἄλλως.*] *Καὶ τοὺς κύνας ὤλαφος ἕλκοι, ἀντὶ τοῦ καὶ τοὺς μαστοὺς τῶν κυνῶν ὁ ἔλαφος ἑλκέτω· καὶ ἐκ τῶν ὀρέων οἱ σκῶπες ταῖς ἀηδόσι γαρύσαιντο, ἀντὶ τοῦ εἰς ἔριν φωνῆς ἐλθέτωσαν. σκῶπας δὲ λέγουσιν εἶναι τοὺς νυκτικόρακας.* — (*Λαμβάνεται τὰ εὐκτικὰ ἀντὶ προστακτικῶν, ὥσπερ καὶ τὰ προστακτικὰ ἀντὶ εὐκτικῶν.* 6. — *Καὶ οἱ βαρεῖς τὸ φθέγμα σκῶπες ἁμιλληθεῖεν ταῖς ἀηδόσι γλυκυτάταις τὸ φθέγμα οὔσαις.* 6.)

Vs. 138—141.

Vet. *Χ' ὠ μὲν τόσσ' εἰπὼν* [*ἀπεπαύσατο ἢ*] *ἀνεπαύσατο: εὐφήμως τὸ ἀποθανεῖν ἀναπαύσασθαι ἔφη. καὶ Ὅμηρος·*

139) *Ἀνεγεῖραι καὶ ἀναστῆσαι.* P. — *Τὰ τῶν Μοιρῶν ἐπικεκλωσμένα.* 5. — *Ἀπώλετο.* H. *ἠφανίσθησαν.* P.

140) *Ἦλθεν εἰς τὸν Ἀχέροντα, ἤγουν ἀπέθανε.* P. — *Ἤτοι περιεῖχεν αὐτὸν ἡ τοῦ Ἀχέροντος δίνη.* 5. *αὐτὸν ἐκάλυψε.* C.

141) *Ὑπὸ τῶν Νυμφῶν οὐ μισούμενον.* E.

---

1) *φυῆναι*] Gen.[b], *φῦναι* vulg. 1) *οἳ ἔλεγον* Gen.[b] 2) //Gen.[b] 2) *τὰς* Gen.[b]. 3) *παρ' Ὁμ. γράφει δοκεῖ φησὶ σκ.* Gen.[b]. 5) *Hom. Od.* E, 66. 6) *γράφεσθαι* om. Gen.[b] 7) *σκαιὰν* supplevit Hemsterh. ex EtM. 719, 50. 7) *ἀφιοῦσι* Gen.[b]. 7) *φθέγγεσθαι* Can. Vulc. 8) *ὅθεν κ. οὕ. καλ.* om. p. 3. 5. Can. Gen.[b] 9) *τυραννίδων* p. 3. 5. Can. Gen.[b] 10) *νυκτοκ.* Gen.[b] 10) *σκίοπας*] Gen.[b] Heins., *σκιόπας* ante Heins., *σκίωπας* Ox. II vulg. Sequens *τοὺς* om. Gen.[b] 11) *τὴν ὄπα ... ἔχοντας* om. Gen.[b] 12) //Gen.[a] Lips. — *τοὺς*] Gen.[a] Lips., *τὼς* vulg. — *ὤλαφος* Gen.[a], *ὦλαφος* Lips. 13) *θηλασάτω, ἑλκέτω* M. 14) *ὀρέων*] Gen.[a] Lips., *ὀρῶν* vulg. 14) *ταῖς*] Lips. et ante Ox. I, *τοῖς* vulg. 14) *συνάσαιεν εἰς ἔριν* M. Verba *εἰς ἔ. φ. ἐ.* etiam ex Cant. afferuntur. 21) //Gen.[b] cum lemmate *ἐπεὶ θνήσκει* ante schol. *κἀξ ὀρέων* l. 2.

ὣς ὁ μὲν αὖθι πεσὼν κοιμήσατο χάλκεον ὕπνον.

— (Ἤθελ' ἀνορθῶσαι. ἐκ δευτέρου ζῶντα παραστῆσαι. Gen.[b]) — Τά γε μὰν λίνα πάντα λελοίπει: ἐπεπληρώκει τὸ χρεών. καὶ Ὅμηρος·

γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ.

λίνον δὲ οἱ ποιηταὶ ἀντὶ βίου, ὅτι συνάπτουσι τὸ λίνον ἑξῆς, ὡσαύτως δὲ αἱ Μοῖραι ἑξῆς ἐπικλώθουσι τὴν ζωὴν καὶ εἰσαῦτις ἀναλύουσιν. — Ἔβα ῥόον: τουτέστιν ἀπέθανε καὶ (διὰ τοῦτο 3.) τὸν Ἀχέροντα διῆλθε. — Τὸν Μοίσαις φίλον: καθὸ πρῶτος εὕρατο βουκολικήν. — Φίλον ἄνδρα: ἐπεὶ πάσαις οἰκείως διέτριβε.

Rec. [Ἄλλως. Ὁ νοῦς·] καὶ ὁ μὲν τοσαῦτα εἰπὼν ἀπεπαύσατο, ἤγουν ἀπέπνευσεν, ἐτελεύτησε τὸν βίον· τοῦτον δὲ ἡ Ἀφροδίτη ἤθελεν ἀνορθῶσαι, ἤγουν ἀνακαλέσασθαι, ἀναζωῶσαι· τά γε μὴν λίνα, τουτέστι τὰ νήματα τὰ ὑπὸ τῶν Μοιρῶν ἐπ' αὐτῷ κλωθόμενα, πάντα λελοίπει, ἤγουν ἐξέλιπον, ἐπαύσαντο. καὶ ὁ Δάφνις διέβη τὸν ῥοῦν, τοῦ Ἀχέροντος δηλονότι· ἔκλυσὲν, ἤγουν ἐκάλυψεν, ἡ δίνη, τουτέστιν ἡ συστροφὴ τῶν ῥευμάτων τοῦ Ἀχέροντος, τὸν ἄνδρα τὸν ὑπὸ τῶν Μουσῶν φιλούμενον, ὡς τῶν ᾠδῶν δηλονότι τῶν προσφιλῶν αὐταῖς ἐπιμελούμενον, τὸν οὐκ ἀπεχθῆ, ἤγουν μισούμενον, ταῖς Νύμφαις, ἀλλὰ καὶ ὑπ' αὐτῶν δηλονότι φιλούμενον. — (Ἤγουν ἡ μὲν Ἀφροδίτη ἐβούλετο ἀναστῆσαι ὑγιαίνοντα· τῇ δὲ Μοίρᾳ ἄλλως βεβούλευτο. ὁ γὰρ ἄτρακτος αὐτῆς ἐξεκέκλωστο, καὶ ὁ ἐπ' αὐτῷ μίτος ἐπέλιπεν. 6.) — (Τῶν Μοιρῶν φησὶ τὰ κεκλωσμένα· οἷον τὰ κεκλωσμένα καὶ εἱμαρμένα ἐτελειοῦντο. Q.)

---

1) *Hom. Il. Λ*, 241. — αὖθις Gen.[b] et ante Brub. 2) ἐν δευτέρου cod., ἐν δευτέρῳ Adert. tac. 2) παραστῆσαι] Duebn., παραστῆναι cod. 3) //Gen.[b], ubi μὴν omisso λίνα. 3) ἐκπεπληρώκει Gen.[b] 5) *Hom. Il. T*, 128. — γεινομένῳ] Gen.[b] et vulg., γεινομένου ante Xyl. et Reisk. seqq. — ἐπένεισε ante Heins. — λίνῳ ὅ. μ. τ. μ. om. Gen.[b] 6) ἀντὶ βίου] Reinesius, ἀντ' ἐλίου Call., ἀντὶ ἐλίου Brub., ἀντὶ ἐρίου Xyl. vulg., ἀντ' ἐρίου Gen.[b] 6) ὅτι . . . καὶ] συνάπτουσιν, ὅτι τ. λ. ἐκ γῆς, καὶ αὗται δὲ αἱ Μ. ἐκ γῆς ἐπ. τοῖς ζώοις τὴν vulg. 7) εἰς αὖτις] εἰς αὐτῆς p., εἰς γῆν 5. (Gen.[b]) et Kiessl. auctore Reinesio, ἐκ γῆς vulg. 8) ἀναλύουσιν] ἀνάλυσιν vulg. 8) //Om. Gen.[a, b] Lips. 9) τὸν pro τοῦτο Wart. — τὸν om. 3. 9) //Gen.[b] — Μοίσαις] Gen.[b], Μοίσαισι Call. 10) καθὰ Gen.[b] 10) /Gen.[b] 11) ἐπὶ Gen.[b] et ante Xyl. 11) πάσαις] Toupio auctore Kiessl., πάσας Gen.[b] vulg. 12) //Gen.[a] Lips. — ἐπαύσατο E. H. M. 15) νοήματα ante Heins. 16) ἐξέλιπεν, ἐπαύσατο E. 19) στροφὴ Lips., στορφη 1.[1] 6.[1] 21) οὐκ ἀπ. ἤγ. μισ.] Gen.[a] Lips., τὸν οὐ νύμφαισιν ἀπ. ἤγ. μὴ μισ. vulg. 24) βεβούλευτο] βεβούλευται Kiessl. Gaisf., βεβούλεται Wart.

Vs. 143—145.

Rec. Καὶ σὺ δίδου τὴν αἶγα καὶ τὸ σκύφος, ἤγουν τὸ ποτήριον, ὡς ἂν ἀμέλξας σπονδὴν ποιήσω ταῖς Μούσαις. εἶτα ἀποτείνει πρὸς τὰς Μούσας καί φησιν· ὦ Μοῦσαι χαίρετε πολλάκις, τουτέστιν ἀσπάζομαι ὑμᾶς πολλάκις· ἐγὼ δὲ χάριν ὑμῶν καὶ ἐς ὕστερον, ἤγουν εἰς τὸ ἐπιόν, (μετὰ ταῦτα H. M. P.) ᾄσω ἡδύτερον.

Vs. 146—148.

Rec. Πλῆρές τοι μέλιτος: ἀντωνυμία τὸ τοι. εἴθε γένοιτο τὸ καλόν σου στόμα ὦ Θύρσι μέλιτος πεπληρωμένον.

Vet. Πλῆρές τοι σχαδόνων: [γράφεται καὶ πλῆρες δέ. σχαδόνες δὲ] τὰ [ἐκ] τῶν κηφήνων κηρία, ὥς φησιν Ἀριστοτέλης. Θεαίτητος δὲ τοὺς κηροὺς τοὺς ἔχοντας τῶν κηφήνων τοὺς γόνους, οἵτινες ἡδὺ ποιοῦσι βρῶμα. οἱ δὲ κοινότεροι ἐπὶ τῶν * * * * κηφήνων τῶν ἐσθιόντων τὸ μέλι, (ὥς φησιν Ἡσίοδος·

κηφήνεσσι κοθούροις ἴκελος ὁρμήν.

3. 5. Can. Gen.[b] Vulc.) — Καὶ ἀπ' Αἰγίλω ἰσχάδα: Αἴγιλα δῆμος τῆς Ἀττικῆς ἀπό τινος [φυλῆς] ἥρωος Αἰγίλου. ὅτι δὲ αἱ Ἀττικαὶ ἰσχάδες ἡδεῖαι καὶ Δείνων μαρτυρεῖ. ἔστι

143) Τὸ ποτήριον, τὸ κισσύβιον. M. — Ἵνα καὶ ἀνασύρας. P.
147) Κηρομέλιτος. E. N. P. γλυκυσμάτων. M. — Ἀπὸ τῆς Αἰγίλου· ἦν γὰρ δῆμος ἐν Ἀθήναις. 2. ἀκρωτήριον Λακωνικὸν πλησίον Κρήτης. 5. τοῦ ἀκρωτηρίου. P. νῆσος παρὰ Πελοποννήσου. 6.

---

2) //Gen.[a] Lips. — καὶ σὺ δ. τὴν αἶγα καὶ τὸ] Gen. Lips. Call. (sed haec τὺ et τὰν), om. Ox. vulg. 3) ἀμέλξαι H., ἀμέλξας αὐτὴν E. 4) νύμφαις pro μούσαις 2. 5) δὲ] Gen.[a] Lips. vulg., δὲ καὶ Wart. ex aliquo Vat. et seqq. 9) //Gen.[a] Lips. — τοι] Lips. vulg., τοὶ Kiessl. 12) //3. 5. Can. Gen.[b] Vulc. hoc initio σχαδόνων: τὰ τῶν κηφ. 13) φησι καὶ Ἀριστοφάνης omissis Θεαίτ. δὲ 3. 5. Can. Gen.[b] Vulc. 15) ἱπτάμενοι post οἵτινες 3. 5. Can. Gen.[b] Vulc. 16) κοινότεροι] 5. Can. Gen.[b] Vulc., κοινότερον 3. vulg. 16) κηφήνων . . . μέλι] 3. 5. Can. Gen.[b] Vulc., κηρίων ὧν τὸ μέλι ἐσθίεται vulg. 18) *Hesiod. Op.* 301, ubi εἴκελος ὀργὴν cum v. l. ὁρμήν. 19) //Gen.[b] sine lemmate. 20) Αἴγιλα] Gen.[b], Αἴγιλος vulg. 20) δῆμος Ἀττικὸς Gen.[b] 20) φυλῆς τινος Gen.[b] Vocem φυλῆς ejici jussit Toupius. 21) αἱ om. Gen.[b] 21) ἡδέαι ante Xyl., καὶ ἡδεῖαι καὶ Gen.[b] 21) Δείνων] Meursius de Pop. Att. p. 6, Δίων vulg., ὁ Δίων Gen.[b] 21) ἔτι pro ἔστι Gen.[b]

δὲ καὶ Λακωνικὸν χωρίον Αἴγιλον. τινὲς δὲ ὅτι ἐστὶ καὶ νῆσος μεταξὺ Κρήτης καὶ Λακωνικῆς οὕτω καλουμένη.

Rec. *Ἄλλως. Πλῆρές τοι σχαδόνων, ἤγουν μέλιτος, κηρίου — περισσὸν δὲ ἐνταῦθα τὸ τοι — καὶ ἀπ' Αἰγίλου εἴθε τρώγοις ἰσχάδα ἡδεῖαν, ἀντὶ τοῦ ἀπὸ τῆς Ἀττικῆς — Αἴγιλος γὰρ δῆμος ἐν ταῖς Ἀθήναις — ἐπεὶ σύγε ᾄδεις φέρτερον, ἤγουν βέλτιον, τέττιγος.*

Vs. 149.

Rec. *Ἠνὶ δέ τοι, ἤγουν ἰδού, τὸ δέπας· θέασαι φίλος, ὅπως καλὴν ὀσμὴν πέμπει.*

Vs. 150.

Vet. *Ἐπὶ κράναισι δοκασεῖς: ἐπὶ κρήναις ταῖς τῶν Ὡρῶν δόξεις αὐτὸ πεπλύσθαι, ἀντὶ τοῦ ἐν ἔαρι, ἐπεὶ πάντα τότε ἀνθεῖ.*

Rec. *Ἄλλως. Δοκήσεις, ἤγουν δόξεις, νομίσεις, πεπλύσθαι αὐτὸ ἐπὶ ταῖς πηγαῖς τῶν Ὡρῶν· οὕτως ἐστὶ δηλονότι ὡραῖον.*

Vs. 151. 152.

Rec. *Ὧδε ἴθι, ἤγουν δεῦρο ἐλθὲ ὦ Κισσαίθα. ὄνομα αἰγὸς ἡ Κισσαίθα.*

149) [*Ἡνίδε:*] *ἰδού· Δωρικὴ ἡ λέξις.* E. — *Τὸ κισσύβιον.* M. *τὸ ποτήριον, ὃ ὑπεσχόμην δώσειν.* P.

150) *Δόξεις πεπλύσθαι εἰς τὴν πηγὴν τῶν Ὡρῶν. ὥρα δὲ ἡ εὐμορφία· ἐς τοσοῦτον γὰρ κάλλος ἐξήσκηται.* 2.

152) [*Σκιρτάσητε:*] *πηδήσετε.* M. — *Ἐπαναβῇ.* P. *διεγερθῇ.* E.

---

1) *ἐστὶ* et *οὕτω καλ.* om. Gen.[b.] 3) //Gen.[a.] Lips. — *Πλῆρές τοι σχαδόνων*] Gen.[a.] Lips. Call., *ΠΛΗ.* Ox. I. II, *ΠΛΗΡΕΣ* Reisk. seqq. 4) *τὸ τοι*] Lips., *τὸ τοὶ* vulg., *τοι* Gen.[a.] 4) *αἰ* pro *καὶ* Gen.[a.] 5) *ἤγουν* pro *ἀ. τοῦ* Gen.[a.] 6) *ἐπεὶ σύγε ᾄδεις φέρτερον*] Gen.[a.] Lips. et ante Ox. I, ubi solum *ΦΕΡ.*, tum *ΦΕΡΤΕΡΟΝ* Reisk. seqq. 9) //Gen.[a.] Lips. — *ἠνὶ δέ τοι*] Gen.[a.] Lips. et ante Ox. I, ubi *ΑΡΕ.*, tum *ΗΝΙ.* Ox. II, *ΗΝΙΔΕ* Reisk. seqq. 10) *ἤγουν καλὴν ὀσμὴν ἀποπέμπει* (?) N. 12) //Gen.[b.] — *κράναισι δοκασεῖς*] Gen.[b.], *κράνεσιν* Call. 12) *κρήνης τῆς* Gen.[b.] 13) *αὐτὸ πεπλ.*] *ἀποπεπλ.* vulg. 13) *ἐν*] add. Gen.[b.] 13) *πάντα τ. ἀ.*] Gen.[b.], *ἀνθεῖ τ. πάντα* vulg. 15) //Gen.[a.] Lips. — *δοκήσεις*] Gen.[a.] Lips., *δοκασεῖς* vulg. 15) *πελλῦσθαι* Gen.[a.] 19) //Gen.[a.] Lips. — *ὧδε*] Gen.[a.], *ὧδ'* Lips., *ὧδ'* ante Ox. I, om. vulg. 19) *ὦ*] add. Gen.[a.] 19) *ὄν. αἰ. ἡ Κ.*] Gen.[a.] Lips. et ante Ox. I, om. vulg.

Vet. Ἢ <Κισσαίθα:> ἡ πρὸς τὸ γεννᾶν διάπυρος καὶ θερμή, ἀπὸ τοῦ κισσῶ τὸ γεννῶ καὶ τοῦ αἴθω τὸ καίω. εἰ δὲ Κιναίθα γράφεις, Κιναίθα ἐστὶν ἡ πρὸς τὸ κινεῖσθαι διάπυρος, ἤγουν ταχεῖα, αἲξ ἀπὸ τοῦ κινῶ καὶ τοῦ αἴθω τὸ καίω. — Ἄλλως. Κισσαίθα: ὄνομα αἰγός· ἢ ἐκ τοῦ κισσῶ καὶ τοῦ αἴθω, ἢ ἡ κισσὸν λευκὸν κατανεμομένη. αἰθὸν γὰρ τὸ λαμπρόν· ἐκ δὲ τοῦ λαμπροῦ γίνεται μεταληπτικῶς τὸ λευκόν. — (Ἄλλως. ἡ ταχεῖα αἲξ ἀπὸ τοῦ ταχέως γεννᾶν· κισσῶ γὰρ τὸ γεννῶ, αἴθω δὲ τὸ καίω καὶ ἀνάπτω. Gen.[b])

Rec. Τὺ δέ: σὺ δὲ ἄμελγε αὐτήν· αἱ δὲ χίμαιραι, οὐ μὴ σκιρτήσητε, τῆς συννόμου δηλονότι στερούμεναι. — Μὴ ὁ τράγος: τὸ οὐ ἀπὸ κοινοῦ, ἤγουν οὐ μὴ ἐπιβῇ, αὐταῖς δηλονότι, ὁ τράγος ὑμῖν.

---

1) //Om. Gen.[a.b.] Lips. 5) //Gen.[b.] sine ἄλλως. 5) ἢ ἐκ] καὶ ἐκ Gen.[b.], ἐκ vulg. 6) ἢ ἡ] η vulg., ἢ Hamak. 6) αἰθὸν] αἶθον vulg. 10) //Gen.[a.] Lips. sine lemmate. — αἱ δὲ χ. οὐ μὴ σκ.] Gen.[a.] Lips. et ante Ox. I, nihil nisi *AI.* vulg. — χίμεραι ante Xyl. 11) σκιρτήσητε] Gen.[a.] Lips., σκιρτήσετε Call., πηδήσετε M. 11) //Gen.[a.] Lips.; lemma etiam in hoc extat atro scriptum. 12) αὐταῖς] 23. M. et Wart. seqq., αὐτῇ E. Gen.[a.] Lips., om. vulg.

Idyll. II.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Φαρμακεύτρια. κέχρηται δὲ ὁ Θεόκριτος ἐν τούτῳ Δωρίδι διαλέκτῳ. προλογίζει δὲ Σιμαίθα. — (*Φαρμακεύτρια Δωρίδι.* Gen.[b] — *Φαρμακεύτριαι. κέχρηται δὲ ὧδε Δωρίδι διαλέκτῳ.* Y. — *Θεοκρίτου Σιμαίθα Δωρίδι, διηγηματικόν.* M. — *Ἡ Σιμαίθα. ἡ δὲ Θέστυλις ἦν θεράπαινα τῆς Σιμαίθας.* G. — *Ἡ Σιμαίθα ποιεῖται τὸν λόγον πρὸς τὴν δούλην.* H. Gen.[a])

(*Δημητρίου τοῦ Τρικλινίου· Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων ρξζ΄, ὧν τελευταῖος· ἀστέρες εὐκήλοιο κατ' ἄντυγα νυκτὸς ὀπαδοί.* M. — *Τοῦ αὐτοῦ Μοσχοπούλου Σχόλια.* I. M.)

Vs. 1.

Vet. [*Πᾶ μοι ταὶ δάφναι φέρε Θέστυλι πᾶ μοι τὰ φίλτρα.*] (*Συνετέλουν γὰρ αἱ δάφναι ταῖς γοητείαις.* ⟨*φίλτρα*⟩ *τὰ πρὸς φιλίαν ὀτρύνοντα φάρμακα.* *5. Gen.[b])

Rec. (*Ποῦ εἰσὶν αἱ δάφναι μου; φέρε Θέστυλι, ἀντὶ τοῦ ἔνεγκε αὐτάς. ποῦ δὲ τὰ φίλτρα, ἤγουν τὰ πρὸς φιλίαν κινοῦντα φάρμακα.* I. M. *Lips. — *Συντελοῦσιν αἱ δάφναι πρὸς γοητείαν* 6. K. M., *αἷς αἱ φαρμακεύτριαι χρῶνται.* K. M.)

Vs. 2.

Vet. *Στέψον τὰν κελέβαν: στεφάνωσον τὴν κελέβην. κελέβη δέ ἐστι ποτήριον ξύλινον κυλικῶδες. Εὐφορίων ἐν Ποτηριοκλέπτῃ·*

1) [*Δάφναι:*] *τὰ Δάφνιδος* (sic) *φύλλα.* M. *καὶ τὰ ἀειθαλῆ φυτά.* P. — [*Θέστυλι:*] *ὄνομα δούλης.* P. *τροφέ.* M. — *Τὰ πρὸς φιλίαν συμβαλλόμενα εἴδη, ἢ ὄργανα μαγικά.* E.

---

15) Haec in Gen.[b] Hypothesi adhaerent. 15) *γοητρίαις* Gen.[b] 16) *φίλτρα* supplevit Wartonus. 16) *πρὸς φίλον* *5. 17) *φέρε Θ.* et *ποῦ δὲ τὰ φ.* om. Lips. Eadem, quae in hoc, in H. M. P. inter lineas extare videntur, ut in M. bis legantur. — *εἰσὶν*] H. * M. P. * Lips, *φησιν* rell. 18) *ἔνεγκε*] H. * M., *ἔνεγκαι* rell. 18) *εἰς φιλίαν* H. * M. * Lips. 19) *πράγματα* pro *φάρμ.* * M. 19) Haec in K. M. Hypothesi post *Μίμων* adhaerent. 20) *ἐπὶ γοητ.* Wart. ex Vat. 23) //Gen.[b], ubi *κελεύαν.* 23) *κεφαλὴν* pro *κελέβην* Gen.[b] 24) *κελένη* P., *κελεύη* Gen.[b] 24) *ἐστι ποτήριον*] P. Gen.[b], *ἐστιν ὄνομα πόλεως· ἔστι δὲ καὶ ποτήριον* vulg. 24) *ἐν* om. 5. P. et fort. Vulc., qui in verbis *Εὐφορίων . . . κελεύην* fere cum 5. P. concinere dicitur. 25) *Euphor. fr.* 6. *Mein.* *Ποτηριοκλέ-*

ὅστις ἐμεῦ κελέβην Ἀλυβηΐδα μοῦνον ἀπηύρα. Ἀλύβη ἐστὶν ὄνομα πόλεως. — Οἰὸς ἀώτῳ: προβάτου ἄνθει, ἀντὶ τοῦ ἐρίῳ. ὡς συνεργοῦντος δὲ τούτου πρὸς τὰς φαρμακείας τερατεύεται.

Rec. Ἄλλως. (Στέψον τὰν κελέβαν: Gen.[a] Lips.) στεφάνωσον τὴν κελέβην τῷ λεπτοτάτῳ καὶ ἐξαιρέτῳ ἐρίῳ τοῦ προβάτου τῷ φοινικῷ, ἤγουν τῷ κοκκίνῳ. ξύλινον δέ τι ποτήριόν φασιν εἶναι τὴν κελέβην. (ἄλλοι δὲ τὴν κεφαλὴν εἶναί φασι. E. P. Gen.[a])

Vs. 3.

Rec. Ὡς τὸν ἐμὸν βαρυνεῦντα: ἵνα τὸν ἐμὸν φίλον ἄνδρα βαρύνοντά με καταθύσωμαι, ἤγουν καταγοητεύσω [ἢ καταγοητεύουσα] ἐν πυρὶ καίουσα τὰ ἐπὶ τοῦτο συντείνοντα φάρμακα. ὥσπερ τὸ λείβειν λέγεται μὲν καὶ ἀντὶ τοῦ σπένδειν, λέγεται δὲ καὶ ἀντὶ τοῦ χεῖν ἁπλῶς, οὕτω καὶ τὸ θύειν λέγεται μὲν καὶ ἀντὶ τοῦ τῶν παρόντων ἀπάρχεσθαι κατὰ τὴν τῶν παλαιῶν χρῆσιν — οὔτοι γὰρ οὐκ ἐπὶ τοῦ σφάττειν τοῦτο ἐτίθουν ὡς οἱ νεώτεροι, ἀλλ' ἐπὶ τοῦ ἀπάρχεσθαι τῶν παρόντων· τὸ ἔρδειν δὲ καὶ τὸ ῥέζειν ἔλεγον ἐπὶ τῶν σφαγίων — λέγεται δὲ καὶ ἀντὶ τοῦ καίειν ἁπλῶς καὶ ἐν πυρὶ

2) *Κόσμησον*. 2. C. H. — Ποτήριον, τὴν κεφαλήν. 5. — Ἀπανθίσματι μαλλοῦ. 2. ἀπανθίσματι, ἤτοι μαλλίοις προβάτου. C. M.

3) *Τὸν κατατρίβοντά με*. 5. θλίβοντά με. 6. λυποῦντά με. v. 2. βαροῦντά με. M. — [Καταθύσομαι:] μαγεύσω θυσίαις. 5. γοητεύσω. 2.

πτῃ Can. et auctore Toupio Kiessl., ποτηριοκλέπτῃ ἢ ὁ ποτηριογλύπτης 5. P. Gen.[b] et fort. Vulc., Ποτηριογλύπτῃ vulg.

1) ἐμεῦ] 5. P. Gen.[b] et fort. Vulc., ἐμὴν vulg. 1) κελεύην 5. P. Gen.[b] et fort. Vulc. 1) ἀ δα pro Ἀλ. Gen.[b] 2) Ἀλύβη ἐ. ὄ. π.] ἄλλως. Κελεύη ἐ. ὄ. π. P. Gen.[b], Ἀλύβη δὲ ἐ. ὄ. π. conj. Hemsterh., om. vulg., vid. supra ad p. 90, 24. 2) //Gen.[b] 3) τὰς om. Gen.[b] 4) τερατεύεται] conjj. Francius et Hemsterhusius, τηρατεύεται P., θεραπεύεται Gen.[b] vulg. 5) //Gen.[a] Lips. — κελέβαν] κελεύαν Gen.[a], κελεύβαν Lips. 6) κελεύην Gen.[a] Lips. 8) τι] E. M. Y., τὸ Lips., om. vulg. 8) κελεύην Gen.[a] 9) φασιν εἶναι (εἶναι φασὶ E.[2]) τὴν κελέβην E. P. — Post φασι in Gen.[a] sequitur glossa Suidae Κελέβη, in qua corruptelae κελεύη κόγκη — ῥίψασθαι — ἔχεε κελεύη — δ' ἂν — ἐφύσατ'. 11) //Gen.[a] Lips. sine lemmate, Phav. s. v. καταθύσομαι ἄνδρα inde ab ἤγουν. 12) καταθυσωμαι] Gen.[a], —σομαι vulg. 12) ἢ κατ. om. E. M.[4] Y. Gen.[a] Lips. Phav., ut Koehlerus voluerat; sed θυσίαις post καταγοητεύσω addit M.[3] 17) τὴν παλαιῶν Gen.[a], τὴν παλαιὰν E. 20) δὲ ἀντὶ Lips. — 23) κατατρίβοντα] Duebn., καὶ τρ. cod. 23) με ex v. non affertur.

τιθέναί τι, καθὸ λέγεται ἐνταῦθα. ἵνα καταθύσομαι ὁριστικὸν ἀντὶ ὑποτακτικοῦ ὡς ἐν τῷ

ἵνα εἴδομεν ἄμφω.

— (*Διὰ τὸ μέτρον μικρὸν τὸ σο, ὡς τὸ ἵνα εἴδομεν.* M.) — *Βαρυνοῦντα ἀντὶ τοῦ βαρύνοντα, λυποῦντα· μέλλων ἀντὶ ἐνεστῶτος. οὗτος γὰρ συνεφώνει τῷ μέτρῳ βραχὺ ἔχων τὸ ρυ. τὰ γὰρ διὰ τοῦ* ⟨*ινω καὶ*⟩ *υνω ῥήματα ἐπὶ τοῦ μέλλοντος ἀεὶ βραχὺ τὸ δίχρονον ἔχουσιν, οἷον κρίνω κρινῶ, εὐρύνω εὐρυνῶ, πλατύνω πλατυνῶ.* — (*Καταθύσομαι τὸν ἐμὸν φίλον ἄνδρα βαρύνοντα· βαρύνει γάρ με, ἐπεὶ αὐτὸν φιλοῦσαν ἀποστρέφεται. καταθύσομαι ἀντὶ τοῦ κατ' ἐκείνου θύματα ποιήσω.* 6. et fere 2. *ἀπὸ τούτου ῥήματος καὶ θύος ὡς παρ' Ὁμήρῳ·*

θύεσσι ἱλάσκεσθαι. 2.)

Vet. (*Καταθύσομαι: γράφεται καὶ* ⟨*καταδήσομαι, ἤγουν*⟩ *καταμαγεύσω. δεσμεύειν γάρ φασιν αἱ φαρμακίδες, ὅταν πρὸς κατοχήν τινα παρ' αὐταῖς καταμαγεύσωσιν.* 5. P. Gen.[b.])

Vs. 4.

Rec. (*ΠΟΘ. προσήκει, ἐπλησίασεν.* 6.)

Vs. 6.

Rec. Ἄρραξεν: ἔκρουσεν. ἀράσσω δι' ἑνὸς ρ· οἱ ποιηταὶ δὲ ὅτε ἔχουσι χρείαν ἐκτεῖναι τὸ α, καὶ ἕτερον ρ προστι-

4) *Ἐπὶ δώδεκα ἡμέραις.* 5. *δωδεκάτην ἡμέραν ἔχει.* H. P. Lips. *δωδεκάτης* (sic) *ἡμέρας ἔχει, ἐστίν.* M. *δώδεκα ἡμέρας διαβιβάσας.* E. N. — *Ἦλθεν ὧδε πρός με. τοῦτο γὰρ τὸ μοι.* M.

5) *Ἀντὶ τοῦ ζῶσαί ἐσμεν.* H. M. P. Lips.

---

1) *καταθήσομαι* ante Xyl. (recte Phav.) 3) *Hom. Il. Α*, 363. — *ἄμφω* om. Lips. 5) //Gen.[a.] Lips. — *βαρυνοῦντα*] Gen.[a.] Lips., *βαρυνεῦντα* vulg. Verba *ἀντὶ .... ἐνεστ.* etiam ex Harl. afferuntur. 5) *βαροῦντα* pro *βαρύνοντα* Gen.[a.] 5) *λυποῦντα*] 2. E. I. M. Y. Gen.[a.] Lips., om. Harl. vulg. 6) *οὗτος*] Lips., *οὕτω* vulg. 6) *ἔχειν* E. 7) *διὰ*] 2. 6. Y. Gen.[a.] Lips., *ἀπὸ* vulg. 9) *πλύνω πλυνῶ, βαρύνω βαρυνῶ* pro *πλατ. πλατ.* Gen.[a.] 10) *ἐπεὶ*] Kiessl. Gaisf., *ἐπὶ* Wart. 15) *καὶ* om. Gen.[b.] — *καταδήσομαι ἤγουν* supplevit Hamakerus, quum Toupius *καταδήσομαι* pro *καταμαγεύσω* scribi jussisset. 16) *φησι* Wart., quod correxit Kiessl. 22) //Gen.[a.] Lips. sine lemmate. — *ἔκρ.* om. Gen.[a.], s. l. habet Lips., qui reliqua in marg. 22) *ἄρασσον* E. Lips., *ἄρρασσον. ἀράσσω* Gen.[a.] 23) *δὲ ἔχοντες* E.

θέασιν αὐτῷ, καὶ ἐν τῷ παρατατικῷ, ἐκκλίνοντες τὸ κοινόν, ἄρρασσον λέγουσι τῇ προσθήκῃ τοῦ ρ τὴν ἄρχουσαν αὔξοντες.

Vs. 8.

Rec. Παλαίστραν: παλαίστρα ὁ τόπος, ἔνθα παλαίουσι, καὶ αὐτὴ ἡ πάλη. ἐνταῦθα δὲ ἐπὶ τοῦ προτέρου λέγεται σημαινομένου.

Vs. 10.

Rec. (Ἐκ θυέων: τουτέστι διὰ τῶν ἐν τῷ πυρὶ καιομένων φαρμάκων καταθύσομαι καὶ καταγοητεύσω. E. M. P.)
Vet. Ἀλλὰ Σελάνα: Πίνδαρός φησιν ἐν τοῖς κεχωρισμένοις τῶν Παρθενίων „ἤτοι τῶν ἐραστῶν οἱ μὲν ἄνδρες εὔχονται εἶναι καὶ Ἥλιον, αἱ δὲ γυναῖκες Σελήνην.“ — Ἄλλως. Ταῖς ἔρωτι κατεχομέναις τὴν Σελήνην ἀνακαλεῖσθαι σύνηθες, ὡς καὶ Εὐριπίδης φησὶ τὴν Φαίδραν ἐν τῷ Καλυπτομένῳ Ἱππολύτῳ. παρῆν δὲ αἴτιον τοῦτο, [ἔπραττον], ἔνιοί φασιν, ὅτι [ἐπειδὴ] σιγηλή ἐστιν ἡ νύξ, δεῖ δὲ τοῖς κλεπτομένοις ἔρωσι σιγῆς καὶ νυκτός. Μένανδρος·

ὦ νύξ· σὺ γὰρ δὴ πλεῖστον Ἀφροδίτης.

6) Ἔπληξεν. E. — Ὁ ἐχθρός, ὁ φονεύς. 2. ὁ ἀνάρμοστος, ὁ ἄφιλος. 2. H. P. Lips. ἄδικος ὑπάρχων. 6. ὡς ἐχθρός. E. — [Οἱ:] αὐτοῦ. E. H. Lips.

7) Ταχέως μεταβαλλομένας, ἀντὶ τοῦ ἀστάτους. 6. τὰς κούφας, τὰς ἀβεβαίους. 2. H. P. Lips. ἐλαφράς. M. ἀβεβαίους. M. ἁπαλάς. C.

8) [Τιμαγήτοιο:] ὄνομα τόπου. H.

---

2) ἄρασσον Lips. 2) ἄρχουσαν] 2. 6. M. Gen.[a], ἀρχὸν ante Brub., ἀρχὴν vulg., evan. in Lips. 2) αὔξουσαν Gen.[a] 5) //Gen.[a] Lips. sine lemmate. 6) δὲ om. Lips. 9) τῷ πυρὶ] vid. Gl., πυρὶ N., τῷ ποτηρίῳ E. M. P. (?) 11) //Gen.[b] post lemma sequens scholium habet, tum praefixo ἄλλως hoc. — *Pind. fr.* 80. *Bgk.* 12) Παρθενίων] 5. Gen.[b], παρθένων vulg. 12) ἤτοι] 5.[2] Gen.[b], τοι 5.[1], ὅτι vulg. 13) ἔχονται Gen.[b] — εἶναι καὶ] 5. Gen.[b], τὸν vulg. 14) ταῖς — κατεχομέναις] 5. P. Gen.[b], τὰς — κατεχομένας vulg. 15) ἀνακαλεῖσθαι] P. Gen.[b], μετακαλεῖσθαι vulg. 15) φησὶ τ. Φ.] 5. P. Gen.[b], ποιεῖ Φ. πράττουσαν vulg. 16) καλυπτομένῳ] Vat. P., κατακαλυπτομένῳ 5. Gen.[b], καλουμένῳ vulg. 16) ἱππολίτω 5., ἱππολύτῃ P. Gen.[b] 16) παρῆν δὲ αἴτιον] παρ' ἣν δὲ αἰτίαν 5. P. Gen.[b] (sed δὴ P., ἀντίαν Gen.[b]), κατὰ τί δὲ vulg. 17) ἔπρασσον οἱ μέν φ. 5. P. Gen.[b] 17) ἦν pro ἐστιν P. Gen.[b] 17) δεῖ δὴ τοῖς καλυπτομένοις P. 18) ἔρωτι P. Gen.[b] 19) *Menand. fr. inc.* 199. — σὺ] Toupius, σοὶ vulg. — δὴ] 5. P. Gen.[b], δεῖ vulg. — ἀφροδίτη P. Gen.[b], ἀφροδίτα 5. — 20) ὁ bis om. Lips. 24) ἀβεβαίους] Lips., ubi alterum τὰς deest, ἀβεβαίας rell.

ἢ ὅτι καὶ ἡ Σελήνη περὶ ἐρωτικά τινα ἐνενοσήκει, παρὸ καὶ ταῖς τῷ αὐτῷ πάθει κεχρημέναις συμπράσσει· (τὰ γὰρ περὶ Ἐνδυμίωνα πρόδηλα. 5. P. Gen.[b]) ἢ ὅτι διάπυρος ἡ θεός, καὶ τὸ πάθος δὲ τοιοῦτον, (εἰ καὶ ἠπεδανὴ ταῖς φλοξίν, ὥς φασιν. 5. P. Gen.[b])

Vs. 11. 12.

Vet. Τὶν γὰρ ποταείσομαι:. σοὶ γὰρ καλὸν ὕμνον προσυμνήσω ὦ Σελήνη (καὶ τῇ Ἑκάτῃ. χθονίαν δὲ τὴν Ἑκάτην φησί, παρόσον Περσεφόνης τροφός, ἢ παρόσον ⟨Σώφρων νερτέρων⟩ πρύτανιν αὐτὴν κέκληκεν. Gen.[b]) — Τᾷ χθονίᾳ θ᾽ Ἑκάτᾳ: τὴν Ἑκάτην χθονίαν φασὶ θεὸν καὶ νερτέρων πρύτανιν, καθὰ καὶ Σώφρων· Ἥραν μιχθεῖσαν Διὶ γεννῆσαι παρθένον, ὄνομα δὲ αὐτῇ θέσθαι Ἄγγελον. ταύτην δὲ μετὰ τὴν γέννησιν ταῖς Νύμφαις δοθῆναι παρὰ τοῦ Διὸς τρέφεσθαι. αὐξανθεῖσαν δὲ κλέψαι τὸ τῆς Ἥρας μύρον, ᾧ τὸ πρόσωπον αὐτῆς ἠθὰς ἦν χρίεσθαι, καὶ δοῦναι Εὐρώπῃ τῇ Φοίνικος θυγατρί. αἰσθομένην τὴν Ἥραν καὶ ἐφορμῆσαι βουλομένην αὐτὴν κολάσαι. τηνικαῦτα μὲν τὸ πρῶτον εἰς γυναικὸς τετοκυίας οἶκον καταφυγεῖν· ἐκεῖθεν δὲ πρὸς ἄνδρας νεκρὸν φέροντας. ὅθεν τὴν μὲν Ἥραν ἀπο-

10) Ἐκ τῶν θυσιῶν, μαγειῶν· θύος γὰρ τὸ θῦμα. 5. M. διὰ καταγοητευμάτων. 6. διὰ τῶν ἐν τῷ πυρὶ καιομένων φαρμάκων. 2. 6. Lips. — [Καταθύσομαι:] καταγοητεύσω. Lips.

11) Λάμπε καλόν, ὡς σημεῖον. 6. — Τὶν γὰρ ποταείσομαι: σοὶ γὰρ προσλαλήσω. Phav. ὑμνήσω, προσλαλήσω ἐπικαλουμένη. H. M. P. Lips. προσλαλήσω, ἐπικαλέσομαι. Vim. προσᾴσω ἐπικαλουμένη. N. προσείπω. E. — [Ἅσυχα:] ἡσύχως. E. H. M.

12) [Σκύλακες:] σκύλες (sic). M.

---

1) ἐρωτικά τ. ἐνενοσήκει] 5. P. Gen.[b], ἐρωτικήν τ. νενοσήκει vulg., ἔρωτα ἢ ἐρωτικὰ Brub. mg. 2) ταῖς τῶν αὐτῶν κεχ. πάθει συμπράττει Gen.[b] 3) Ἐνδυμίωνα] P.[2], ἐνδημίωνα P.[3], ἐνδειμίωνα 5, ἐνδῖ ηωνα Gen.[b] 3) ὁ θεὸς Gen.[b] 4) τὸ π. δὲ] Gen.[b], τόδε π. vulg. — πόθος Gen.[b] 4) τοιοῦτον] 5. P. Gen.[b], τοιοῦτο vulg. 4) ἢ καὶ P.[3] 4) ἠπεδανὴ] ἠπεδανοῖ 5. P.[2] Gen.[b], ἠπεδανοί P.[4], ἡ πεδινὴ P.[3] 7) //Gen.[b] 10) πρύτανιν] πρυτανείαν cod., πρύτανιν νερτέρων conj. Adertus. 10) //Gen.[b] sine θ᾽. 14) γένεσιν Can. Gen.[b] 14) ταῖς] Vulc. et cod. apud Hamak., ut conj. Jacobsius, ὑπὸ ταῖς Gen.[b] vulg., φασὶ pro ὑπὸ Brub. mg. 15) αὐξανθεῖσαν] Gen.[b] et tac. Gaisf., αὐξυνθεῖσαν vulg. 15) ὃ τὸ 5. 16) ἠθὰς] Duebnerus, ἡ θεὰς 5., ἔθος Gen.[b], ἔθον Can., αἶθον vulg. 16) χρίεσθαι] 5. Can. Gen.[b] Vulc., χριόμενον vulg. 17) τῇ om. Gen.[b] 18) αὐτὴν .... πρῶτον om. Gen.[b] — 25) ὑμνήσω om. Lips.

στῆναι, τὸν δὲ *Δία* τοὺς *Καβείρους* κελεῦσαι ἀναλαβόντας καθᾶραι αὐτήν. ἐκείνους δὲ ἐπὶ τὴν *Ἀχερουσίαν* λίμνην ἀπαγαγόντας ἁγνίσαι. ὅθεν τὴν θεὸν ἀποκεκληρῶσθαι τοῖς τεθνεῶσι καὶ καταχθονίοις φασίν. — Ἄλλως. (*Τᾷ χθονίᾳ δ' Ἑκάτᾳ*: Gen.[b]) τῇ *Δήμητρι* μιχθεὶς ὁ *Ζεὺς* τεκνοῖ *Ἑκάτην*, διαφέρουσαν ἰσχύϊ καὶ μεγέθει τῶν θεῶν. ἣν ὑπὸ γῆν πεμφθῆναι ὑπὸ τοῦ πατρὸς πρὸς *Περσεφόνης* ἀναζήτησιν. καὶ νῦν *Ἄρτεμις* καλεῖται καὶ *Φυλακὴ* καὶ *Δᾳδοῦχος* καὶ *Φωσφόρος* καὶ *Χθονία*. — *Τὰν καὶ σκύλακες*: διὰ τὸ σκύλακας ἐκφέρεσθαι δεῖπνα τῇ *Ἑκάτῃ*. *Ἀριστοφάνης* ἐν *Δαιταλεῦσι*·

τί δαί; κυνίδιον λεπρὸν ἐπρίω τῇ θεᾷ
εἰς τὰς τριόδους;

Rec. (*Ἑκάτη* καὶ *Χθονία* καὶ *Σελήνη* ἡ αὐτή ἐστι· *Χθονία* μὲν ὡς γινομένη ὑπὸ τὸ κάτω ἡμισφαίριον, *Σελήνη* δὲ ὡς τὸ ὑπεράνω λάμπουσα. ὅθεν καὶ οἱ παλαιοὶ τρίμορφον ἔγραφον, χρυσεοσάνδαλον καὶ λευχείμονα καὶ μήκωνας ταῖν χεροῖν ἔχουσαν καὶ λαμπάδας ἡμμένας. καὶ ἔστι τὸ λευκὸν καὶ τὸ χρυσοῦν σημεῖον τῆς τοῦ φωτὸς παραυξήσεως, καὶ αἱ ἡμμέναι λαμπάδες· ὁ δὲ κάλαθος, ὃν ἐπὶ τοῖς μετεώροις φέρει, τῆς τῶν καρπῶν κατεργασίας, οὓς ἀνατρέφει κατὰ τὴν τοῦ φωτὸς παραύξησιν. 2. 6.) — [Ἄλλως.] *Σκύλακες* τὰ μικρὰ τῶν κυνῶν· ὑποκοριστικὸν γὰρ ὁ σκύλαξ. ἐνταῦθα δὲ σκύλακες ἀντὶ τοῦ κύνες. τὴν *Ἑκάτην* φασὶ τὴν αὐτὴν εἶναι τῇ *Περσεφόνῃ*. τὴν *Ἑκάτην* δὲ καὶ τὴν *Σελήνην* ἐπικαλεῖται ὡς νυκτερινὰς θεὰς καὶ τὰ κατὰ τὴν νύκτα πραττόμενα ἐφορώσας. — (*ΣΚ.* ὅτι τῇ *Ἑκάτῃ* σκύλακας προσῆγον εἰς θυσίαν, ἣν ὡς φασματώδη δεδοίκασι. 6.)

---

1) *Καβάρους* Gen.[b] et ante Xyl., *Καβείρους* vel *Καβάρνους* Brub. mg. 2) *αὐτήν*] add. 4. 5. Can. Gen.[b] Vulc. 3) *ἁγνίσθαι* Gen.[b] 4) *καταχθονίοις*] 5. Can. Gen.[b] Vulc., *καταχθονίαν* vulg. 4) //Gen.[b] 5) *μιγεὶς* 5. 6) *τέκεν οἱ* Gen.[b], *τέκει οἱ* Can., *τέκει* Vulc. 6) *τῶν θεῶν*] add. 4. 5. Can. Gen.[b] Vulc. 7) *πεμφθ.* post *πατρὸς* Gen.[b] 8) *Φυλακὴ*] 5. Can. Gen.[b] Vulc., *φύλαξ* vulg. 9) //Gen.[b], ubi *τὰν δέ*. 11) *Aristoph. Dact. fr.* 23. — *δαί*] Toup., *δὲ* vulg. 11) *λεπρὸν*] Toup., *λεπρὸν λευκὸν* vulg. 13) *καὶ Χθονίᾳ*] *καταχθονία* Gaisf., *χθονία* Wart. 13. 14) *Σελήνη* bis et *Χθονίᾳ*] *σελήνη* et *χθονία* vulg. 13) *ἡ*] Toupio auctore Kiessl. et tac. Gaisf., om. Wart. 14) *κάτω* om. Wart. 16) *χρυσεοσάνδαλον*] Toupio auctore Kiessl. et tac. Gaisf., *χρυσεουσαν δαλὸν* Wart., *χρυσευσὰν δαλὸν* 2. 16) *λευχείμονα*] Toupio auctore Kiessl. et tacite Gaisf., *λευκειμωνα* Wart. 16) *ταῖν χερσιν* Wart. 18) *χρυσοῦν*] Duebnerus, *χρυσὸν* codd., *χρύσεον* Kiessl. 20) *τὴν* om. Wart. 21) //Gen.[a] Lips. 27) *εἰς*] Kiessl. Gaisf., *εἰ* Wart.

Vs. 13—16.

Vet. Ἀνά τ' ἠρία: ἠρία οἱ τάφοι κοινῶς παρὰ τὸ ἐνεῖρθαι τῇ γῇ· ἢ παρὰ τὴν ἐπιχεομένην τοῖς νεκροῖς ἔραν, ἤγουν γῆν, ἢ ⟨ἐπεί⟩ ἐστιν ἱερά. — Ἑκάτα δασπλῆτι: ἢ ᾗ οὐκ ἄν τις πελάσειεν, ἢ διὰ τὸ δα ἐπιτατικὸν πολυπέλαστε· ἢ ἀντὶ τοῦ πολεμική, ἵνα ἔγκειται ἡ δαΐς, τουτέστιν ἡ μάχη· ἢ ἡ προσπελάζουσα τὴν δᾷδα, τουτέστι φωσφόρος, ἐπεὶ ἡ αὐτή ἐστι τῇ Σελήνῃ. — (Δασπλῆτις: . . . . ἡ μεγάλων κακῶν ἀναπιμπλαμένη· ἡ ἄπληστος τιμωρὸς καὶ ἀσπλής. EtM. 249, 13.)

Rec. (Ἠρία: τὰ ὑπὸ τὴν γῆν μνήματα. 6.) — Ἄλλως. Νεκύων ἀνά τ' ἠρία: ἤγουν διὰ τῶν μνημάτων καὶ τοῦ μέλανος αἵματος τῶν νεκρῶν. δασπλῆτι δὲ σφόδρα πλησιάζουσα. καὶ ἐς τέλος ἄμμιν ὀπήδει, ἤγουν μέχρι τέλους (ἐμοὶ Lips.) παράμενε, τὰς μαγείας ταύτας ποιοῦσα χείρους οὐδὲν οὔτε τῶν μαγειῶν τῆς Κίρκης οὔτε τῶν μαγειῶν τῆς Μηδείας οὔτε τῶν μαγειῶν τῆς ξανθῆς Περιμήδης.

Vet. Μήτέ τι Κίρκης: ἔτι καὶ νῦν ἐν τῷ Σεληναίῳ ὄρει ὄλμους δεικνύουσι τῆς Μηδείας καὶ Κίρκης, ἐν οἷς

13) Διὰ τῶν μνημάτων καὶ τοῦ μέλανος αἵματος τῶν νεκρῶν. 6. εἰς τὰ μνημεῖα, ἤγουν διὰ τῶν μνημάτων καὶ τοῦ μέλανος αἵματος εἰς τὰς θυσίας. H. — Ἐκ τῶν νεκρῶν. C. E. H. N. — Μνημεῖα· ἐκεῖ γὰρ φαίνεται. M. — [Αἷμα:] τὸ ἐν τοῖς μνημείοις χεόμενον. E. N. ἤγουν εἰς τὰς θυσίας. E. N.

14) Φοβερά. H. Vim. σφοδρά. M. — Συνόδευε, παράμενε. M.

---

2) //Gen.[b.], ubi ἀνὰ τ' ἤρια. — κοινῶς] add. 4. 5. Can. (Gen.[b.]) Vulc. 2) ἐνεῖρθαι] ἐνηρίσαι 4. 5. Can. Gen.[b.] Vulc., ἐνηρίσθαι vulg. 3) ἔραν ἤγουν om. Gen.[b.] 4) ᾗ] ἢ vulg. 4) //Gen.[b.], ubi Ἑκάτη. 4) ᾗ ἣν Gen.[b.] 5) πελάσειεν] GlE., διαπελ. vulg. 5) διὰ] add. 4. 5. Can. Gen.[b.] Vulc. 6) ἵνα ἔγκειται] 4. 5. Gen.[b.] Vulc., ἵν' ἔγκηται ante Heins., ᾗ ἔγκειται vulg. 7) ἢ ἡ] ἡ ἢ Vulc., ἡ Gen.[b.], ἢ vulg., η σφόδρα πρ. H. M. N., quae lectio potius ad l. 13. pertinet. 7) τὴν δᾷδα] τὴν δάδα 4., τὰς δάδας 5. Can. Gen.[b.] Vulc., ταῖς δᾳσὶ vulg. 8) Antecedunt in EtM. Θεόκριτος δὲ Ἑκάτης αὐτὸ εἶναι ἐπίθετον λέγει. 12) //Lips. in marg. int. διὰ .... νεκρῶν, tum s. l. σφόδρα προσπελάζουσα (cf. ad l. 7). — μέχρι seqq. 16) Κίρκης οὐδὲν οὔτε ante Xyl., οὔτε τῶν et proximum τῆς om. Lips. 18) In Gen.[a.] extant glossae Suideae Ἠρία (cum lectt. ᾠκοδομουμένους ὠνομάζεσθαι) et Μήδεια.... Μήδειαν (ubi χόλκις ἡ αἰετοῦ — φαρμακεστάτη — πυριττόους). Haec usque ad ζεύξαντα etiam in Z. legitur, ubi ἢ et φαρμακιστάτη. 19) //Gen.[b.] 20) ὄρμους Gen.[b.], codd. teste Gaisf. et vulg. ante Reisk.

ἔκοπτον τὰ φάρμακα. — *Περιμήδας*: αὕτη ἐστὶν ἡ παρ' Ὁμήρῳ Ἀγαμήδη λεγομένη,

ἣ τόσα φάρμακα εἶδεν, ὅσα τρέφει εὐρεῖα χθών.

Vs. 17.

Vet. *Ἴυγξ ἕλκε τὺ τῆνον ἐμόν*: ἴυγξ ὄρνεον Ἀφροδίτης, ὃ αἱ φαρμακίδες συνεργὸν ἔχουσι πρὸς τὰς μαγείας. (εἰς γὰρ τροχὸν κήρινον ἐμβαλοῦσαι καὶ διὰ ἵμαντος ἑκατέρωθεν ἀνάψασαι τοῦτο, περιστρέφουσαι ῥομβοῦσι τὸν κυκλίσκον ὑπὲρ πυρίας ἐπᾴδουσαι ὃ βούλονται· ὅτε δὲ ἀναδινούμενος ἡσύχως τήκεται, ἐπιλέγουσιν αὐτῷ, εἰ τύχοι· ὡς οὗτος τήκεται ὁ ῥόμβος, οὕτω καὶ ὁ ἐμοῦ ἐρῶν τακείη. Ἄλλως. Gen.[b]) λέγουσι δὲ καὶ αὐτὸν τὸν ἔρωτα ἀπὸ τοῦ ἐνέντος ζῴου ἴυγγα, ὡς καὶ Πίνδαρός φησι· *** ⟨*Ἡ ἴυγξ* ὀρνέου εἶδος,⟩ καθά φησιν Ἀριστοτέλης ἐν τῷ περὶ ζῴων, μικρῷ μεῖζον σπίζης αὐτὸ λέγων. ἢ κίναιδος, ἣ παρὰ Ῥωμαίοις σεισοπυγὶς καλεῖται διὰ τὸ πανταχοῦ στρέφειν καὶ λυγίζειν [τὸν αὐχένα ἢ] τὴν πυγήν. ἢ τὴν Ἴυγγα, ὥς φησι Καλλίμαχος, Ἠχοῦς θυγατέρα, φαρμακεύειν δὲ τὸν Δία ⟨ἐπὶ Ἰοῖ⟩, ὅπως ἂν αὐτῇ μιχθῇ· ὅθεν ὑπὸ Ἥρας εἰς ὀρνιθάριον αὐτὴν μεταβαλεῖν καὶ συνεργεῖν ταῖς φαρμακείαις.

Rec. *Ἴυγξ ἕλκε*: ἴυγξ ἡ λεγομένη σεισοπυγίς, ἥν φασιν ἐν τῇ φύσει ἔχειν ἐρωτικήν τινα πειθώ. ἀφ' ἧς καὶ πάντα ἁπλῶς τὰ εἰς φιλίαν κινοῦντα φάρμακα ἴυγγας λέγουσι, καὶ τὰ ἐπαγωγὰ ἄλλως καὶ χαρίεντα κατὰ μεταφοράν.

17) Ἄκοντα κόμισον. M.

---

1) //Gen.[b] 2) ἀγαμήδη περιμήδη 4. 5. Gen.[b] — *Hom. Il. Λ*, 741. 3) τόσσα et ὅσσα 4.[1] 5.[1] Gen.[b] — φάρμακα om. Gen.[b] — ἴδεν ante Brub., om. Gen.[b] Vulc., ἤδη ap. Hom. 3) φέρει pro τρέφει Gen.[b] — χθὼν ποιήσασα Vulc. 5) /Gen.[b] sine lemm. 7) εἰς] Duebn., εἰ cod. 7) κήρινον et διὰ ἵμαντος] Adert., κηρὸν et δι' αἵματος cod. 9) ὅτε δὲ] ὁ δὲ cod. — ἀναδιν.] Adert., ἀναδυν. cod. 10) τύχη cod. 12) ἐνέντος] Hemsterh., ἐνόντος vulg. 13) ὡς καὶ Π. φ.] Gen.[b], ὥς φησι Π. vulg., φη ante Brub. 14) καθά φησιν] Can., κατὰ φησὶ καὶ Gen.[b], καθὰ Vulc., καὶ vulg. — *Aristot. H. A. II*, 12. 14) μικρῷ] Can. (Gen.[b]) ut auctore Reinesio ex ipso Aristotele Kiessl. reposuerat, μικρῶν 4. 5., μορίων vulg. 15) σπίζης] Heinsius et Reinesius ex Aristotele, σπίνης 5., πίντης Gen.[b] vulg. 15) κίναδος Can. Vulc., κιναδος Gen.[b] et ante Heins. 15) ἢ] ἡ vulg. 16) καλεῖται] 4. 5. Can. Gen.[b] Vulc., καλουμένη vulg. 18) ἤπους pro Ἠχοῦς 4.[1], ἤτους Gen.[b] 21) //Gen.[a] Lips. sine lemmate. 23) φιλίας Gen.[a]

ἐνταῦθα δὲ ἴσως τὴν σεισοπυγίδα λέγει, ἣν ἐν κατασκευῇ τινι ἡ Σιμαίθα ἔχουσα (ἐπὶ τοῦ πυρὸς στρέφει καὶ 2. 6. E. M. N. Y. Gen.[a] Lips.) ταῦτα ἐπᾴδει. — (⟨Ἴυγξ:⟩ στρουθάριον, ὃ συμβάλλεται πρὸς μαγγανείας καὶ θέλγει· ὅθεν καὶ τοὺς θέλγοντας λόγους ἴυγγάς φασι. μὴ βουλόμενον δέ, λέγει, ἕλκε τὸν ἄνδρα ἐκεῖνον πρὸς τὸ ἐμὸν δῶμα. 2. 6.)

Vs. 18.

Vet. Ἄλφιτά τοι πρῶτον πυρὶ τάκεται: ὡς τῶν μαγευουσῶν ἄλφιτα θυουσῶν· ταῦτα δὲ θυλήματα ἔλεγον. τάκεται δέ, τύφεται, θυμιᾶται, ὑπὸ τοῦ πυρὸς ἀναλίσκεται. γράφεται ἔτι καὶ κάεται. — (Πάσσω τὸ τετριμμένα τινὰ ἐπιτίθημι. πάσσω καὶ τὸ κοσμῶ. Ὅμηρος·

πολλοὺς δ' ἐνέπασσεν ἀέθλους.

ἀντὶ τοῦ μετὰ κόσμου ἐτίθη. 4. 5.)

Rec. Πυρὶ τάκεται: ἐπὶ κηροῦ καὶ χιόνος καὶ τῶν τοιούτων λέγεται (τὸ τήκεσθαι Gen.[a] Lips. Flor.) τῶν κατ' ὀλίγον ἀναλισκομένων. ἐνταῦθα δὲ τὸ τήκεται ἁπλῶς ἀντὶ τοῦ ἀναλίσκεται, φθείρεται.

Vs. 19. 20.

Rec. Πᾶ τὰς φρένας: πῇ ἔχεις τὸν νοῦν ἐκτετοπισμένον. ὄντως βδελυρὰ καὶ σοὶ γέλως γεγένημαι. — (ΕΠΙΧ.

18) Σημείωσαι γοητείαν. *H. *M. *P. — [Ἄλφιτα:] ἄλευρα. H. M. P. Lips. — [Τοι:] περισσόν. H. M. Lips. σοῦ χάριν. E. — Ὑπὸ τοῦ πυρὸς ἀναλίσκεται. Lips. καίεται. C.

---

2) φέρει pro στρέφει E. N. 3) In Gen.[a] sequitur *Suidae* glossa Ἴυγξ: τὸ ἐφέλκον . . . ἔρωτα, tum οἱ δὲ ὅτι . . . Πειθοῦς. 4) μαγγανείαν Wart. 5) δὴ pro δὲ Wart. 6) δῶμα ἤγουν οἴκημα P. 8) //Gen.[b] 9) δὲ καὶ θ. Gen.[b] — θηλήματα ante Heins. 10) θυμᾶται Gen.[b] 10) ὑπὸ τ. π. ἀναλ. om. Gen.[b] 11) γρ. δὲ καὶ Gen.[b] — Post κάεται vulgo leguntur verba ῥόμβος δὲ . . . . καλοῦσι, quae ad Vs. 30. pertinent, tum μέχρι . . . τῶν τριῶν, quae ad Vs. 43. 13) *Hom. Il.* Γ, 126. — ἐνέπασσεν] Duebn., ἐνέπασεν codd. 15) //Gen.[a] Lips. Ex uno e codd. Florentinis p. r. t. v. w. (r. puto) hoc scholium sine lemm. affertur a Salvinio ap. Wart. II. p. 377. — πυρὶ τάκεται] Lips., περιτάκεται Gen.[a], τὸ δὲ τάκεται vulg. 16) τῶν κατ' ὀ. ἀ. om. Gen.[a] Flor. 17) ἐνταῦθα δὲ om. Gen.[a], δὲ om. Flor. 17) τὸ τήκεται] add. Vat. Flor. (Gen.[a]) Lips. et Wart. seqq. — καταναλ. P. 18) φθείρεται] 6. M. Gen.[a] Lips., ἢ φθ. Flor., καὶ φθ. vulg. 20) //* Lips. Apud Phav. extant πᾶ τὰς φρένας ἐκπεπότησαι: ἤγουν πῆ ἔχεις τ. ν. ἐκτ. 20) πῇ] M. Lips. Phav., ποῖ vulg. 20) ἐκτετυπωμένον M. 21) βδελυκτὴ E. N.

ποιητικόν, ἐφ' ᾧ ἐπιχαίρει τις. τὸ δὲ ἐπιχαίρειν τὸ κατά τινος χαρὰν ἔχειν. 6.)

Vet. (*Ἡρά γέ τοι μυσαρά: ἆρά γε μυσαρά.* <*Δειλαία:*> *ὦ ἐπίπονε, ποῦ σοι τὸ τέρμα τῆς ἀμεριμνίας πάρεστιν; ἐξεπτοημένη γὰρ οὐ διακονεῖς μοι. τὸ δὲ καὶ τὶν ἐπίχαρμα τέτυγμαι, καταγέλαστός εἰμι καὶ παρὰ σοί.* 4. 5. P. Gen.[b])

Vs. 23—26.

Rec. Δέλφις ἔμ' ἀνίασεν: ἤγουν ἐλύπησε, καὶ ἐγω κατὰ τοῦ Δέλφιδος δάφνην καίω. καὶ ὡς λακήσει μεγάλως πυρακτωθεῖσα καὶ ἐξαίφνης ἀναφθήσεται, καὶ οὐδὲ τέφραν εἰσόμεθα αὐτῆς, οὕτω καὶ ὁ Δέλφις ἐν τῇ φλογὶ τοῦ ἔρωτος τήκοιτο.

Vet. (*Αἴθω χ' ὡς αὔτη λακῇ:* Gen.[b] *ἡ δάφνη ψοφεῖ αἰθομένη καὶ ἔστιν ἡ δαοφώνη,* <*ἡ φωνοῦσα*> *ἐν τῷ δαίεσθαι.* P. Gen.[b]) — (*Οὕτω τοι καὶ ὁ Δελφίς:* Gen.[b] *ὥσπερ ἡ δάφνη ἡ πυρωθεῖσα καθάπαξ ἠφάνισται, οὕτω καὶ ὁ Δέλφις ἐν φλογὶ τοῦ ἔρωτος διαφθαρείη τὸ σῶμα.* P.

19) *Ἐξεπέτασας.* E. *ὅλον καὶ μέρος, ἐπέτασας.* M.

20) [*Τοι:*] *περισσόν.* Lips. *τὸ τοι περισσόν.* P. — [*Ἐπίχαρμα:*] *παίγνιον.* E. *ἤγουν ἐπιχαίρεις τοῖς ἐμοῖς κακοῖς. γέλως.* M. *γέλως γέγονα* Vim.

24) [*Λακεῖ:*] *ἠχήσει.* H. M. — *Ἐκπυρωθεῖσα.* E. N.

25) *Ἥφθη.* E. *ἀναφθῇ.* P. — [*Εἴδομεν:*] *εἰσόμεθα.* M. P. *γνωσόμεθα.* H.

26) *Ἐν τῷ πυρὶ τοῦ ἔρωτος.* M. — *Χηρανθῇ, σποδὸς γένοιτο.* 4. *καυθείη, τήκοιτο.* H. M. P. *κατὰ κράτος ἀφανισθείη.* C. *λεπτύνοι.* E. N.

---

3) *ἆρά γε μ.*] Gen.[b], om. Wart. seqq., ubi ante *ἡρά γε* praefixum est *ΗΡΑ.*, quo Gen.[b] caret. 4) *ποῦ σοι — ἀμεριμνίας*] *καὶ σοὶ — εἱμαρμένης* codd. 5) *ἐπτοημένη* P. 5) *καὶ τὶν*] P., *τὶν* rell. 6) *καὶ παρὰ*] P. Gen.[b], *παρὰ* rell. 9) //* Lips. *ἤγουν ἐλύπησε — κατὰ τοῦ Δ. — καίω — καθὰ — λακήσει — πυρακτ. κ. ἐξ. ἀν. — τέφραν εἰσόμεθα — ἐν τῇ φλ. τ. ἔ. τήκοιτο.* 10) *Δάφνιδος* ante Xyl. — *δάφνιν* Brub. II, *Δάφνιν* Xyl. et vulg. ante Reisk. 12) *εἰσόμεθα*] Lips. et *M. *P., *εἴδομεν* vulg. 15) *δαοφώνη*] *δάφνη* codd. — *δαίεσθαι*] Duebnerus, *δέεσθαι* P., *καίεσθαι* Gen.[b] Conf. EtM. 250, 34. EtG. 135, 25. *δάφνη, τὸ φυτόν, δαοφώνη τις οὖσα, ἡ ἐν τῷ δαίεσθαι φωνοῦσα· ἠχεῖ γὰρ καιομένη. μαρτυρεῖ Θεόκριτος· χὡς αὐτὰ κ. τ. λ.* Duebn. suppleri jussit *καὶ ἔστιν ἡ δάφνη* <*ὡς δαοφώνη, ἡ φωνοῦσα*> *ἐν τ. δ.*

Gen.[b.]) — *Σάρκ' ἀμαθυνῇ*: ἄμαθον ποιήσας ἀφανίσει· ἄμαθος δὲ ἡ κόνις.

Vs. 28. 29.

Rec. *Ὡς τοῦτον τὸν καρὸν ἐγὼ σὺν δαίμονι τάκω*: καθὰ σὺν ἀγαθῇ τύχῃ ἐγὼ τοῦτον τὸν κηρὸν ἀναλίσκω, οὕτως εἴθε διαρρέοιτο εὐθὺς καὶ οὐκ εἰς ἀναβολὰς ὑπὸ τοῦ ἔρωτος ὁ Μύνδιος Δέλφις.

Vet. *Σὺν δαίμονι τάκω*: ἤγουν τῇ Σελήνῃ, ἢ τῷ Ἔρωτι, ἢ τῷ ἑαυτῆς δαίμονι, ὡς Μένανδρός φησι·

δαίμων ἀνδρὶ συμπαρίσταται
εὐθὺς γινομένῳ.

περιβόητον δὲ τὸ Σωκράτους δαιμόνιον. — (*Σὺν δαίμονι*: σὺν τῇ Σελήνῃ· πρὸς ταύτην γάρ φησι μαγεύειν. 4. 5. Can. Gen.[b.] Vulc.)

Rec. Τὸ δὲ *Μύνδιος* ἀπὸ τόπου.

Vet. (*Ὁ Μύνδιος*: ὁ ἐκ Μύνδου. 4. 5. P. Gen.[b.]) Μύνδος γὰρ Καρίας, ἔνθεν ἦν ὁ νεανίας. [οἱ δὲ Καρίας φασὶ τὴν Μύνδον.]

Vs. 30. 31.

Rec. *Χ' ὡς δινεῖθ' ὅδε ῥόμβος*: καὶ καθὰ στρέφεται οὗτος ὁ χάλκεος τροχὸς ὁ ἐξ Ἀφροδίτης, οὕτως ἐκεῖνος στρέ-

28) [*Σὺν δαίμονι*:] οὕτως οἱ παλαιοί· ἤγουν σὺν ἀγαθῇ τύχῃ. 2.
29) Ἀναλίσκοιτο. C. — [*Μύνδιος*:] ὁ ἐκ Μύνδης πόλεως. H. M. ἀπὸ τόπου. H. M. Lips.

---

1) //Gen.[b.], ubi *σάρκα*. — *ἀμαθυνῇ*] Gen.[b.], *ἀμαθύνοι* vulg. 1) *ποιήσας*] Gen.[b.] et ante Heins. *ποιήσαι* vulg. 1) *ἀφανίσει*] Gen.[b.], *ἀφανίσοι* E. N. vulg., *ἀφανίσαι* Reisk. seqq. 2) *δὲ*] Gen.[b.], *γὰρ* vulg. 4) //*Lips. *καθὰ σ. ἀ. τύχῃ — οὕτως ... ἀναβολάς*. 8) //Gen.[b.] — *τάκω*] Gen.[b.], *δὲ* vulg. — *ἤγουν*] P. Gen.[b.], *ἢ* E. N., om. vulg. 8) *ἢ τῷ Ἐρ.* om. E. N. 9) *ἑαυτῆς*] 4. 5. E. N. P. Gen.[b.], *ἑαυτοῦ* vulg. 10) *Menand. fr.* 18. — *συμπαρίσταται*] 4. 5. P., *παρίσταται* vulg. 12) Hoc schol., quod huc pertinere Duebnerus intellexit, in codd. exstat post *θεῶν* p. 103. 13. — *σὺν δαίμονι*] Duebnerus, *σύνδεσμον* codd. 13) *μαγεύειν*] Duebnerus, *μαγεύει* cod. 15) //*Lips. *ἀπὸ τόπου*. 16) //Gen.[b.] — *ἐκ*] Wart. cf. Gl., om. codd. — *Μύνδου*] Wart., *Μύνδης* codd. 17) *Μύνδος* om. 4. 5. P. Gen.[b.] — *γὰρ Καρίας*] Duebnerus, *γὰρ Ἀρκαδίας* vulg., *Ἀρκαδίας* P. Gen.[b.], om. 4. 5. (?) 17) *ἔνθεν*] Amst. et Gaisf., *ἔνθα* vulg., *ὅθεν* 4. 5. 18) *τὸν* P. Gen.[b.] et ante Xyl., forsitan recte. 20) //*Lips. *καὶ καθὰ στρ.* — *ὁ* super *ἐξ* — *οὕτως* — *στρέφοιτο πρὸς* — *ἀντὶ τοῦ παρὰ ταῖς ἑ. θ.* 21) *ὁ* ante *ἐξ*] add. Lips. — 24) *ὁ ἀπὸ* H. M.

φοιτο παρὰ ταῖς ἐμαῖς θύραις. — (*Χάλκεος ἐξ Ἀφροδίτας*: ὁ ἐκ τῆς δυνάμεως τῆς Ἀφροδίτης κατεσκευασμένος. *r. *2. *E. *M. *N. Gen.[a] Lips. — *Ποθ' ἁμετέρῃσι θύρῃσι*: ἀντὶ τοῦ παρὰ ταῖς ἐμαῖς θύραις. Gen.[a])

Vet. (*Ῥόμβος ὁ χάλκεος*: Gen.[b] χαλκοῦν ἔφη ῥόμβον τὴν ἐκ τοῦ κηροῦ τοῦ ἑώλου καὶ τοῦ πτηνοῦ ἴυγγα διὰ τὴν στερρότητα καὶ δύναμιν τῶν φαρμάκων. 4. 5. P. Gen.[b]) τὸν δὲ ῥόμβον οἱ Ἀττικοὶ ῥύμβον καλοῦσι.

Vs. 33. 34.

Rec. *Νῦν θυσῶ τὰ πίτυρα. τὺ δ' Ἄρτεμι*: θυσῶ, πυρὶ καύσω. — (*Θύω* τὸ ἱερουργῶ, ἐξ οὗ καὶ θύτης. θύω τὸ σφάζω, ἐξ οὗ καὶ θῦμα. θύω τὸ καίω, ἐξ οὗ καὶ θύος τὸ θυμίαμα. 2. — *Πίτυρα* τὰ λεπτίσματα τοῦ σίτου καὶ τῆς κριθῆς. γράφουσι δὲ τοῦτο οἱ Ἀττικοὶ πτισάνην θηλυκῶς. 2. 6.)

Vet. (*Κινήσαις ῥ' ἀδάμαντα*: οὐχ ὅτι ἐν τῷ Ἅιδῃ ὁ ἀδάμας ἐστίν, ἀλλὰ τὸν πάνυ σκληρόν φησιν. εἰ γὰρ ὁ ἐπὶ γῆς ἀδάμας οὕτω σκληρός, πολλῷ μᾶλλον ὁ ἐν Ἅιδῃ. 4. 5.) — *Κινήσαις ῥ' ἀδάμαντα*: ἀδάμαντα ἢ τὸν λίθον, ἢ τὸν ἀδάμαντα σίδηρον, ἢ καὶ τὸν Ἀδάμαντα, ἤγουν τὸν

30) *Συστρέφεται.* C. — [*Ῥόμβος*:] ὁ ἄτρακτος. H. M. ὁ στρογγυλοειδὴς λίθος, ὁ τροχός. P. — Ἐξ ἐνεργείας τῆς Ἀφροδίτης. H. P.
31) *Περικυκλοῖ.* C.
33) *Τὰ ἄλφιτα.* C.
34) [*Ἀδάμαντα*:] τὸν Πλούτωνα. H.

---

1) Schol. in Lips. legitur in marg. inter. 2) ἐκ δυνάμεως *2., ἐκ τῶν δυνάμεων Lips. 2) Post κατεσκ. in Gen.[a] sequuntur *Suidae* glossae *Ῥομβεῖν*, *Ῥόμβον*, *Ῥόμβος*. In prima pentameter sic mutilus: πλήξας ῥόμβῳ. In media hae lectiones: ἐπιγράμματι — θύννον ἐϋπλύστοιο — πελάγους; adhaerent post h. v. verba καὶ τῆς νηὸς τὸ πολεμικόν. 6) ἐκ κηροῦ Gen.[b], καιροῦ P. 6) ἑώλου] αἰώλου P., αἰόλου vulg. 6) πτηνοῦ] P. Gen.[b], πήνου Wart., πήνους Kiessl. Gaisf. 8) Haec ultima vulgo post κάεται p. 98. 11. leguntur, recte in 4. 5. P. Gen.[b] 8) τὸν δὲ ῥόμβον] 4. 5. P. Gen.[b], ῥόμβος δὲ ὃν vulg. 8) ῥύμβον] 4.[1] 5., ut voluerat Piersonus apud Ruhnk. ad Tim. p. 164, κόρυμβον 4.[2] P. Gen.[b] vulg. Post καλοῦσι in 4. 5. P. Gen.[b] et vulg. sequuntur verba μέχρι ... τῶν τριῶν, quae ad Vs. 43 pertinent. 10) //*Lips. ἐν τῷ πυρὶ καύσω. Vulgo sequuntur verba ἦν δὲ ... θεαῖς, vid. p. 102. 7. 16) γὰρ δὲ ἐπὶ Wart., quod etiam Geelius correxit. 18) //4. 5. Gen.[b] sine lemmate, in quo ῥ' om. 6[2], καίτοι ἐν ᾅδῃ κινήσαις ἀδάμαντα 6.[1] 18) ἀδάμαντα ἢ] 4. 5. Gen.[b], τινὲς ἀδάμαντα vulg. 19) ἢ καὶ] 4. 5. Gen.[b], βέλτιον δὲ vulg. 19) Ἀδάμαντα] ῥαδάμαντα 4. 5. Gen.[b] vulg., ῥ' Ἀδάμαντα Valckenarius ad poëtae verba.

Πλούτωνα, καθὸ σκληρὸς καὶ ἀδάμαστος. (*Καὶ τὸν ἐν Ἅιδῃ: ἀμείλικτον·*

δμηθήτω· Ἀΐδης τοι ἀμείλικτος ἠδ' ἀδάμαστος.

ἢ ἐν Ἅιδου ἀδάμαντα ἀκουστέον τὸν [ἐν Ἅιδῃ] στερρότατον. 4. 5. Gen.[b.]) ταῦτα δὲ ἀναφέρει ἐπὶ τὸν Δέλφιδα, καί φησι· τὴν ψυχὴν αὐτοῦ δόνησον, καὶ εἰ στερεμνιώτερον ἔχει τοῦ ἀδάμαντος. ἣν δὲ πρὸ τούτου Ἑκάτην ἔφη, ταύτην νῦν Ἄρτεμιν λέγει διὰ τὸ ὑπεῖναί τινα κοινωνίαν ταύταις ταῖς θεαῖς. — (Ἄλλως. Τινὲς ἀδάμαντα τὸν Πλούτωνα· βέλτιον δὲ κυρίως ἀδάμαντα διὰ τὴν στερρότητα τῶν πόνων. 4. 5. Gen.[b.])

Rec. Ἄλλως. *Καὶ εἴ τι περ ἀσφαλὲς ἄλλο*: καὶ εἴ τίς ἐστιν ἐν τῷ Ἅιδῃ ἀδάμας, σκληρότερος ὢν δηλονότι τοῦ παρ' ἡμῖν ἀδάμαντος καὶ κατὰ μηδεμίαν μηχανὴν μαλάττεσθαι δυνάμενος, καὶ τοῦτον κινήσαις ἄν, ἀντὶ τοῦ μαλάξαις, καὶ εἴ τί περ ἀσφαλὲς ἄλλο, ἤγουν στερρὸν καὶ μὴ δυνάμενον μαλάττεσθαι. Ἄρτεμις δὲ ἡ αὐτὴ τῇ Σελήνῃ.

Vs. 35. 36.

Vet. *Θέστυλι ταὶ κύνες ἄμμιν*: πρὸς τὴν παιδίσκην φησὶ τεκμαιρομένη ἐκ τῶν ὠρυγῶν τῶν κυνῶν, ὡς τῆς θεοῦ κατὰ τὰς τριόδους πεφηνυίας. διὸ προστάσσει καθόσον τάχος τὸ χάλκωμα λαβοῦσαν ἠχεῖν, ὅτι οὐκ ἔλαθεν αὐτὴν φανεῖσα. — *Ἁ θεὸς ἐν τριόδοισιν*: ἱδρύοντο δὲ τὴν Ἑκάτην ἐν ταῖς τριόδοις, ὅτι ἐπὶ τῶν καθαρμάτων καὶ μιασμάτων ἡ

---

1) *Πλούτωνα*] 4. 5. Gen.[b], *Πλ. λέγειν* vulg. 1) Ante καὶ τὸν codd. habent δμηθήτω, quae correctio sphalmatis δμηθέντα in versu Homerico ex margine irrepsit. Etiam ex Vulc. post σκληρὸν καὶ ἀδ. afferuntur δμηθήτω καὶ τὸν ἐν Ἅδῃ ἀμείλικτον. — ἅδῃ Gen.[b.] 3) *Hom. Il. I*, 158, ubi ἀμείλιχος. — δμηθήτω] δμηθέντα hoc loco codd. 4) ἅδου et ἅδῃ Gen.[b.] 4) τὸ pro τὸν 5. 5) τοῦ Δέλφιδος· διὸ καί φ. 4. 5. Gen.[b.] 6) δόνησον] 4. 5. Gen.[b.], δόνα vulg., δόνει Reisk. seqq. 6) εἰ] εἴ τι 4. 5. Gen.[b.], εἴ τί περ vulg. — στερεμνιώτερον] 4. 5. Gen.[b.], στέρεμνον vulg. 7) ἀδάμαντος] σώματος 4. 5. Gen.[b.] vulg. 7) Verba ἣν δὲ... θεαῖς hoc loco in 4. 5. Gen.[b.] leguntur., vulg. post πυρὶ καύσω p. 101. 11. — καὶ pro ἣν Wart. 7) ἔφη] 4. 5. Gen.[b.], ἐκάλεσε vulg. 8) ὑπεῖναι] Jacobsius, ὑπομεῖναι vulg., ὑποτεῖναι Gaisf. tacite. 8) ταύταις] add. 4. 5. Gen.[b.] — ταῖς om. Gen.[b.] 12) //Gen.[a.] Lips. 16) στερρὸν] 6. 7. E. I. Y. Gen.[a.] Lips., σκληρὸν vulg. 17) Ἀρτ. ἡ αὐτὴ τῇ Σ. etiam E. N. 19) //Gen.[b.] 20) τῶν om. Gen.[b.] — τῶν κυνῶν] 4., κυνῶν Gen.[b.], om. vulg. 20) ὡς vulg. ante ἐκ, unde transposui. 21) τοὺς τρ. Gen.[b.] 21) πεφηκυίας 5.[1.] 21) ὡς τάχος 4. Gen.[b.] 22) λαβοῦσαν] 4. 5., λαβοῦσα Gen.[b.], om. vulg. 22) φανεῖσαν 5. 23) /Gen.[b.] sine lemmate. 24) τοῖς Gen.[b.] et ante Heins.

θεός. ἔνιοι δέ φασι Φεραίας τῆς Αἰόλου καὶ Διὸς παῖδα αὐτὴν γεγονέναι καὶ ὑπὸ τῆς μητρὸς εἰς τρίοδον [αὐτὴν] ἐρρίφθαι. τῶν δὲ Φέρητος βουκόλων ἀνελομένων [καὶ ἀναλαμβανομένων] ἐκθρέψαι· διόπερ τὰς τριόδους ἱερὰς τῆς θεοῦ νομισθῆναι. ἱδρύοντο δὲ αὐτὴν καὶ πρὸ τῶν θυρῶν, ὥς φησιν Αἰσχύλος·

δέσποιν' Ἑκάτη,
τῶν βασιλείων πρόδομος μελάθρων.

— Τὸ χαλκεῖον ὡς τάχος ἄχει: τὸν γὰρ χαλκὸν ἐπῆγον ἐν ταῖς ἐκλείψεσι τῆς σελήνης καὶ ἐν τοῖς κατοιχομένοις, ἐπειδὴ ἐνομίζετο καθαρὸς εἶναι καὶ ἀπελαστικὸς τῶν μιασμάτων. διόπερ πρὸς πᾶσαν ἀφοσίωσιν καὶ ἀποκάθαρσιν αὐτῷ ἐχρῶντο, ὥς φησι καὶ Ἀπολλόδωρος ἐν τῷ περὶ θεῶν. — Τὸ ἄχει ἀντὶ τοῦ ψόφει, κροῦε. ἐπεὶ ὁ τοῦ χαλκοῦ ἦχος οἰκεῖος τοῖς κατοιχομένοις, φησὶν Ἀπολλόδωρος Ἀθήνησι τὸν ἱεροφάντην τῆς Κόρης ἐπικαλουμένης ἐπικρούειν τὸ καλούμενον ἠχεῖον· καὶ παρὰ Λάκωσι βασιλέως ἀποθανόντος εἰώθασι κρούειν λέβητα.

Vs. 38—41.

Rec. (Ἰδοὺ σιγᾷ μὲν ὁ πόντος, καὶ αἱ πνοαὶ ἐπαύθησαν· ἡ δὲ ἐντὸς τῶν στέρνων ἀνία ταράττουσα οὐ σιγᾷ, ἀλλ' ἤδη

35) Ὑλακτοῦσιν. 2. H. M. Lips. καταχρηστικῶς τοῦτο εἴρηται. H. M. βοῶσι. P. βαβίζουσιν. 3.

36) Ἡ Ἑκάτη. H. M. P. Lips. — Τὴν λεκάνην. H. τὸ ἐπιχυτάριον. M. χαλκοῦν ἀγγεῖον. Vim. — Καθόσον τάχος. H. M. Lips. λίαν ταχέως κροῦε. H.

---

2) ἐς τρ. ἔρρεφθαι Gen.b. 3) τῶν — βουκόλων] Can. Gen.b. Vulc. vulg., τὸν — βουκόλον Reisk. seqq. — ἀνελομένων] Gen.b. Vulc., ut Geelius conjecit, ἀνελκομένων Can. vulg., ἀνελκόμενον Reisk. seqq. 3) καὶ ἀναλαμβανόμενον Reisk. seqq., om. Can. Gen.b. Vulc. 7) *Aesch. fr.* 372. *W.* — σπένδον pro δέσποιν' Gen.b., σπεύδον Can., σπεύδων Vulc. 8) πρόδομος] Can., ut Geelius conjecit, πρόδρομος vulg. 9) //Gen.b., ubi lemmate omisso τὸν δέ. 9) ἐπῆγον] Reinesius, ἐπῆδον 4. 5. Can. Gen.b. Vulc., ἐπεῖδον vulg. 10) ἐκλείψεσι] 4. 5. Gen.b., ἐλλείψεσι vulg. 10) κατηχουμένοις 4. 5. (non Gen.b.) 11) ἀποπελαστικὸς 5. 12) αὐτὸ Gen.b. 13) ὥς φησι om. 4. Gen.b. 13) *Apollod. fr.* 36. — Post θεῶν in codd. legitur scholium supra positum p. 100. 12. 14) //Gen.b., ubi ὡς τάχος ἦχει pro τὸ ἄχει. 14) κρούων 5. 15) οἰκεῖον Gen.b. 15) κατηχουμένοις 5. Vulgo post h. v. punctum erat, antea post κροῦε comma, quod mutavi. 16) ἐπικρούσειν Gen.b., κρούειν conj. Duebn. 17) οἰκεῖον 5. Gen.b. 17) περὶ 5. Can. Vulc. 17) Λάκωνος 5.1. Vat.2. Can. Gen.b. 20) In Gen.a. leguntur ex *Suida*: Ἀήτης: ὁ ἄ. καὶ ὥσπερ ἀπὸ τοῦ ἡγ. ἡγ. π. π. οὕτως ἀπὸ τοῦ ἄω ἀήσω ἀητής, et Ἄημα: ἡ πνοὴ τοῦ ἀνέμου.

ὅλη δι' ἐκεῖνον καταίθομαι, ὅς με τὴν παρθενίαν ἀφείλετο καὶ πεποίηκεν εἶναί με ἀναιδῆ ἀντὶ κοσμίας γυναικός. 2. 6.) — (Ἡ λύπη ἡ ἐντὸς τῶν στέρνων, ἤγουν ἐν τῇ καρδίᾳ. M. P. *Lips.) — Ὅς με τάλαιναν: ὅς με τὴν ἀθλίαν ἀντὶ τοῦ κατάστασιν ἔχειν γυναικὸς ἐποίησεν εἶναι ἀγεννῆ καὶ ἄσεμνον. — (Κακάν τε ἀπάρθενον ἦμεν: Gen.[a]) [τὸ δὲ] ἦμεν ἀντὶ τοῦ εἶναι. [ἐκ τοῦ ἔμμεναι γίνεται ἐκβολῇ τοῦ πρώτου μ] ἔμεναι, καὶ ἀποκοπῇ τῆς αι διφθόγγου καὶ τροπῇ τοῦ ε εἰς η ἦμεν.

Vet. (Ἀντὶ γυναικός: ὅς με τὴν ἀθλίαν ἀντὶ κοσμίας γυναικὸς ἀναιδῆ καὶ οἷον μαινάδα ἐποίησεν ἀπολέσας τὴν αἰσχύνην· τοῦτο γάρ ἐστι τὸ ἀπάρθενον. ⟨ἢ⟩ ὅστις με ἀντὶ γαμετῆς γυναικὸς ἀπαρθένευτον ἐποίησε καὶ ἄκοσμον. 4. 5. P. Gen.[b])

Vs. 43.

Vet. (Ἐς τρὶς ἀποσπένδω: Gen.[b]) παρόσον τέλειός ἐστιν ἀριθμὸς ὁ τρεῖς, ἀρχὴ ὢν καὶ μέσον καὶ τέλος, καὶ ἔστι φύσει τρίγωνος. — (Μέχρι τρίτου τοῦτο ἐποίει διὰ τὸ

38) *Οἱ ἄνεμοι.* C. E. H. M. N. P. Lips.
39) *Τοῦ στήθους ἢ ἐν τῇ καρδίᾳ ἔνδον.* M.
40) *Ἐπὶ ἐκείνῳ, ἤγουν χάριν ἐκείνου.* 2. 6. H. M. P. Lips. *χάριν ἐκείνου.* Vim. — *Κατακαίομαι, φλέγομαι.* H. M. P. *φλέγομαι.* Lips. Vim. *καίομαι ὑπὸ τοῦ ἔρωτος.* C.
41) [*Γυναικός*:] *σώφρονος.* 2. *σεμνῆς, σώφρονος.* M. — *Ἄσεμνον, πόρνην.* M. *ἄτιμον.* H. *ἄγαμον.* N.
43) *Μέχρι τρίτου.* 2. H. M. Lips. *ἐκ τρίτου.* E. — *Σελήνη σεβασμία.* H. M. *σεβασμία.* Lips.

---

4) //Gen.[a] omissis ὅς με τὴν ἀθλίαν c. lemm. ἀντὶ γυναικὸς ἔθηκεν. In Lips. τὴν ἀθλίαν s. l. leguntur, reliqua in marg. 5) ἀγεννῆ] Lips., ut maluit Geelius., ἀγενῆ vulg., με ἀγενῆ Gen.[a] 6) //M. Gen.[a] Lips. sine τὸ δέ. 7) ἦμες M., εἶμες 23. — ἀπὸ τοῦ M. Lips. 7) ἔμεναι] add. Gen.[a] Lips. et ante εἶναι M., qui codices circumsepta non habent In iisdem sequentia hoc ordine, καὶ τρ. τοῦ ε εἰς η καὶ ἀπ. τῆς αι διφθ. vulgo. 11) μαίνουσαν 4. 11) ἀπολέσας] P., ἀπολέσθαι Gen.[b], ἀποτελέσας 4. 5. 12) με] P., μιν rell. — ἀντὶ om. Wart. 16) //P. Gen.[b] hoc loco; vulgo ad Vs. 18 post verba ῥόμβος . . . καλοῦσι ad Vs. 30 pertinentia, vid. p. 101. 8. 17) τρὶς pro τρεῖς P. Gen.[b] — μέσον] Gen.[b], μέσα P., μέση vulg. 17) καὶ ante ἔστι om. P. Gen.[b] 18) Hoc scholium jam H. Stephanus in Thes. s. v. ῥόμβος ex vet. cod. protulit. Adhaeret autem in codd. scholio de ῥόμβος post καλοῦσι p. 101. 8. — μέχρι τρίτου] μέχρι τριῶν 4. 5., μέτρι τριῶν Gen.[b], ἐς τρὶς δὲ cod. Steph. — ταῦτα ἐποίουν cod. Steph. — 21) ἐκείνῳ om. 2. 6. — ἐκείνου χάριν H. M. P.

τέλειον καὶ δυνατὸν ἀριθμοῦ τοῦ τρεῖς. 4. 5. P. Gen.[b.] cod. Steph.)

Rec. (*Ἐπὶ τοῦ πυρὸς οἶνον ἤ τι τοιοῦτο χέουσα τοῦτό φησιν.* *I. *M. *N. *P. *Y. Lips.)

Vs. 45. 46.

Vet. *Ὅσσον πόκα Θησέα φαντὶ ἐν Δίᾳ: Θησεὺς γὰρ ἁρπάσας τὴν Ἀριάδνην τοῦ Μίνωος καὶ ἀπάρας εἰς Δίαν* (*νῆσον* P. Gen.[b.]) *τὴν νῦν καλουμένην Νάξον, κατὰ Διονύσου βούλησιν λήθῃ τινὶ χρησάμενος ἀπέλιπεν αὐτὴν καθεύδουσαν. — Ἐν Δίᾳ: οὗ εἰκὸς συμβῆναι τὰ περὶ τὴν Ἀριάδνην, μόνη ἡ μετονομασθεῖσα Νάξος. πολλαὶ δὲ καὶ ἕτεραί εἰσι νῆσοι Δῖαι καλούμεναι, ἥ τε πρὸ τῆς Κρήτης καὶ ἡ περὶ Μῆλον καὶ ἡ περὶ Ἀμοργὸν καὶ ἡ τῆς Κέω χερρόνησος καὶ ἡ τῆς Πελοποννήσου.*

Vs. 48. 49.

Vet. *Ἱππομανὲς φυτόν ἐστι: Ἁπλούστερον ὁ Θεόκριτός φησι φυτὸν ἱππομανές· οἱ γὰρ περιττοὶ καὶ πολυπράγμονες οὔ φασι φυτὸν εἶναι, ἀλλὰ τοὺς ἀποτικτομένους πώλους ἔχειν τι* [*σαρκίον*] *φυόμενον ἐπὶ τοῦ μετώπου γλοιῶδες, ἔλαττον ἰσχάδος, ὃ καλεῖται ἱππομανές. ἀποτρώγουσι δὲ αὐτὸ καὶ ἀπολείχουσιν εὐθὺς αἱ ἵπποι. καὶ εἰ τοῦτο ποιή-*

46) *Ὄνομα νήσου ἡ Δία.* H. *νῆσος ἡ Δία* Lips. *τῇ νήσῳ δηλαδή.* C. — *Ἐπιλησθῆναι.* M. P. Lips. *ἐπιλαθέσθαι.* E. *λήθην ποιῆσαι.* C. — *Τῆς εὐπλοκάμου, ἤγουν τῆς ὡραίας Ἀριάδνης.* M.

---

1) *καὶ δυνατὸν*] Geel., *καὶ διὰ τὸν* 4. 5. P., *καὶ διὰ τῶν* Gen.[b.], om. cod. Steph. — *ἀριθμοῦ τοῦ τρεῖς*] *ἀριθμὸν τῶν τριῶν* 4.[2] 5.[2] P. Gen.[b.] (sed *ἀριθμῶν* in hoc). *ἀριθμὸν τοῦ τρίου* Wart., *τοῦ γ' ἀριθμοῦ* cod. Steph. 6) //Gen.[b.] sine *ὅσσον*. — *Θησέα*] Gen.[b.], *Θασέα* vulg. 7) *τὴν Ἀρ. τοῦ*] P. Gen.[b.], *Ἀρ. τὴν* vulg. 9) *νόσῳ* pro *λήθῃ* 2. (?) — *τινὶ* om. M. 10) //Gen.[b.] — *ἐν Δίᾳ*] *ἐν αἷς* P. Gen.[b.] Vulc., *ἐν ᾗ* vulg. 10) *οὗ*] *οὐκ* vulg. 11) *μόνη*] *μόνη* post *εἰκὸς* vulg., post *συμβῆναι* P. Gen.[b.] Vulc., unde transposui. 11) *καὶ ἡ μετ.* P. Gen.[b.] Vulc. 11) Verba *πολλαὶ ... Κρήτης* vulgo post *καθεύδουσαν* leguntur, unde trausposui. 12) *πρὸς* Gen.[b] 13) *ἄμοργον* P. et ante Xyl. 14) *τῆς Πελ.*] P. Gen.[b.] Vulc., *Πελ.* vulg. 16) //Gen.[b.] sine *ἔστι*. 16) *ἁπλούστερον ... οἱ γὰρ*] P. Gen.[b.] et fere Vulc., *ὁ μὲν Θ. φησι φυτὸν εἶναι τὸ ἱππομανές· οἱ δὲ* vulg. 18) *οὐ* om. Gen.[b.] 19) *σαρκίον* om. P. Gen.[b.] Vulc. 19) *πόλον* pro *μετώπου* P. Vulc. 19) *γλυῶδες* 5. P. Gen.[b.] Vulc. et ante Xyl. 21) *ποιήσωσι*] Duebn., *ποιήσουσι* vulg.

σωσι, φιλοστοργοῦσι τὰ ἔκγονα. εἰ δὲ μή, ἀπεχθαίρουσι καὶ οὐ προσίενται. διὰ τὸ φυσικῶς οὖν συμβάλλεσθαί τι πρὸς φιλοστοργίαν οἱ ἱπποφορβοὶ ἀφαιροῦσιν αὐτό. καὶ αἱ φαρμακίδες χρῶνται αὐτῷ πρὸς τὰ φίλτρα. φασὶ δὲ ὅτι, εἰ αἴσθοιντο τῆς ὀσμῆς αἱ ἵπποι, ἐκμαίνονται πρὸς τὸν ἔχοντα αὐτό. διὸ καὶ οὗτος μέμνηται τοῦ ἱππομανοῦς, [ὅπερ συντελεῖ πρὸς τὰ φίλτρα, ὥς φησιν Ἀριστοτέλης καὶ Θεόφραστος]. — (Ἄλλως. Ἱππομανὲς φυτόν: οὔτε φυτόν ἐστιν οὔτε ἐν Ἀρκαδίᾳ γινόμενον, ἀλλὰ τὸ ἐπιφυόμενον τοῖς πώλοις κατὰ γένεσιν ἐπὶ τοῦ μετώπου, ὅπερ συνεργεῖ πρὸς φίλτρα, ὡς Ἀριστοτέλης. Gen.[b]) — *Ἄλλως. Κρατεύας φησὶ τὸ φυτὸν ἔχειν καρπὸν ὡς σικυοῦ ἀγρίου, μελάντερον δὲ τὸ φύλλον ὥσπερ μήκωνος ἀκανθῶδες. οὐ μέντοι προστίθησιν, εἰ πρὸς φίλτρα συμβάλλεται. ἴσως φυτὸν αὐτὸ ἔφη ὁ Θεόκριτος οἱονεὶ φῦμα ἀπὸ τοῦ φύεσθαι ἐν τοῖς πώλοις, ὥς φησιν Ἀριστοτέλης. λέγει γὰρ καὶ Ἀρχίλοχος τὸ φῦμα φυτόν·*

ἐσθλὴν γὰρ ἄλλην οἶδα τοιούτου φυτοῦ
ἴησιν.

ἀντὶ τοῦ φύματος.

Rec. [*Ὁ νοῦς·*] *φυτόν ἐστι παρὰ τοῖς Ἀρκάσιν ἱππομανές. ἐπὶ τούτῳ πᾶσαι αἱ πῶλοι μαίνονται κατὰ τὰ ὄρη καὶ αἱ ταχεῖαι ἵπποι. τοῦτο ὥσπερ ἐφερμηνευτικὸν ἐπάγει τοῦ ἱππομανές. οὐ δείκνυσι δέ, τίνα μανίαν λέγει μαίνεσθαι ἐπ' αὐτῷ τὰς ἵππους καὶ τὰς πώλους. ἴσως ἕλκει αὐτὸ ταύτας ἐφ' ἑαυτὸ καὶ ἐνθουσιᾶν ποιεῖ ἐπὶ τὴν αὐτοῦ ζήτησιν ὀσφρώμενον.*

48) *Μαίνεσθαι ποιοῦν τοὺς ἵππους.* C.

50) [*Ἴδοιμι:*] *μαινόμενον δηλονότι.* Lips. — [*Περῆσαι:*] *ἐλθεῖν, τουτέστιν εἴθε ἔλθοι.* E.

---

2) *προσίονται* Gen.[b] 2) *τι*] add. 5. P. Cap. Gen.[b] Vulc. 5) *ἔχοντα αὐτὰς* Gen.[b] 6) *οὗτός φησιν ἱππομανὲς* Gen.[b], ubi desunt *ὅπερ* .... *Θεόφρ.* 9) *Ἀρκαδίᾳ*] Adert., *ἄρκαδι* cod. 11) // Gen.[b] 12) *σικυοῦ*] ante Heins., *σικύου* vulg., *συκοῦ* Vulc., *συκῆς* 5. Gen.[b] 14) *συμβάλλεται*] Duebnerus, *συμμάχεται* Gen.[b] Vulc., *συμβάλλεται ἢ συμμάχεται* vulg. 14) Ante *ἴσως* in Gen.[b] est lemma *καὶ πῶλοι μαίνονται.* 16) *Archil. fr.* 41. 18) *ἴησιν*] Bergkius, *ἴασιν* Steph. in Thes. IV, 1273 et Toupius, *εἴκασιν* vulg. 20) // Gen.[a] Lips. — *φυτόν ... Ἀρκάσιν* om. Gen.[a] 22) *τὸ ἱππ.* Lips. 24) *τοὺς ἵππους* Lips. 25) *ἐφ' αὐτὸ καὶ ἐνθυσιᾶν* Gen.[a] 25) *ζήτ. ὀσφρ.* om. Gen.[a]

Vs. 51. 52.

Vet. (Ὡς καὶ Δέλφιν ἴδοιμι: ἀπὸ κοινοῦ τὸ μαινόμενον, ὡς καὶ ἵπποι μαίνονται ἔχοντός τινος τὸ ἱππομανές. Gen.[b.])

Rec. Ὡς καὶ Δέλφιν: οὕτω καὶ τὸν Δέλφιν ἴδοιμι, μαινόμενον δηλονότι, καὶ εἰς τόδε τὸ οἴκημα εἴθε ἔλθοι ἐκ τῆς λιπαρᾶς παλαίστρας (μαινομένῳ ὅμοιος. E. Y. Gen.[a.] Lips.) λιπαρὰν δὲ λέγει τὴν παλαίστραν, ἐπεὶ οἱ παλαίοντες ἐλαίῳ πρότερον ἠλείφοντο, εἶτα ἐπάλαιον. — (Ἴδοιμι γοῦν τὸν Δέλφιν ἐκ τῆς παλαίστρας ἐρχόμενον εἰς τὸ ἐμὸν δῶμα μαινομένῳ ἴκελον. ἐπαμφοτερίζον τὸ ἴκελος καὶ δίφθογγον γράφεται καὶ ι, ὡς ἔστιν εὑρεῖν ἐν τοῖς μέτροις. ἔστι δὲ ποιητικόν. 2. 6. — Λιπαράν φησι τὴν παλαίστραν διὰ τὸ ἔλαιον. ἠλείφοντο γὰρ οἱ εἰσιόντες ἐλαίῳ, γυμνοὶ παλαίοντες, διὰ τὸ γλίσχρον. 6.)

Vs. 53. 54.

Rec. Τοῦτ' ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον: τοῦτο τὸ μέρος τοῦ ἄκρου τῆς, ἑαυτοῦ δηλονότι, χλαίνης ἀπέβαλεν, ὃ ἐγὼ νῦν ξαίνουσα καταβάλλω ἐν τῷ πυρὶ τῷ ἀγρίῳ, ἤγουν τῷ δραστηρίῳ [ὅπερ καὶ ἄκοντα ἐλθεῖν ἀναγκάσει]. — Κράσπεδον τὸ ἄκρον τοῦ κάτω μέρους τοῦ ἐνδύματος· ἐνταῦθα δὲ κράσπεδον λέγει ἀντὶ τοῦ μέρος τοῦ κρασπέδου.

Vet. (Τοῦτ' ἀπὸ τᾶς χλαίνας: τοῦτο, φησί, παραδιδοῦσα πυρὶ καὶ ἄκοντα διὰ τὰς μαγγανείας ἐλθεῖν ἀναγκά-

51) [Λιπαρᾶς:] διὰ τὸ ἐλαίῳ ἀλείφεσθαι τοὺς παλαίοντας. M.
53) Τὸ ἄκρον τοῦ χιτῶνος. C. τὸ μέρος τοῦ κρασπέδου. E. H.
54) [Ὡγώ:] ἀφ' οὗ ἢ ὃ ἐγώ. M. — Κόπτουσα, ξαίνουσα. M.

---

5) Gen.[a.] omissis verbis ante τὸ οἴκημα, Lips. s. l. οὕτως — εἴθε — μαιν. δηλ., sequentia in marg. 8) δὲ om. Gen.[a.] — τὴν] add. Lips. 11) ἴκελον et ἴκελος] Wart., ἴκελ. Gaisf. — ἐπαμφοτερίζεται codd. 11) καὶ δίφθογγον γράφεται καὶ ι] καὶ θίφθογγος γεράφεται ι Wart., καὶ δίφθογγος γράφεται ι Kiessl., καὶ γράφεται ι 2.[2], καὶ γράφεται διφον sequentibus omissis 6.[2] 17) //Gen.[a.] post sequens scholium omissis verbis ante ὃ ἐγώ; *Lips. τῆς ἑαυτοῦ — ἀπέβαλεν — οὑγὼ ὃ ἐγὼ — ξαίνουσα seqq. 18) ἀπέβαλεν] Lips., ἀπέβαλλεν vulg. 19) Ante ξαίνουσα in Gen.[a.] lemma κατ' ἀγρίω ἐν πυρὶ βάλλω insertum. 20) Circumsepta om. Gen.[a.] Lips., quae ex SchVet. manarunt. 21) //Gen.[a.] Lips. 22) μέρος] Lips., μέρους vulg. 24) ἀναγκάσω] Adert., ἀναγκάζω cod.

σω. Gen.[b.] — *Ὠ'γὼ νῦν τίλλοισα*: ἤγουν ἀφ' οὗ ἐγὼ ἢ ὃ ἐγὼ κατατίλλουσα. τὸ ο καὶ ε εἰς ω μέγα κιρνᾶται. Gen.[b.])

Vs. 55. 56.

Rec. *Αἲ αἴ. ἔρως ἀνιηρέ*: φεῦ φεῦ ὦ ἔρως ἀλγεινέ, διὰ τί μου τὸ μέλαν αἷμα πᾶν (ἐκ τοῦ σώματος I. Y. Gen.[a.] Lips.) ἐκπέπωκας ἐμφύς μοι, ἤγουν κατασχών με, ὡς βδέλλα λιμνῆτις; — (*Βδέλλα* ἀπὸ τοῦ βδέλλω καὶ βδάλλω Ἀττικῶς τὸ μυζῶ. Vat.)

Vet. (*Αἴ, αἴ ἔρως*: δακνομένη ὑπὸ τοῦ ἔρωτος ἀπέστρεψε τὸν λόγον πρὸς αὐτόν. Gen.[b.] *ἀνιηρὲ* δὲ ἀντὶ τοῦ ἀνιαροποιέ. P. Gen.[b.]) — (*Ὡς λιμνῆτις ἅπαν ἐκ βδέλλα*: ὡς λιμναία βδέλλα παρὰ τὸ βδάλλειν καὶ οἷον ἐξαμέλγειν τὸ αἷμα. τὸ γὰρ ἀμέλγειν Ἀττικοὶ βδάλλειν λέγουσι. — Ἄλλως. Ἐκ Gen.[b.]) *βδέλλα*: αἱ βδέλλαι καὶ ἐν λίμναις γίνονται καὶ ἐν ποταμοῖς, προσαγόμεναι δὲ τῇ σαρκὶ τὸ αἷμα ἐκθηλάζουσι. εἴρηται δὲ βδέλλα παρὰ τὸ βδάλλειν, ὅ ἐστιν ἀμέλγειν [τὸ αἷμα. τὸ γὰρ ἀμέλγειν Ἀττικοὶ βδάλλειν λέγουσι]. Νίκανδρος·

ἠὲ σύγε βδήλαιο νέον γλάγος.

56) Ἐμπλακεὶς ἐμοί. M. — Ἐν λίμνῃ γεγονυῖα. M. — *Βδέλλα* ἀπὸ τοῦ βδάλλω τὸ ἀμέλγω, ἐξ οὗ καὶ νεόβδαλτον γάλα τὸ νεωστὶ ἀμελχθέν. M.

---

1) ἢ] Duebnerus secundum GIM., ἤγουν cod. 2) ο καὶ ε] ὁ καὶ ε cod., ὃ καὶ τὸ ἕ tac. Adertus. 4) //Gen.[a.] sine lemm., Lips. sine αἴ αἴ. 4) φεῦ φεῦ] P. et ante Heins., φεῦ vulg., om. Gen.[a.] Lips. 5) ἐκ τοῦ σ. post ἐκπεπ. Gen.[a.] 6) μοι] Gen.[a.] Lips. et Reisk. seqq., με vulg. 6) ἤγουν κατασχὼν ἐμὲ Lips. s. l. (με mg.) 8) μυζῶ] μυζω Wart., μύζω Kiessl. Gaisfordus hoc scholium omisit. 10) ἀνιηρὲς Gen.[b.] — δὲ om. P. 12) τὸ βδάλλειν] τὸ βάλλειν cod. 13) Ἀττικοὶ βδάλλειν] ἀττικὸν βδέλλειν cod., cf. l. 16. 14) //Gen[b.] sine αἴ. 14) βδ. καὶ] 5. Gen.[b.], καὶ om. vulg. 14) γίνονται] Gen.[b.], γίγνονται vulg. 15) τῇ σαρκὶ] add. 5. P. Gen.[b.] 16) βδέλλειν 5. P. Gen.[b.] 16) ἀμέλγειν] Gen.[b.], ἀμελγεῖν 5. P., ἐξαμέλγειν vulg. 17) Circumsepta om. 5. P. Gen.[b] probante Gaisfordo. Quae ex altero scholio l. 13. petita sunt. 19) *Nicand. Al.* 262. — ἠὲ σύγε βδήλαιο νέον] Heinsius Lectt. p. 310 ex Nicandro, ἢ σύ γε βδέλλα ἑὸν 5. P. Gen.[b.] (sed hic ἑόν), καὶ συνέβδελμαι ἑὸν vulg.

Vs. 58.

Rec. *Σαῦράν τοι τρίψασα*: τὴν κοινῶς λεγομένην χλωροσαύραν.

Vet. (*Σαῦραν τοι τρίψασα*: Gen.[b.]) διαλγοῦσα [γὰρ] καὶ θυμουμένη τὸ διὰ τῆς σαύρας ποτὸν ὑπισχνεῖται αὐτῷ αὔριον δώσειν. ἔστι δὲ αὕτη δύσκερκος. ἀποκτανθεῖσα δὲ καὶ ξηρανθεῖσα καὶ τριβεῖσα σὺν ἀλφίτῳ ἐν ποτῷ δίδοται· μεμύθευται γάρ, ὡς καὶ τοῦτο τῶν φίλτρων ἐστὶν ἕν.

Vs. 59—62.

Vet. (*Νῦν δὲ λαβοῖσα*: καὶ νῦν λαβοῦσα ταῦτα τὰ φάρμακα ζημιώσοντα κρύψον ὑπὸ τὴν αὐτοῦ φλιάν, καὶ λέγε ἐπαναδιπλοῦσα ⟨τὰ⟩ περὶ τῶν Δέλφιδος ὀστέων. P. Gen.[b]) — *Τὰ θρόνα*: θρόνα Θεσσαλοὶ μὲν τὰ πεποικιλμένα ζῷα· Κύπριοι δὲ τὰ ἀνθινὰ ἱμάτια· Αἰτωλοὶ δὲ τὰ φάρμακα, ὥς φησι Κλείταρχος· Ὅμηρος δὲ τὰ ῥόδα παρὰ τὸ ἄνω θορεῖν ἐκ τῆς γῆς. — (*Θρόνα* τὰ θραύοντα τὸν νοῦν ἢ τὰ θροῦν ποιοῦντα ἐν τῷ νοΐ. 5. P. Καθυπέρτερον τῆς

58) [*Τοι*:] περισσόν. E. M. — [*Κακόν*:] δηλητήριον. M. — Κομίσομαι ἐκείνῳ. H. M. P. φέρουσα δώσω αὐτῷ. H. M. N. P. Lips.

59) [*Θρόνα*:] τὰ φάρμακα. C. H. M. P. Lips. ἢ ζῷα ἢ ἀνθινὰ ἱμάτια ἢ ῥόδα ἢ φάρμακα. E. — Ὑπόχρισον. Lips. θάψον, ὑπόχρισον. H. M. P. χρῖσον. E. ἄλειψον. C.

60) Τῆς ἐκείνου φλιᾶς ἐν τῷ ἄνω μέρει. 1. 6. H. P. Lips. φλιᾶς ὕπερ. 6. — [*Καθυπέρτερον*:] ὑπεράνω. C. E. M. N.

61) Ἐκ θυμοῦ, ἐκ ψυχῆς. M.

62) Κρυφίως λέγουσα. M. ψιθυρίζουσα. C.

---

2) //*Lips. sine λεγομένην, item *1. *6. 3) χλωροσαύραν] Lips., —σαῦραν vulg. 4) /.Gen.[b.] — διαλέγουσα P. Gen.[b.] — γὰρ om. P. Gen.[b.] 5) θυμουμένη] Geel., ἐνθυμ. vulg. 5) παῦρας Gen.[b.] — αὐτῷ ποτον αὔριον ὑπισχνεῖται. ἔστι δὲ P. Gen.[b.] 6) δύσκερκος] δύσκερνος 5. P. Gen.[b.], δυσχερὲς ante Heins., δυσχερής vulg. 6) ἀποκτ. δὲ] 5. P., ὑποκτ. δὲ Gen.[b.], ἥτις ἀποκτ. vulg. 7) τριβεῖσα] 5. P. Gen.[b.], συντρ. vulg. — ἐν ποτῷ] add. 5. P. Gen.[b.] 8) γὰρ] 5. P. Gen.[b.], γοῦν vulg. 8) ὡς om. Gen.[b.] 11) ζημιώσοντα] ζήμωσον καὶ codd. 11) αὐτοῦ] Duebnerus, αὐτὴν codd. 11) εἰλοιὰν Gen.[b.] 12) ἐφαπλοῦσα et ἀχέων codd. 13) //Gen.[b] 14) ἀνθεινὰ 5. P. Gen.[b.] 14) τὰ φάρμ.] Gen.[b.], τὰ om. vulg. 15) καὶ Ὅμ. δὲ τὰ ῥόδια Gen.[b.] 16) ὁρᾶν pro θορεῖν P.[3.] 17) τὸν θροῦν P. 17) Ante καθυπ. in 5. P. leguntur καθὸ πρότερον. — 19) ἄξουσα pro φέρουσα N. 24) φλοιᾶς 1. et 6. in priore glossa. — τὰ ἄνω μέρη sine ἐν P.

παστάδος κρύψον τὰ φάρμακα. 5. P. Gen.[b]) — Τὸ φλιᾶς γράφεται καὶ φιλίας, τουτέστιν ἃ πρὸς φιλίαν (ἡμῖν καὶ ἄκοντα τὸν Δέλφιν ἑλκύσει. Ἄς ἔτι καὶ νῦν: ἕως ἔτι ἐνδέχεται καταδεθῆναι αὐτόν. 5. P. Gen.[b]) — (Ἐπιφθύζειν ἀντὶ τοῦ ἐπιπτύειν γοητευτικῶς. Eustath. 1392, 42.)

Rec. (Θρόνα: τὰ φάρμακα, τουτέστι τὰ φίλτρα. 2. 6. M.) — Ἄς ἔτι καὶ νῦν ἐκ θυμῶ δέδεμαι: ἐκδέδεμαι, ἤγουν ἐκκρεμὴς εἰμι τῷ θυμῷ, τουτέστι τῇ ψυχῇ· αὐτὸς δὲ οὐδεμίαν φροντίδα ποιεῖταί μου. — Ἐπιφθύζουσα: ἐπιψιθυρίζουσα, (ἤγουν Lips.) ἡσύχως ἐπᾴδουσα. — (Ἀντὶ τοῦ μετὰ ψιθυρισμοῦ ἐπιπτύουσα. 6.)

Vs. 64.

Rec. (Ἀπελθούσης τῆς Θεστύλιδος μεμόνωτο ἡ Σιμαίθα, καὶ διηγεῖται, ἐξ ἧς αἰτίας τῷ ἔρωτι τοῦ Δέλφιδος προσπεπτώκει. 6.)

Vs. 65.

Vet. (Τίς μοι κακὸν ἄραγε: ὡς πολλῶν ὄντων τῶν περὶ αὐτὴν κακῶν. Gen.[b])

Rec. Τίς μοι κακὸν ἄγαγε τοῦτο: ἤγουν προυξένησεν.

Vs. 66—68.

Vet. Ἦνθ' ἁ τὠϋβούλοιο καναφόρος: ἄρχεται διηγεῖσθαι, ὅπως ἐνέπεσεν εἰς τὸν ἔρωτα, φησὶ δὲ οὕτως· ἦλθεν ἡ τοῦ Εὐβούλου θυγάτηρ Ἀναξὼ κανηφοροῦσα τῇ

64) Μεμονωμένη. H. — Ἐκ τίνος ἀρχῆς. 2. ἐκ ποίας ἀφορμῆς. E. — Δακρύσω, θρηνήσω. M. N. P. Lips.

65) Ἀπὸ ποίας αἰτίας. H. ἀφ' ἧς αἰτίας. C.

---

1) //5. P. Gen.[b] In 5. scholium fere ut in P. legi traditur. — τὸ φλιᾶς] ante Scult., φλιᾶς vulg., om. Gen.[b], ubi etiam καὶ deest. 2) τουτέστιν ἃ] 5. P. Gen.[b], τουτέστι vulg. 3) ἃς ἔτι καὶ νῦν om. P. et fort. 5. 4) καταδεχθῆναι 5. 7) //Lips., ubi verba post ψυχῇ s. l. 7) ἐκδέδεμαι, ἤγουν] Lips., ἤγ. ἐκδ. vulg. 8) τῷ θυμῷ] add. 1. Lips. 8) ὁ δὲ pro αὐτὸς δὲ Lips. 9) //*Lips. — φθύουσα ante ἐπιψ. 2., quod Geelius ex πτύουσα corruptum judicat. 14) διηγεῖτο Wart. 17) H. sch. potius ad ἐκ τίνος ἀρξ. pertinere indicavit Adertus. 19) //*Lips. προυξένησε. 22) //Gen.[b] c. lemm. ἦνθ' ἁστ' οὐβουλοιο. 23) ἐξέπεσεν 5. Gen.[b]

Ἀρτέμιδι καὶ πομπὴν ἐπαγομένη τῇ θεῷ, (αὐτὴ δὲ παρακληθεῖσα ὑπὸ φίλης ἐπὶ τὴν θέαν τῆς πομπῆς ἦλθεν, φησί, καὶ ἰδοῦσα τὸν Δέλφιν ἠράσθη αὐτοῦ. 5. Gen.[b.]) *εἰώθασι γὰρ τῇ Ἀρτέμιδι κανηφορεῖν αἱ μέλλουσαι γαμεῖσθαι ἐπὶ ἀφοσιώσει τῆς παρθενίας, ἵνα μὴ νεμεσηθῶσιν ὑπ' αὐτῆς. Ἄλλως. Ταῦτα τὰ μυστήρια Ἀθήνησι πολιτεύεται. ἐκανηφόρουν δὲ τῇ Ἀρτέμιδι αἱ ὥραν ἔχουσαι γάμου ὥσπερ ἀπολογούμεναι περὶ τῆς παρθενίας τῇ θεῷ, ἵνα μὴ ὀργισθῇ αὐταῖς μελλούσαις τολοιπὸν φθείρεσθαι. καὶ παρὰ Μενάνδρῳ αἱ κυΐσκουσαι ἐπικαλεῖσθαι τὴν Ἄρτεμιν ἀξιοῦσι συγγνωμονῆσαι, ὅτι διεκορήθησαν.* — (*Τῇ δὴ πόκα πολλὰ μὲν ἄλλα: ἐν τῇ πομπῇ, φησίν, ἄλλα τε θηρία ἐπόμπευσε καὶ λέαινα.* Gen.[b.]) *Rec.* [*Ἄλλως. Ὁ νοῦς·*] *Ἠνθ' ἁ τῶ ὑβούλοιο: ἦλθεν ἡ Ἀναξὼ ἡ τοῦ Εὐβούλου ἡμῖν, θυγάτηρ δηλονότι, ἡ κανηφόρος εἰς τὸ ἄλσος τῆς Ἀρτέμιδος, ἤγουν εἰς τὸ τέμενος τῆς Ἀρτέμιδος,* (*τουτέστιν* E.) *εἰς τὸν ἀνατεθειμένον αὐτῇ τόπον. ἄλσος δὲ λέγει αὐτὸν ὡς δενδρώδη ὄντα.* — *Τᾷ δὴ πόκα: ταύτῃ δή, τῇ Ἀναξοῖ δηλονότι, πολλὰ μὲν καὶ ἄλλα θηρία συνεπόμπευε περισταδόν, ἤγουν κατὰ κυκλικὴν στάσιν, κύκλωθεν — ἐξωγραφημένα δὲ ταῦτα, ὡς ἔοικεν, ἐπομπεύετο — ἐν αὐτοῖς δὲ καὶ λέαινα ἐπόμπευε.* — (*Πομπεύεσκε: παρέπεμπεν, ὠψίκευε περιιστώμενα. οὕτω καὶ ἀποσταδὸν βλέπει ἀντὶ τοῦ ἀφιστάμενος.* 6.)

66) *Κανισκοφόρος.* M. *κανηκομίζουσα.* H.
67) [*Ἀρτέμιδος:*] *τὸ ἱερόν.* M. — [*Πόκα:*] *τότε.* 6.
68) *Ἠκολούθει.* M. — *Κυκλοτερῶς.* 1. *κύκλῳ αὐτῆς ὄντα.* M. *κύκλῳ* M. — [*Ἐν δέ:*] *σὺν τούτοις.* M. *σὺν αὐτοῖς καὶ λέαινα.* 2.

---

1) *ἐπαγομένη*] 5. Gen.[b.] Vulc., *ἀγομένη* vulg. 1) *αὐτὴ*] *αὕτη* codd. 3) *εἰώθεισαν δὲ καὶ τῇ* Gen.[b.], *καὶ* ante *τῇ* etiam Vat. 5) *ἵνα* om. Gen.[b.] 5) *Ἄλλως . . . πολιτεύεται*] 5. Can. Gen.[b.] Vulc. (sed *ἐν Ἀθ.* Gen.[b.]), *τὰ δὲ μυστ. ταῦτα Ἀθ. πολιτεύονται* vulg. 9) *λοιπὸν* pro *τολ.* Gen.[b.] 9) *Menand. fr.* 488. — *αἱ κυΐσκ.* seqq. vulgo inde a Call. tanquam ipsa poëtae verba edita sunt; verum vidit Meinekius. 10) *ἐπικαλεῖσθαι*] 5.[1.] Can. Gen.[b.] Vulc., *ἐπικαλεῖσθε* vulg. 10) *ἀξιοῦσι*] *ἀξιοῦσαι* Can. Gen.[b.] Vulc., *ἀξιοῦσθαι* vulg. 10) *συγγνωμονῆσαι*] *συγγνώμης* vulg. 11) *διεκορήθησαν*] Can. Vulc., *διεκορήθησε* Gen.[b.], *διεκορήθητε* vulg. 11) *Τᾷ* et *τόκα* Adertus tac. 13) // Gen.[a.] Lips. inde ab *ἦλθεν.* 14) *ἡμῶν* Y. Gen.[a.] Lips. 14) *ἡ* ante *καν.* om. Gen.[a.] Lips. 15) *τέλος* 2. 16) *ἀνατιθέμενον* Gen.[a.] 18) // Gen.[a.] Lips. — *τῇ* pro *τᾷ* Gen.[a.] 19) *περιστ. ἤγ.* om. P. 20) *κύκλωθεν*] P. Gen.[a.] Lips. et vulg., *κύκλοθεν* Kiessl. auctore Toupio. 20) *ταῦτα* om. Lips. 21) *ἐπομπεύετο* bis M. — Sequitur in Gen.[a.] *Suidae* glossa *Κανηφόροι* cum lect. *Φιλόχαρφός φησι.* — 27) *αὐτοῖς*] *αὐτῇ* cod.

Vs. 69.

Vet. (Φράξεο μευ τὸν ἔρωθ' ὅθεν: πρὸς τὴν Σελήνην καὶ τὴν Ἑκάτην φησί. ταύτας γὰρ συνεργοὺς εἰς τὴν περὶ ⟨τοῦ⟩ ἐρωμένου φαρμακείαν παραλαμβάνει. τὴν δὲ τῶν Φαρμακευτριῶν ὑπόθεσιν ἐκ τῶν Σώφρονος Μίμων μεταφέρει. Gen.[b.])

Vs. 70—73.

Rec. Καί μ' ἁ Θευχαρίλα: καί με ἡ τροφὸς τοῦ Θεοχαρίλου ἡ ἀπὸ τῆς Θρᾴκης ἡ μακαρῖτις — ἐτελεύτησε γὰρ τὸν βίον δηλονότι — ἀγχίθυρος — ἐπιρρηματικῶς ἀντὶ τοῦ πλησίον — [ναίοισα καὶ] οἰκοῦσα κατεύξατο, τουτέστιν ὅρκους μοι ἐπέθηκε, πρὸς θεῶν λέγουσα καὶ τοιαῦτά τινα, καὶ ἱκέτευσεν ὥστε ἀπελθεῖν με θεάσασθαι τὴν πομπήν.

Vet. (Ἡ μακαρῖτις: ὡς μεταλλαχυίας τὸν βίον ἤδη. Κατεύξατο: σημαίνει δὲ τὸ ὥρκωσε. φησὶ δὲ ὅτι προετράπην ὑπὸ τῆς τροφοῦ εἰς θέαν ἐλθεῖν τῆς πομπῆς, καὶ οὕτω συμβέβηκεν ἰδεῖν με τὸν Δέλφιν. Gen.[b.]) — Ἐγὼ δέ οἱ ἁ μεγάλοιτος: ἐγὼ δὲ αὐτῇ ἡ μεγάλως δυστυχὴς ἠκολούθουν. οἶτος γὰρ οὐ μόνον ὁ ὄλεθρος καὶ θάνατος, ἀλλὰ καὶ πᾶν τὸ δεινόν, (ἐν ᾧ ⟨οἶ⟩ ᾄδεται. Gen.[b.] Vulc. μεγάλοιτος

69) Λέγε μοι, μάνθανέ μοι. E. M. μάνθανε. Lips. — Ἀπὸ τίνος αἰτίας. E. H. M. P. Lips. — Σεβασμία. H. M. P. Lips.

70) Ἡ Θεοχαρίλου τροφὸς ἡ ἀπὸ τῆς Θρᾴκης. Harl.

71) Πλησίον ἐμοῦ. M. — Ἱκέτευσε, παρεκάλεσε. H.

72) Ἡ καταπολὺ οἰκτρά. 1. 2. E. H. M. N. P. Lips. Phav.

73) Ἠκολούθουν. Lips. ὡμάρτευσα κατὰ ἀποκοπήν, ἤγουν ἠκολούθησα. E. N. — Κοκκίνου. M. — Ἕλκουσα. M. ἐπιφέρουσα. E. φοροῦσα. H.

---

4) περὶ] Duebn., παρὰ cod., κατὰ Piccolos. 5) Φαρμακευτριῶν] Duebnerus, φαρμάκων cod., φαρμακειῶν Adert. 5) Σώφρονος] Adert., Εὐφορίωνος cod. 8) //Gen.[a.] Lips. — Θευχαρίδα Gen.[a.] 11) ναίοισα] ante Xyl., ναίουσα vulg., ναίοισα καὶ om. Gen.[a.] Lips., in quibus οἰκοῦσα post ἀγχ. 12) θεὸν Gen.[a.] 13) με om. Gen.[a.] Lips. — Post h. sch. in Gen.[a.] *Suidae* glossa Βυσσὸν c. lect. βύσσον βαρυτόνως pro βαρ. δὲ σημαίνει et ὁ βυθός. 15) προετράπην] Adert., προετράπη cod. 17) //Gen.[b.] omissis ἐγὼ δέ οἱ — ἐγὼ δὲ αὐτῇ — ἠκολούθουν. Phav. scholium hoc ordine habet: ἁ μεγάλοιτος: ἡ μεγάλως ἀθλία καὶ δυστυχής. οἶτος γὰρ...δεινόν. 19) ὄλεθρος καὶ om. Gen.[b.] Phav. 20) πᾶν τὸ δεινὸν] Phav., τὸ δεινὸν Gen.[b.] Vulc., πᾶν δεινὸν vulg., ἐν om. Vulc. 20) οἶ] add. Duebnerus collato Oro EtM. 619, 27. — 21) ἐκ pro ἀπὸ E., ποίας pro τίνος E. H. P.

οὖν ἡ μεγάλως ἀθλία καὶ δυστυχής. Gen.[b]) τοῦτο δὲ λέγει, ὅτι ἐπείσθην προελθεῖν ἐπὶ τὴν θέαν.

Vs. 74.

Rec. Ξυστίδα: ξυστὶς γυναικεῖόν τι ἔνδυμα πεποικιλμένον. (ἦν δὲ καὶ ἀνδρῶν. Ἀριστοφάνης·

ἅρμ' ἐλαύνεις ἐπὶ πόλιν ξυστίδ' ἔχων.

6.) — (Ξύστις Ἀττικῶς, ξυστὶς δὲ κοινῶς. Gen.[a])

Vet. (Καὶ ἀμφιστειλαμένη: περιστειλαμένη, ἀντὶ τοῦ ἀναλαβομένη, ὅ ἐστι ζωσαμένη. Gen.[b]) — [Ἄλλως.] (Ξυστίδα τινὲς Gen.[b]) περιβόλαιον λεπτόν, ᾧ χρῶνται καὶ οἱ ἁρματηλάται. εἴρηται δὲ ἀπὸ τοῦ τὸν χνοῦν ξύεσθαι, ἢ ὡς ἕτεροι ἀπὸ τοῦ ξύειν τὸν χρῶτα.

Vs. 76—80.

Rec. Ἤδη δ' εὖσα, ἤγουν οὖσα — τὸ γὰρ εὖσα ἀπὸ τοῦ ἐοῦσα γίνεται — κατὰ τὸ μέσον τῆς ὁδοῦ τῆς πλατείας ἐκεῖ ὅπου εἰσὶ τὰ οἰκήματα τοῦ Λύκωνος, εἶδον τὸν Δέλφιν καὶ τὸν Εὐδάμιππον ὁμοῦ πορευομένους. τούτοις δὲ ἦν γενειὰς

74) Περιστειλαμένη. 4. C. μεταστειλαμένη. 1. 2. P. Lips. στολισαμένη. E. H. N. ζωσαμένη. 5. E. H. N. περιβαλοῦσα. M. — Ὀξὺ ἱμάτιον. 4. τὸ λεπτὸν ἱμάτιον. M. εἶδος ἱματίου λεπτοῦ. H. — [Τὰν Κλεαρίστας:] τῆς Κλεαρίστας· ἐκ ταύτης γὰρ ἐδανεισάμην. M. τῆς. Lips. [Κλεαρίσταν:] τὴν ἔχουσαν κλέος ἄριστον. E.

1) τοῦτό φησιν Gen.[b] 2) ἐπείσθην] Gen.[b], ἐπείσθη vulg. 2) προσελθεῖν Gen.[b] et vulg. ante Reisk. — ἐπὶ om. Gen.[b] 4) //Lips., ubi γυν. τι ἐνδ. ἐστιν ἡ ξυστὶς πεπ. Ceterum scholia ad h. v. ante Scult. legebantur post primum scholium ad Vs. 76—80. 6) *Aristoph. Nub.* 69, unde haec minus accurate. — ἅρμ'] Amst. ex Aristoph., μ' cod. 7) Sequuntur in Gen.[a] excerpta ex Suidae glossis Ξυστίς: χιτὼν ποδήρης γυναικεῖος· οἱ δὲ καὶ τραγικὸν ἔνδυμα· οἱ δὲ κροκωτὸν ἱμάτιον, ὃ οἱ ἡνίοχοι φέρουσι. Tum ex Plin. H. N. XIX, 4 „Byssinum mulierum maximis deliciis circa seculum primum in Achaïa genitum quaternis denariis scripula ejus permutata quondam ut auxi.“ Postremo „53. Suydas. βύσσον τῆς πορφύρας φησίν, καὶ βύσσινον πόρφυρε λέγει. melius est quod sit linum subtilissimum.“ 9) ἀναλαβομένη] Adert., ἀναλαμβανομένη cod. 9) //Gen.[b] omissis ᾧ χρῶνται .... δέ. 11) χνοῦν] Duebnerus, χοῦν vulg. 14) //Lips. prima (omissis ἤδη ... οὖσα) usque ad πλατείας in marg. habet, tum s. l. ἐκεῖ ὅπου εἰσὶ — οἰκήματα — ὁμοῦ ... ἑλιχρύσου — λάμποντα — κατὰ — στῆθος, sed praeterea in marg. τούτου ... ἑλιχρύσου. In Gen.[a] sola prima ante κατὰ τὸ leguntur, sed omissis ἤγουν οὖσα. — ἤδη δ' εὖσα] Gen.[a] et ante Ox., ubi ΕΥ.., tum ΕΥΣΑ Reisk. seqq. 14) ἀπὸ τοῦ ἐοῦσα γίνεται τὸ εὖσα P. Gen.[a] Lips. sed ἰοῦσα et οὖσα P. 16) ὅπου τὰ οἰκ. ὑπῆρχον τοῦ Λ. E. 17) τούτου δὲ Lips. mg. — μὲν om. *Lips.

μὲν ξανθοτέρα ἑλιχρύσου, στήθη δὲ λάμποντα κατὰ πολὺ πλέον ἢ τὸ τῆς Σελήνης, στῆθος δηλονότι ἢ τὸ φῶς. — Ὡς ἀπὸ γυμνασίοιο: καθὰ ἀπὸ τῆς παλαίστρας ἐξελθοῦσιν, αὐτίκα τότε καλὸν πόνον λιποῦσι, τουτέστι τοὺς γενναίους ἀγῶνας τῆς πάλης λιποῦσιν. — (Στίλβοντα: ὡς ἀπὸ τῆς λιπαρᾶς παλαίστρας ἔστιλβον. τὸ ἑξῆς „ἀπολιπόντων τὸν καλὸν πόνον τοῦ γυμνασίου." καλὸν πόνον, τὸν καλλύνοντα. ἰσχὺν γὰρ περιποιεῖ καὶ εὐεξίαν τὸ γυμνάσιον. τὸ δὲ τοῖς ἀντὶ τοῦ ὤν, ἵνα καὶ τὸ ἑξῆς ᾖ ἀκόλουθον τὸ λιπόντων. 6.)

Vet. (*Ἤδη δ' εὖσα: ἤδη δὲ οὖσα κατὰ μέσον τῆς ὁδοῦ, ᾗ καὶ ὅπου τὰ Λύκωνος — γράφεται εἰς τὰ Λύκωνος — προσληπτέον δὲ τὰ οἰκήματα.* 4. 5. P. Gen.[b]) — (*Ὡς ἀπὸ γυμνάσοιο καλόν: ὑγιεινὸν γάρ ἐστιν ἡ παλαίστρα. πόνον δὲ νῦν τὴν ἐν τῇ παλαίστρᾳ γυμνασίαν.* *P. Gen.[b])

Vs. 82—85.

Rec. (*Καὶ οὕτως ὡς εἶδον, ἤγουν αὐτίκα ὡς εἶδον.* *M. *P. *Y. Gen.[a] *Lips. *ἐπίτασιν ἔχει τὸ ὡς ἐν τούτοις.* *1. E. I. M. P. Y. Gen.[a] *Lips. *Περὶ θυμὸς ἰάφθη: περισσῶς πάνυ ἔπαθεν ἡ ψυχή μου τῆς ἀθλίας.* E. I. M. N. Y. Gen.[a] Lips.) — (*Ἰάφθη: ἀντὶ τοῦ ἐτρώθη ἀπὸ τοῦ ἰάπτω· τοῦτο δέ ἐστιν ἀπὸ τοῦ ἰοῖς βάλλειν.* 6. Gen.[a]) — *Καὶ οὐκέτι πομπᾶς: καὶ οὐδαμῶς οὔτε τῆς πομπῆς*

76) *Κατὰ τὸ μέσον τῆς πλατείας ὁδοῦ, ὅπου εἰσὶ τὰ οἰκήματα.* 1. *κατὰ μέσην τὴν ὁδόν.* E. H. *διὰ μέσης τῆς ὁδοῦ τῆς χωρούσης ἅμαξαν, ἢ καὶ λεωφόρος.* C. — *Τετριμμένην ὁδόν.* 5.

78) [*Τοῖς*:] *τούτων.* C. E. — [*Ἑλιχρύσοιο*:] *κοκκίνου.* M.

79) [*Τὺ Σελάνα*:] *σὺ ὦ Σελήνη.* E.

80) *Καλοὺς ἀγῶνας.* E.

---

2) *τὸ στῆθος τῆς Σελ.* vulg. 2) //Gen.[a] Lips., ille c. lemm. *ὡς ἀπὸ γυμνάσοιο καλὸν πόνον.* 3) *ἐξιοῦσιν* E. 6) *τὸ ἑξῆς ἀπολ.*] *τοῖς ἦν λιπόντων* cod. (*τοῖς . . . γυμνασίου* om. Wart.) 11) Initium scholii ex solo Gen.[b] comparet. Ex 4.[1] 5.[1] *μέσον* seqq. afferuntur tanquam post *γίνεται* p. 113. 15. in SchRec. lecta, ex 4.[2] 5.[2] *τῆς ὁδοῦ* seqq. tanquam post *μέσον* ibidem; in P. idem scholium extare dicitur, quod in 4. 5. 12) *ἤγουν* pro *ᾗ* Gen.[b] 12) *γράφεται . . . Λύκ.* om. P. 12) *εἰς τὰ*] Gen.[b], om. 4. 5. 13) *δὲ* om. P. 15) *νῦν* in fine Gen.[b] — *τῇ* om. *P. 17) *καὶ* om. et *ἴδον* *M. *P. *Y. 18) *τούτοις*] 1. Gen.[a] Lips., *τοῖς τοιούτοις* rell. (?) 20) *τῆς ἀθλίας*] Gen.[a] Lips., om. rell. (?) 23) //Gen.[a] Lips., ille c. lemm. *οὔτε τι πομπᾶς.* — 26) *τετριμμένην*] Duebn., —*νον* cod.

ἐκείνης αἴσθησιν ἔσχον, οὐδὲ ὅπως εἰς τὸν οἶκόν μου ἐπανέστρεψα — τοῦτο γὰρ ὁμοῦ τὸ πάλιν ἀπῆλθον — ἔγνων. —

Rec. Ἀλλά με τὶς: ἀλλὰ πυρώδης τίς με νόσος, τουτέστι πυρετός τις, ἐδαπάνησεν.

Vet. Ἠ ἐξάλαξε: διέσυρεν, ἐκτὸς φροντίδος καὶ γνώμης ἐποίησε: γράφεται καὶ ἐξαλάπαξεν, ἵν' ᾖ ἐξήρησε. Ἄλλως. Λάπαθα παρὰ τοῖς Ἀττικοῖς τὰ κενώματα, καὶ λάπαθος βοτάνη τις κενωτική.

Vs. 86.

Rec. Κείμην δ' ἐν κλιντῆρι: καὶ ἐκείμην ἐν τῇ κλίνῃ ἐπὶ δέκα ἡμέρας καὶ (ἐπὶ δέκα Vat. *Lips.) νύκτας.

Vs. 88—92.

Rec. Καὶ τὸ σῶμά μου ὅμοιον ἐγένετο καταπολὺ θάψῳ, τῷ κοινῶς λεγομένῳ χρυσοξύλῳ. — (Θαψὸς τὸ χρυσόξυλον· ἔστι δὲ κίτρινον. καὶ τοσοῦτον ἐτάκην, ὡς καὶ αἱ τρίχες

82) *Λίαν ἐμάνην.* C. H. *οὕτως ἐμάνην.* E. — *Καταπολὺ ἡ ψυχὴ ἐβλήθη.* H. *ἐτρώθη.* C. *ἔπαθεν, ἤγουν ἐκαύθη.* M.

83) *Ἐμαραίνετο, διεφθείρετο, διερρεῖτο.* H. M. P. Lips.

84) *Ἠισθόμην, ἐνόησα.* M. *ἀπεσκόπησα, ἐνόησα.* H. *διενοούμην.* P.

85) *Ἰσχυρὰ καὶ διάπυρος, ὑπὸ τοῦ ἔρωτος δηλονότι.* E. N. *πυρώδης, τουτέστι σφοδρά.* H. *θερμή.* C. — [Ἐξαλάπαξε:] *ἠφάνισε τὴν γνώμην μου, διέσυρεν.* H. *ἠφάνισεν.* E. *ἐξεκένωσε.* C. *κατέβαλεν.* M.

86) *Κραββάτῳ.* E. H.

---

1) μου] add. Gen.[a] Lips. 2) τοῦτο γὰρ τὸ οὐδ' ὡς πάλιν ἀπῆλθον ἔγνων οἴκαδε M., οἴκαδ' post πάλιν inserit Gen.[a] — ἀπῆλθον] M. Gen.[a] Lips., ἀπῆνθον vulg. 4) //* Lips. τὶς νόσος πυρώδης τουτ. seqq. 5) πυρετός τις] Lips., τις om. vulg. 6) //Gen.[b] — ἐξάλαξε] Gen.[b], ἐξαλάπαξε vulg. 6) διέσυρεν] P. Gen.[b], διέφθειρεν vulg. 7) γράφεται . . . ἐξήρησε om. Gen.[b] — ἐξαλάπαξεν] ἐξάλαξεν vulg. 7) ἐξήρησε] ἐξήλησε vulg. 8) λάπαθα] Geel., ἀλλάπαθα vulg., ἀλάπαθα Gen.[b] et tac. Gaisf. 8) παρὰ τοῖς] P. Gen.[b], παρ' vulg. 8) ἀλάπαθος P. 9) ἡ νεωτικὴ pro τις κεν. Gen.[b] 11) //* Lips. ἐν τῇ seqq. 14) //* Lips. τὸ σῶμα — ὅμοιον — ἀντὶ τοῦ ἐγένετο — καταπολὺ — τῷ κοινῶς χρυσοξύλῳ. 14) θαψῷ ante Heins. 16) κίτριον Gen.[a] — 19) ἐμαραίνετο om. Lips.

ἔπεσον ῥυεῖσαι τῆς κεφαλῆς, καὶ ἐλεπτύνθην, ὥστε τὰ ὀστέα μόνα ὑπολέλειπτο καὶ τὸ δέρμα. 6. Gen.[a])

Vet. Πολλάκι θαψῶ: χλωρὸς ἢ ξανθός. θάψος γάρ ἐστι ξύλον τι, ὃ καλεῖται καὶ σκυθάριον ἢ Σκυθικὸν ξύλον, ὥς φησι καὶ Σαπφώ· „τούτῳ δὲ τὰ ἔρια βάπτουσι καὶ ποιοῦσι μάλινα, καὶ τὰς τρίχας ξανθίζουσιν.“ ἔστι δὲ τὸ παρ' ἡμῖν λεγόμενον χρυσόξυλον. Ἀσκληπιάδης δὲ φυτόν τι χλωρόν, ὅθεν καὶ τὴν θαψίαν πρὸς τὰ ὑπώπια· βάπτεσθαι δὲ ἐκ ταύτης τὰ κροκοειδῆ. — (Ἄτις ἐπῇδεν: ἤτοι ἐπῳδὰς ποιεῖν οἶδεν. ἐπῳδὴ λέγεται καὶ ἡ γοητεία, ὅτι τὸ αὐτὸ πολλάκις ἡ γοητεύουσα λέγει. P.) — (Ἀλλ' ἦς οὐδέν: ἀλλ' οὐκ ἦν οὐδὲ τοῦτο τοῦ ἔρωτος ἀπαλλάττον με· ὁ δὲ χρόνος, ἤγουν ὁ καιρὸς τοῦ ἔρωτος, παρήρχετο. P. Gen.[b])

Rec. Ὀστέ' ἔτ' ἦς καὶ δέρμα: μόνα ὀστᾶ ἀκμὴν ἦσαν ὑπόλοιπα ⟨καὶ δέρμα⟩. καὶ εἰς τίνος γραίας δόμον οὐκ ἐπῆλθον, ἥτις ἐπῳδαῖς (καὶ γοητείαις E.) ἠπίστατο χρῆσθαι, (ὡς ἐξ ἐκείνης παραμυθίαν εὑρεῖν προσδοκῶσα. E.) ἀλλ' οὐδεμία ἦν

88) Ἡ ὄψις. E. N. τὸ σῶμα. M. — Ἀντὶ τοῦ ἐγένετο. H. M. — Καταπολύ. 1. M. — Τῷ κοινῶς χρυσοξύλῳ. 2.

89) Ἔρρεον ἀντὶ τοῦ ἔπιπτον. H. M. P. T. Lips. — Μόνα ὑπόλοιπα. H. M. P. Lips. — [Λοιπά:] τὰ μέρη τοῦ σώματος. 5.

90) [Ἔτ':] τὸ παρὰ τοῖς κοινοῖς ἀκμήν. P. Lips. — [Τίνος:] δόμον ἀπὸ κοινοῦ. M. Lips οἰκίαν δηλονότι. E.

91) Ἐγοήτευεν, ἐπῳδαῖς ἠπίστατο χρῆσθαι. E. H. M. P.

92) Ἀλλ οὐκ ἦν ἐπ' ἐμοὶ οὐδεμία ἀνάπνευσις. P. οὐδαμῶς ἐκουφιζόμην τοῦ ἔρωτος. M. — [Ἐλαφρόν:] ἐμοί δηλονότι. E. παρ' ἐμοὶ ἀπὸ τῆς ἀρρωστίας. — Ἠνύετο, ἐξήρχετο M. ἐπληροῦτο. H. ἐτελειοῦτο. C. παρήρχετο. E. N. διήρχετο Stop. — Ῥέων, λανθάνων. οἱ γὰρ φεύγοντες λανθάνουσι M.

---

1) ῥυῆσαι 6. 1) ἐλεπτυνήθην Wart. 1) ὠστέα 6.[2] 2) ὑπολέλειπται 6.[2], ὑπόλειπται Wart. 2) καὶ τὸ δ. om. Gen.[a] 3) //Gen.[b] — ἢ] P. Gen.[b] vulg., om. Reisk. seqq. 4) καὶ] add. Gen.[b] — ἢ] ἤγουν vulg., σκυθάριον ἢ om. Gen.[b] 5) σαμφὼ 9., παμφὼ E. P. 5) τὰ om. P. 6) μάλινα] P., μάλλινα 4.[2] 5.[2] Gen.[b], μήλλινα 4.[1] 5.[1], μήλινα vulg. 7) χρυσίξυλον P. Seqq. om. Gen.[b] 9) ὑπώπια Salmas. de homon. hyl. iatr. c. 59 et Reines., ἐπώπια vulg. ante Kiessl. 12) τοῦτο] τι τὸ codd., οὐδὲν τὸ conj. Duebn. 13) χρόνος — καιρὸς] καιρὸς — χρόνος codd. 13) ὁ post ἤγ. om. Gen.[b]. 15) //* Lips. μόνα ὑπόλοιπα — ὀστᾶ — τὸ παρὰ τοῖς κοινοῖς ἀκμὴν — δόμον ἀπὸ κοινοῦ — ἐπῆλθον — ἐπῳδαῖς ἠπ. χρ., ἀλλ' ἦν οὐδεμία ἀνάπαυσις — ἠνύετο, διήρχετο ῥέων. 15) μόνα] add. ex Lips. et Gl. H. M. P. 15) ἦσαν] εἰσὶν vulg. 16) ἐπῆλθον] Lips., ἀπῆλθον vulg. — 21) μόνα τὰ ὑπόλ. H. P. 23) ἐστὶ ante τὸ P.

ἀνάπνευσις, οὐδ' ἐκουφιζόμην τοῦ ἔρωτος, καὶ ὁ χρόνος διήρχετο ῥέων. — (Τὸ ἔτι ἐνταῦθά ἐστιν, ὃ παρὰ τοῖς κοινοῖς λέγεται ἀκμήν Μ. — *Ἄτις ἐπάδεν*: ἤγουν ἐπῳδαῖς ἠπίστατο χρῆσθαι· ἀλλ' οὐδὲ ἐκ τῶν ἐπῳδῶν εὗρόν τινα κουφισμόν, ὁ δὲ χρόνος παρέτρεχεν. Gen.[a])

Vs. 94—98.

Rec. *Χ' ὤτω τὰ δούλα*: καὶ τοῦτον τὸν τρόπον, τοῦ πράγματος ἔχοντος δηλονότι, ἔλεξα τὴν ἀλήθειαν τῇ ἐμῇ δούλῃ οὑτωσὶ εἰποῦσα· εἶα ἄγε ὦ Θέστυλί μοι ἐπινόησόν τινα μηχανὴν [ἔξευρε] ἕνεκα τῆς χαλεπῆς νόσου, ἤγουν βαρείας, [ὅτι με ὁ ἔρως τοῦ Μυνδίου πολλὰ βαρύνει.] — (*Πᾶσαν ἔχει με τάλαιναν ὁ Μύνδιος*: ἤγουν ἥττημαι διόλου τοῦ Μυνδίου, πάντα τὸν λογισμὸν εἰς αὐτὸν ἔχω τετραμμένον. E. I. M. Gen.[a] Lips.) — Ἀλλ' ἀπελθοῦσα πρὸς τὴν παλαίστραν τοῦ Τιμαγήτου σκόπησον· ἐκεῖ γὰρ ἀναστρέφεται, καὶ ἐκεῖ αὐτῷ ἡδὺ καθέζεσθαι.

Vs. 99.

Vet. *Φράζεό μευ*: συνεχῶς ἐπικαλεῖται τὴν Σελήνην ἢ ὡς συνεργὸν πρὸς τὰς μαγείας ἢ ὡς καὶ αὐτὴν ἐρασθεῖσαν Ἐνδυμίωνος.

Rec. (Σελήνη κοινόν, σελαναία ποιητικόν. Gen.[a])

94) *Καὶ οὕτω*, καὶ τοῦτον τὸν τρόπον. v.
95) [*Εἶ' ἄγε*:] ἄγε φέρε. C. [*Εἶδ' ἄγε*:] θέασαι καὶ φέρε. P. — *Μηχάνημα*. 2. 5. C. M. *θεραπείαν*. C. M. *ἴαμα*. Lips. rec.
98) *Ἐκεῖσε*. E. M. N. — *Σχολάζει*, ἀναστρέφεται. 1. 2. 23. Lips. σχολάζει. E. H. M. — *Διάγειν*. M.

---

4) οὐδὲ] Duebn., οὐδὲν cod. 7) //Gen.[a] ante Schol. κἠπείκα pag. 118. 2; *Lips. χ' οὕτω καὶ τοῦτον...δηλονότι, tum in marg. οὕτως εἰποῦσα seqq. — χ' οὕτω in lemm. Gen.[a] — χ' οὕτω καὶ τοῦτον in interpr. Lips., καὶ οὕτω κατὰ τοῦτον P., καὶ οὕτω omissis verbis τοῦτον τ. τρ. H. 8) ἔλεξα . . . δούλῃ om. Gen.[a] 9) οὕτως εἰπ. Gen.[a] post ἄγε et Lips. — εἶ δ' ἄγε Gen.[a] 9) μοι om. Gen.[a] 10) ἢ ἔξευρε Reisk. seqq., om. Gen.[a] Lips., cf. Gl. 10) νόσου ἤγ. βαρ.] 1. 2. Gen.[a] Lips., μου καὶ βαρ. νόσου vulg. 11) ὅτι seqq. om. Gen.[a] Lips. 12) Lips. hoc schol. et in marg. habet et s. l. 14) //Gen.[a] Lips. — ἀλλ'] Gen.[a] Lips., ἀλλὰ vulg. 15) ἐκεῖ seqq. om. Gen.[a] et in marg. Lips., ubi s. l. ἐκεῖ — σχολάζει, ἀναστρέφεται — ἐκεῖ αὐτῷ. 18) //Om. Gen.[a-b] Lips.

Vs. 100. 101.

Rec. Κήπειχα νιν: καὶ ἐπειδὰν αὐτὸν μόνον ὄντα ἴδῃς, κεχωρισμένον δηλονότι τῶν ἄλλων, [ἥσυχα, ἤγουν] ἡσύχως νεῦσον, καὶ εἰπέ, ὅτι ἡ Σιμαίθα σε καλεῖ, καὶ ὁδήγει αὐτὸν ὧδε.

Vet. Τὸ ἥσυχα Μούνατος παρώξυνεν, ἵνα ᾖ ἀντὶ τοῦ ἡσύχως. ἀγνοεῖ δέ, ὅτι τὰ εἰς α οὐδέτερα πληθυντικὰ ἀντὶ ἐπιρρημάτων πολλάκις λαμβάνεται, οἷον φίλα ἀντὶ τοῦ φίλως καὶ ὅσια ἀντὶ τοῦ ὁσίως. — (Τὸ ταδε, εἰ μὲν περισπᾶται, ἔστιν ἀντὶ τοῦ ἡγεμόνευε τῇδε καὶ ταύτῃ τῇ ὁδῷ· εἰ δὲ ὀξύνεται, ἀντὶ τοῦ ἀφηγοῦ καὶ διηγοῦ τάδε καὶ ταῦτα. P. Gen.[b])

Vs. 102--107.

Rec. Ὡς ἔφαμαν: οὕτως ἔφην, αὐτῇ δηλονότι, τῇ δούλῃ. — Ἁ δ' ἦλθεν: αὕτη δ' ἀπῆλθε καὶ ἤγαγε, τὸν εὐτραφῆ, Δέλφιν δηλονότι, εἰς τὸν ἐμὸν οἶκον. — (Τὸν ἔχοντα τὸν χρόα λιπαρόν, ἤγουν στίλβοντα καὶ πίονα. 6.) — Ἐγὼ δέ μιν ὡς ἐνόησα: ἐγὼ δὲ ὡς εἶδον αὐτὸν ἤδη τὴν φλιὰν τῆς θύρας ὑπεραμειβόμενον, ἤγουν ὑπερβαίνοντα, ποδὶ ἐλα-

101) Ὁδήγει, ὑφηγοῦ αὐτὸν ἐνταῦθα, ὁδήγει αὐτὸν ὧδε. M. P. T. προηγοῦ. N.

102) Τὸν λιπαρόσαρκον. E. N. τὸν εὐτραφῆ, τὸν ἔχοντα τὸν χρόα ⟨λιπαρόν⟩. 2.

103) Οὕτως ὡς εἶδον. C. H. M. P. Lips.

104) Ἤδη. E. H. N. — Ἔδαφος. M. τὸ κατώφλιον. P. — Ἐρχόμενον. M. διερχόμενον. C. ὑπερβαίνοντα. P. Lips.

107) Δαψιλὴς καὶ ἀδρὸς ἱδρὼς ἔρρεεν. C. καὶ δαψιλῶς ἔρρεεν. 5. ἔρρεεν. E. — Ὁμοίως. E. — Νοτεραῖς. E.

---

2) //Gen.[a] Lips. — κήπειχα νιν] Gen.[a], κήπεί κέ νιν vulg. 3) ἴδῃς] Gen.[a] Lips., εἴδῃς vulg., γνῷς 4.[l] 3) ἥσυχα ἤγουν om. Gen.[a] Lips. 4) καὶ εἰπὲ seqq. in Gen.[a] desunt, in Lips. s. l. εἰπέ — ἡ — σὲ — καὶ ὁδ. αὐτὸν ὧδε. 4) ὁδήγει] Lips. et Gl. M. P. T. nec minus Phav. s. v. τᾶδε, ὁδήγησον vulg. 6) //Om. Gen.[a.b.] Lips. 9) Schol. in Gen.[b] legitur post ἐπ' αὐτὴν p. 120. 11. — τὰ pro τὸ Gen.[b] — ταδε] τάδε Gen.[b], τᾷδε P. — 10) ἔστω P.[3] 10) τῇ om. Gen.[b] 11) διῆγε Gen.[b] 14) //*Lips. οὕτως ἔφην. 15) //*Lips. ἀπῆλθε — τὸν εὐτραφῆ. 15) αὕτη] αὐτὴ vulg. 17) //Gen.[a] cum lemmate θύρας ὑπὲρ οὐδὸν et Lips. mg. sola habent ἤδη...ἐλαφρῷ, hic praeterea s. l. αὐτὸν οὕτως ὡς εἶδον et ὑπερβαίνοντα — ἐψυχράνθην. 17) τη χρ. cod. 23) λιπαρην (sic) suppl. Wart. 24) ἴδον C. H. M. P.

φρῶ, πλέον χιόνος ἅπασα ἐψυχράνθην. — (*ΑΜΕΙΒ.* ἀντὶ τοῦ ἀμείβοντα. ἀμείβω γὰρ τὸ διέρχομαι. καὶ Ὅμηρος

γήραος ὑπὲρ οὐδὸν ἀμείψας.

ἀμείβω καὶ τὸ ἀντικαταλλάττω· ἀμείβομαι δὲ τὸ διαδέχομαι ἢ λόγῳ ἢ ἄλλῳ τινὶ πράγματι. 6. — Πᾶσα ἐψύχθην: ἀντὶ τοῦ ψυχροτέρα γέγονα καὶ χιόνος, ἱδρῶτι δὲ περιερρεόμην ὡς ἂν εἰ νοτίαις δρόσοις. 6.)

Vet. Ἱδρὼς δὲ κοχύεσκε: [κατέτρεχε,] κατεφέρετο καὶ δαψιλῶς ἔρρει (ὁ ἱδρώς Gen.[b]), ὁμοίως [καὶ κατ' ἴσον] ταῖς καθύγροις δρόσοις. κόχος γὰρ ὁ δαψιλὴς ῥοῦς. ὠνοματοπεποίηται δέ.

Vs. 108. 109.

Rec. Οὐδέ τι φωνᾶσαι: οὐδὲ φωνῆσαί τι ἐδυνάμην, οὐδ' ὅσον ἐν ὕπνῳ κνυζῶνται τὰ τέκνα φωνοῦντα πρὸς τὴν φίλην αὐτῶν μητέρα. τὸ κνυζᾶσθαι ἐπὶ τῶν κυνῶν λέγεται κυρίως, ὅτε προσερχόμενοί τινι φωνήν τινα ὑπὸ χαρᾶς ἀφιᾶσιν. ἐνταῦθα δὲ ἐπὶ τῶν βρεφῶν τοῦτο τίθησι μεταφορικῶς. — (Κνυζῶνται: κνυζάω κνυζῶ κυρίως ἐπὶ κυνῶν, ὅτε σαίνουσι τὸ οὐραῖον προσιόντες τοῖς δεσπόταις· καὶ κνυζηθμὸς ἡ φωνὴ ἐκείνη. Vat.)

Vet. ⟨Κνυζεῦνται: ἀντὶ τοῦ κνυζοῦνται·⟩ ὁμοίως τὸ φωνεῦντα ἀντὶ τοῦ φωνοῦντα. κυρίως [ἐπὶ τῶν ὀρνέων λέγεται, καταχρηστικῶς δὲ] ἐπὶ τῆς ἡσύχου καὶ ἀσήμου ὑλακῆς τῶν κυνῶν· (ἐνταῦθα δὲ ἀντὶ τοῦ ἄναρθρον φωνὴν προϊεν-

109) Κνυσμὸν καὶ ἦχον ἀποτελοῦσι. H. κνυζῶσι, ἤγουν βοῶσι. E. μινυρίζοντα. Vim. — Λαλοῦντα. M. [Φωνεῦνται:] φωνοῦσιν ὑπνούμενα. C.

---

1) ἐψυχράνθη ante Heins. 7) ὡς ἂν εἰ] ὅσῳ ἂν ἐν cod., ἐν tolli jubet Duebn. 8) //Gen.[b] omissis ἴδρως δὲ et κατέτρεχε. 9) καὶ κατ' ἴσον om. P. Gen.[b] — ἴσον δρόσοις ὑγραῖς M. 10) ὀνοματ. Gen.[b] et ante Heins. 13) //Gen.[a] Lips., ille c. lemm. οὐδέν τι φ. δυναίμαν. 13) βοῆσαι pro φωνῆσαι Gen.[a] In Lips. haec evanida. 14) ἐν τῷ ὕπνῳ Gen.[a] 16) ὑπὸ] 1. 2. 6. Lips., ἀπὸ vulg. 18) Gaisf. huic scholio notam codicis apponere neglexit; Wart. hinc ὅτε . . . φωνὴ inseruit post ἀφιᾶσιν lin. 17. 21) //Gen.[b] post στέφανον p. 123. 14., ubi incipit φωνεῦντα κυρίως prioribus omissis; Phav. post sch. seq. hoc initio: λέγεται δὲ κυρίως τὸ κνυζᾶσθαι ἐπὶ τῶν ὀρνέων καὶ ἐπὶ τῆς ἀσ. κ. ἡσ. ὑλ. 24) ἐνταῦθα δὲ] P., παρὰ Θεοκρίτῳ δὲ Phav., καὶ ἐνταῦθα οὖν rell. — ἀντὶ τῆς ἀνάρθρου φωνῆς, ἣν προΐεται τὰ ὀνειρώττοντα παιδία Phav., ὀνειρώττοντα P. In Gen.[b] adhaerent καλὸν χρόα ex sch. seq. p. 120. 11. — 25) κνυσμὸν] Duebn., κνησμὸν cod. 26) φωνοῦσιν ὑπνούμενα] Duebn., φωνοῦσι λυπούμενα cod.

ται ὀνειρώσσοντα. 4. 5. P. Gen.[b] Phav.) — (*Κυζεῦνται: ἐν τῷ κοιμᾶσθαι ἄσημον καὶ ἄναρθρον ἀποτελοῦντα φωνήν. ὑποψιθυρίζουσι γὰρ φανταζόμενα.* *4. *5. P. Phav.)

Vs. 110.

Vet. *Ἀλλ' ἐπάγην δαγῦδι καλὸν χρόα: ἀντὶ τοῦ ἄφωνος γέγονα (ἀπὸ πάντων τῶν μερῶν* P.) *ὁμοία δαγῦδι [ᾧ αἱ παρθένοι κοσμοῦνται]. δαγὺς δέ ἐστι κοροκόσμιόν τι. καλοῦσι δὲ αὐτὸ καὶ νύμφην· οἱ δὲ πλαγγόνα, ὡς Ἀττικοί, ἀπὸ τοῦ πεπλάσθαι ἐκ κηροῦ. Ἄλλως. Δαγὺς κόσμος ἐγκάρδιός ἐστι γυναικῶν, καὶ στέφανος περισφίγγων τὴν κεφαλὴν καὶ πεπηγὼς ἐπ' αὐτήν.* — (*Δαγῦδι καλὸν χρόα: κρυστάλλῳ ὁμοία, ἢ στήλῃ. ὡς καὶ παρ' Ὁμήρῳ·*

ἀλλ' ὥστε στήλη ἔμπεδον μένει.

4. 5. M. Gen.[a.b.] Phav. — *Δαγῦδι: ἤγουν Ἀφροδίτης ἀπεικόνισμα λίθινον.* *5. M. Gen.[a.b.])

Rec. (*Τῷ ἀπεικονίσματι τῆς Ἀφροδίτης, τῷ εἰδώλῳ.* E. N. Phav.)

Vs. 112. 113.

Rec. *Καί μ' ἐσιδὼν ὤστοργος: καὶ εἰσιδών με* (*ὁ ἄστοργος*, Gen.[a]) *ὁ σκληρὸς καὶ ἐπὶ φιλίᾳ ἀβέβαιος τὰς ἀκτῖ-*

110) *Κρυστάλλῳ.* 23. G. Stop. *ἢ κεφαλοδεσμίῳ ἢ εἰκονίσματι Ἀφροδίτης.* G. *κρύει ἢ ἀπεικονίσματι.* M. — *Ἐπίσης.* H. M. Lips. *καὶ ὁμοίως.* E.

111) *Μάνθανε.* 4.

2) *ἀποτελοῦσι* Phav. 3) *φαντασιαζόμενοι* P.[2], —*ναι* P.[4] 5) //Gen.[b] et Phav. s. v. *δαγύδι*, uterque sine *καλὸν χρόα*. 6) Teste Duebnero haec potius in *P. 7) *γὰρ* pro *δὲ* Phav. 8) *πλάγγονα* ante Heins., *πλαγόνα* Phav. 9) *οἱ δὲ κόσμον ἐγκάρσιον γυν. τὴν δαγύδα φασὶ καὶ στέφανον περισφίγγοντα τ. κ.* sine ultimis Phav., *ἐγκάρσιος* P. 11) Schol. in Gen.[b] legitur post *ὀνειρώσσοντα* lin. 1., ap. Phav. post sch. praec. — *δαγῦδι* est lemma in Gen.[a], *καλὸν χρόα* Gen.[b] et Wart. seqq., *ἢ δαγύδι ἀντὶ τοῦ κρ.* Phav. 12) *κρύσταλος ὁμοῖα* Gen.[b] 12) *καὶ* om. Phav., *καὶ Ὅμηρος* sine *ὡς* Gen.[a] 13) *Hom. Il.* P, 434. — *ἔμπεδος μένεν* Phav., *μένει ἔμπεδον* Hom. 14) *δαγῦδι*] *λαγῦδι* M., *δαγύδας* Gen.[a.b.] 14) *Ἀφρ. ἤγουν ων εικονισμα* sine *λίθινον* *5., *Ἀφροδίτας* omissis *ἤγουν* et *ἀπ. λίθ.* M. Gen.[a] 16) *λέγεται καὶ δαγὺς ἀπεικόνισμά τι Ἀφρ. ἢ εἴδωλον* Phav. 19) //Gen.[a] c. lemm. *ὤστοργος*, *Lips. *ἰδὼν — ὁ σκληρός, ὁ ἐπὶ φιλίαν . . . ἐρείσας — ἀντὶ τοῦ ἐκάθισεν ἐ. τ. στρ. — καθ. ἔφη λόγον.* 19) *ἰδών με* omisso *καὶ* post *ἀβέβαιος* Gen.[a] 20) *ὁ* pro *καὶ* Gen.[a] Lips.

νας τῶν ὀφθαλμῶν ἐρείσας (ἐπὶ τῆς γῆς H. Gen.[a]) ἐκάθισεν ἐπὶ τῇ στρωμνῇ καὶ καθεζόμενος ἔφη. — (Ὄμματα πήξας: καὶ Ὅμηρος·

ἀλλ' ὅτε δὴ πολύμητις ⟨ἀναΐξειεν⟩ Ὀδυσσεύς,
στάσκεν, ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας. 6.)

Vs. 114—117.

Rec. Ἦ ῥά με Σιμαίθα: ὄντως ὦ Σιμαίθα τοσοῦτόν με προέλαβες εἰς τὸ σὸν τοῦτο οἴκημα καλέσασα, ὅπου με παρεῖναι — ἐκάλεσας δηλονότι ἀπὸ κοινοῦ — ὅσον ἐγὼ πρώην ποτὲ τρέχων προέλαβον τὸν Φιλῖνον τὸν χαρίεντα, (ἤγουν τὸν ἀστεῖον καὶ χάριτος μέτοχον. 1. 2. 6. 7. E. H. N. Y. Lips.) — (Τόσον ἔφθασας: τοῦτο φιλοτίμου νέου ἐρωτικόν· παραπλέκει γὰρ καὶ τὸ ἑαυτοῦ. τόσον φησί με προὔλαβες Σιμαίθα καλέσασα εἰς τὸ σὸν στέγος, ἢ ἐκέλευσας παρεῖναι, ὅσον πρώην προέφθασα τρέχων τὸν Φιλῖνον. ὑπερεθίζων πρὸς ἔρωτα τοῦτό φησι. 6.)

Vet. (Τόσον ἔφθασας: τοσοῦτον προέφθασας, φησί, μεταπεμψαμένη με πριν ἐμὲ ἐθελοντὴν ἐλθεῖν πρὸς σέ, ὅσον ἐγὼ προέλαβον Φιλῖνον τρέχων. 4. 5. Gen.[b])

Vs. 118. 119.

Rec. Ἦνθον γὰρ κἠγών: ἦλθον γὰρ ἂν ἐγώ, νὴ τὸν γλυκὺν Ἔρωτα, ἦλθον φίλος ὢν ἢ μετὰ δύο ἄλλους ἢ μετὰ

112) Ὁ ἄστοργος νῦν. E. ὁ σκληρός, ὁ ἄστοργος εἰς φιλίαν καὶ ἀβέβαιος. M. ὁ ἀφιλίωτος. C. — Στήσας. M. νεύσας πρὸς γῆν. M.

113) Κραββάτῳ. E.

114) [Ἔφθασας:] ἐνταῦθα σύναπτε τὸ καλέσασα. M. — [Θην:] δή. E. M. N.

115) Δρόμον ἀγωνιζόμενος. M.

116) [Ἦ με:] ὅπου με. E. H. M. P. ὅπου μ' ἐκέλευσας παρεῖναι. Vim. — Ἐκέλευσας δηλονότι. E. N. ἐκάλεσας δηλονότι. H. M.

---

2) καὶ καθ. ἔφη om. Gen.[a] 4) *Hom. Il.* Γ, 217. 7) //Gen.[a] Lips. 7) οὕτως Lips. (sed s. l. ὄντως). 8) με] add. 1. 2. 7. Y. Gen.[a] Lips. 8) ἔνθα pro ὅπου praemisso lemmate ἦ με παρῆμεν Gen.[a] 9) δηλονότι om. Gen.[a] 9) κινοῦ ante Brub. Sequentia in Gen.[a] deesse videntur, nisi quod ὅσον πρ. (?) ante lemma ἦ με παρῆμεν leguntur. 11) χάριτος μεστόν E. 15) παρέφθασα cod. 18) πρὶν ἢ Gen.[b] 18) ἐθελοντὴν om. Gen.[b] 18) πρός σε Gen.[b] 21) /Gen.[a] Lips. — κἠγὼ Gen.[a] 22) ἦλθον γὰρ φίλος Gen.[a]

τρεῖς αὐτίκα ἐπὶ τῆς νυκτός, ἤγουν κατὰ τὴν παροῦσαν νύκτα. — (*ΤΡΙΤ. ἀντὶ τοῦ κατὰ τρίτην φυλακὴν τῆς νυκτός.* Vat.)

Vet. (*Ἢ τρίτος ἢ τέταρτος: εἰ γὰρ μὴ ἀπεστάλη ⟨ἡ δούλη⟩ πρός με, ἦλθον ἂν ἐγὼ πρότερος νυκτός, νὴ τὸν Ἔρωτα, ἢ τρίτος ἢ τέταρτος ὑπάρχων σοι προσφιλής· τουτέστιν ἐπεκώμασα ἂν σοι μετὰ δυοῖν ἢ τριῶν.* Vat. P. Gen.[b])

Vs. 120.

Vet. *Μᾶλα μὲν ἐν κόλποισιν: μῆλα ἔχων ἐν κόλποις τὰ ἐράσμια καὶ ἔρωτος ποιητικά. λέγοι δ' ἂν τοῦτο, καθὸ ⟨τὰ⟩ ὑπὸ Ἀφροδίτης διδόμενα τῷ Ἱππομένει μῆλα ἐκ τοῦ Διονύσου ἦν στεφάνου, καὶ ταῦτα δὲ εἰς ἔρωτα τὴν Ἀταλάντην ἐκίνησεν, ὥς φησι Φιλητᾶς·*

τά οἵ ποτε Κύπρις ἑλοῖσα
μῆλα Διωνύσου δῶκεν ἀπὸ κροτάφων.

Rec. *Ἄλλως. Μᾶλα μὲν ἐν κόλποισιν: ἐν τῷ κόλπῳ μὲν φυλάσσων μῆλα τοῦ Διονύσου, ἴσως ἀπὸ τόπου τινὸς ἀφιερωμένου τῷ Διονύσῳ.*

118) *Εἰ μὴ ἀπεστάλη ἡ δούλη πρός με δηλονότι.* E.

119) *Τοῦτο εἶπεν ὁ Δάφνις, ὅτι ἤρα ἡ Σιμαίθα καὶ ἄλλων τινῶν.* 4. — *Κατ' αὐτὴν τὴν ὥραν τῆς νυκτός.* P.

120) *Ὀπώρας.* P. — [*Διωνύσοιο:*] *ἐκ λειμῶνος Διονύσου.* M. *ἀπὸ τόπου τινὸς τῷ Διονύσῳ ἀνατεθειμένου.* E.

---

2) Hoc sch. a Wartono prolatum Gaisf. omisit. 4) Hoc schol. ex Vat. protulit Wart. inde ab *ἦλθον*. Lemmati in P. praemissa *νυκτὸς νὴ τὸν ἔρωτα*. 4) *εἰ μὴ γὰρ ἀπεστάλης* P., *ἡ δούλη* ex GIE. suppletum. 5) *πρότερον* Vat. 5) *νὴ τ. Ἔ.* om. Vat. 7) *ἐπεκώμασα ἂν*] Kiessl., *ἀπεκώμασα ἂν* P. Gen.[b], *ἀπεκωμασαίην* Vat. 7) *δυοῖν ἢ τριῶν*] *τῶν τριῶν ἢ τετάρτων* Vat., *τριῶν ἢ τέταρτος* P., *τριῶν ἢ τεσσάρων* Gen.[b] 9) //Gen.[b], ubi recte *κόλποισι*. 9) *μὴ* pro *μῆλα* ante Brub. 10) *ἐράσματα* P.[2] (sed *ἐράσμια* P.[3]), *ἐρασμένα* Gen.[b] 10) *ἐρωτοποιητικὰ* 4. 5. P. Z. Gen.[b] Vulc. 10) *λέγει* Gen.[b] 11) *τοῦ*] add. Gen.[b] 12) *ἦν*] *οἷς* vulg. — *στεφάνου καὶ*] *στεφανοῦνται* Gen.[b] vulg., *στεφανοῦται* Wart. Kiessl. 13) *φιλιτᾶς* Gen.[b] — *Philet. fr.* 15. 14) *ἀλοισα* Vatt. teste Wartono. 15) *μᾶλα* 4. 5. P. Can. 15) *Διωνύσου*] Casaub., *διόνυσον* 4. 5. P. Can. Gen.[b], *διονύσοιο* ante Xyl., *διονύσου* vulg. 15) *κροτάφου* Gen.[b] 16) //Gen.[a] Lips. sine lemmate. 17) *τούτου* pro *τόπου* Gen.[a].

Vs. 121. 122.

Vet. *Κρατὶ δ' ἔχων Ἡρακλέος*: ⟨Ἐρατοσθένης ἐν πρώτῳ⟩ Ὀλυμπιονικῶν φησὶ τὸν Ἡρακλέα κατελθόντα εἰς Ἅιδου εὑρεῖν παρὰ τῷ Ἀχέροντι φυομένην τὴν λεύκην καὶ εἰς ἀνθρώπους κομίσαι, ἣν Ὅμηρος ἀχερωίδα καλεῖ ὡς ***.

Rec. Ἐν τῇ κεφαλῇ δὲ ἔχων [τὸν] στέφανον ἀπὸ τῆς λεύκης, τοῦ φυτοῦ (τοῦ ἱεροῦ E. Y. Lips.) τοῦ Ἡρακλέους, πανταχόθεν περιειλημμένον περιζώστραις πορφυραῖς.

Vet. (*Λεύκαν Ἡρακλῆος*: Gen.[b]) ἐστεφανωμένος δέ, φησί, λεύκῃ ἐληλύθει (διὰ τόδε ταύτῃ Gen.[b]), ὅτι ἀθλητικός ἐστιν ὁ Δέλφις ὡς καὶ Ἡρακλῆς, (ὃς τὸ φυτὸν ἀπὸ τοῦ ἐν Ἅιδου Ἀχέροντος εἰς ἀνθρώπους ἐκόμισε. Gen.[b]) — (*Πορφυρέοισι περιζωστῆρσι*: πορφυρέοις λημνίσκοις καὶ ταινίαις περιειλημμένον ἔχων τὸν τῆς λεύκης στέφανον. Gen.[b])

Rec. Οἱ ἀθλητικοὶ ἐστεφανοῦντο τούτῳ τῷ φυτῷ ὡς ἱερῷ τοῦ πολλοὺς ἄθλους διενεγκόντος Ἡρακλέους. ἱερὸν δὲ ἦν τοῦ Ἡρακλέους, ἐπεὶ αὐτὸν ἔλεγον αὐτὸ ἀπὸ τοῦ Ἀχέροντος εἰς τοὺς ἀνθρώπους κομίσαι. — (Κατελθὼν γὰρ ὁ Ἡρακλῆς εἰς Ἅιδην διὰ τὸν Κέρβερον ἀνήγαγε καὶ τὸ φυτὸν ἀπὸ τοῦ Ἀχέροντος. οἱ δὲ ἀθλοῦντες εἰς γυμνάσια ἐστέφοντο ἐξ αὐτοῦ ἐπὶ τῇ τιμῇ τοῦ Ἡρακλέους. καλεῖται δὲ καὶ ἀχερωὶς ἡ λεύκη. ἦν μὲν ὁ στέφανος ἐκ λεύκης, ἐν παντὶ δὲ μέρει περιειλημμένος ζώναις πορφυραῖς. G.) — Ἀνδρός ἐστι τεχνικοῦ καὶ συνετοῦ τὰ ἐρωτικὰ ἐρασθεῖσαν γυναῖκα μὴ παντελῶς

121) Τῇ κεφαλῇ ἔχων στέφανον ἐκ λεύκης· ἀνέκειτο γὰρ ἡ λεύκη τῷ Ἡρακλεῖ. M. — Ἀνατεθειμένον τῷ Ἡρακλεῖ. P. — Κλάδον. E. M. P.

122) Ἀπὸ πάντων τῶν μερῶν. P. — Κοκκίνοις. H. P. — Ταινίαις. E. N. αἰτανίοις. H. — Περιελικτήν. M.

---

2) //Om. Gen.[a.b.] Lips. 3) Ὀλυμπιόνικος vulg., quo correcto locum supplevit Duebnerus. 5) Post ὡς quaedam excidisse Duebnerus intellexit. 6) Gen.[a] Lips. omisso τόν. 7) Ἡρακλέος vulg. 8) περιειλημμένον Gen.[a] et ante Ox. I, περιειλημμένην H. Lips. 8) περὶ ζώστραις Lips., ut idem in textu. 9) //Gen.[b.] 11) ὁ Δέλφις hoc loco Gen.[b.], post ἐληλύθει vulg. 11) ὡς τὸ cod. 13) λημνίσκοις] Wordsw. p. 408, λιμνίσκοις cod. 13) ταινίαις] Adert., ταννίαις cod. 14) περιειλημμένον cod. 15) //Y. Gen.[a.] Lips. In his scholium legitur ut editum est, vulgo: οἱ γὰρ ἀθλ. τούτῳ ἐστ. ὡς ἱερῷ· ἱερὸν δὲ ἦν τοῦτο Ἡρακλέος τοῦ πολλοὺς ἄ. διεν., ἐπεὶ αὐτὸν ἔλεγον ἀπὸ τ. Ἀ. τοῦτο εἰς ἀνθρ. κομ. 16) τοῦ Ἡρ. Gen.[a.] — Ἡρακλέους] bis Gen.[a.], Ἡρακλέος Y. Lips. 21) Ἡρακλέος Wart. — ἀχερωὶς] Geel., ἀχεροντὶς cod. 22) μὲν] Kiessl. Gaisf., ἂν Wart. 23) διειλημμένος cod. 23) //Om. Gen.[a.b.] Lips.

ἀποστρέφεσθαι. ἡ γὰρ ἀμφὶ τούτων ἄγνοια μῖσος ἀπεργάζεται. μεταδιδόναι δὲ καὶ λόγου μᾶλλον ἐνίοτε χρὴ καί πως ὑποφαίνειν αὐτὸν ἐρῶντα. ἐκ μὲν γὰρ τοῦ παντελῶς ἀποστρέφεσθαι κατάλυσίς ἐστι τοῦ ἔρωτος, ἐκ δὲ τοῦ δοκεῖν πως ἀντιφιλεῖν καὶ παρέχειν ἐλπίδα μίξεως καὶ ἔρωτος αὔξησις μᾶλλον τοῦ πόθου. τοιοῦτον δή τινα καὶ τὸν Δέλφιν δείκνυσιν ὁ ποιητικὸς ἡμῖν λόγος.

Vs. 124—128.

Rec. Καί μ' εἰ μέν: καὶ ἐὰν μὲν ἐδέχεσθέ με, ἦν ἂν τοῦτο προσφιλές· καὶ γὰρ εὔστροφος καὶ εὐειδὴς παρὰ πᾶσι τοῖς νέοις καλοῦμαι. ἀνεπαυόμην ⟨δέ⟩, ἐὰν καὶ μόνον τὸ καλόν σου στόμα ἐφίλησα. εἰ δὲ ἀλλαχόσε ἀπωθεῖσθε καὶ ἡ θύρα ἠσφαλισμένη ἦν τῷ μοχλῷ, τῷ κοινῶς λεγομένῳ κατωπηγίῳ, ἐκ παντὸς καὶ πελέκεις καὶ λαμπάδες ἦλθον καθ' ὑμῶν, ἀντὶ τοῦ κατὰ τοῦ οἴκου ὑμῶν. — (Ἠϊθέοισι: ἠΐθεος ὁ ἄπειρος γάμου νέος· ἐνταῦθα δὲ ἀντὶ τοῦ ἁπλῶς νέος. παράγεται δὲ ἀπὸ τοῦ αἴθω τὸ καίω αἴθεος, καὶ ἐν διαλύσει ἀΐθεος, καὶ τροπῇ τοῦ α εἰς η ἠίθεος· διάπυρος γὰρ ἡ νεότης. λέγεται δὲ ἠΐθεος ἀπὸ ἐτῶν ιδ' μέχρι ιη'. E. N.) —

124) Ἐὰν μὲν περιεδέχεσθέ με. M. — Ταῦτα ὑπῆρχον προσφιλέστατα. P. — Ἦσαν ἄν. E. — Ἐπιτήδειος. E.

125) Καὶ εὐειδὴς παρὰ πᾶσι τοῖς νέοις καλοῦμαι. H. M. P. — Ἐν τοῖς νέοις. E. τοῖς ἐνδόξοις. M.

126) Ἡσύχαζον, ἀνεπαυόμην. P. ἀνεπαυόμην καὶ ἐκοιμώμην. Phil. ἠγάπων. Cant.

127) Ἀπωθεῖσθε, ἀπεπέμπεσθε. H. M. Lips. ἐδιώκετε. E. — Ἐδεσμεῖτο. E.

128) [Ὑμέας:] συνίζησις. I. M. ὁ στίχος δολιχόουρος. *I.

---

3) αὐτὸν ante Reisk. 5) αὔξησιν ante Scult. 9) //Gen.[a] sola extrema habet, in duo scholia diremta: Εἴχετο μοχλῷ: τῷ κοινῶς κατωπηγίῳ, et Καὶ λαμπάδες ἦνθον ἔφ' ὑμέας: καθ' ὑμῶν seqq. *Lips. καὶ .... πρὸς φιλίαν (pro προσφιλές) — εὔστροφος — εὐειδὴς .... ἐὰν — σου — ἀλλαχύσε ἀπωθεῖσθε, ἀπεπέμπεσθε — ἠσφαλισμένη ἦν — τῷ κοινῶς κατ. — ἀντὶ τοῦ κατὰ τοῦ οἴκου ὑμῶν. 9) μὲν] Lips. vulg., om. Kiessl., εἰ μὲν ἐδέχεσθε ἂν ἐμέ E. 13) κατωπηγίῳ] H. M. N. Gen.[a] Lips., κατοπ. vulg., καταπ. Kiessl. 14) καθ' ὑμῶν hoc loco H. M. Gen.[a] Lips., post πελέκεις vulg. 15) ἀντὶ τοῦ] H. M. Lips., ἤγουν Gen.[a] vulg. 15) τοῦ οἴκων M., τῶν οἴκων H. — 22) καλοῦμαι] καλούμενος codd. apud Gailium, qui postea καλοῦμαι ex M. P. affert.

(*Ὠθῶ τὸ ταῖς χερσὶν ἀποπέμπω· ὠθίζω δὲ τὸ ἀντωθῶ ὑπὸ πολλῶν ὠθούμενος.* 6.)

Vet. (*Καί μ' εἰ μέν κ' ἐδέχεσθε: καὶ εἰ μὲν ἐδέχεσθέ με, ἐκάθευδον ἂν ἀρκούμενος, καὶ εἰ μόνον τὸ στόμα ἐφίλησα — καὶ ταῦτα ἂν καλῶς εἶχεν ἡμῖν· ἄριστος γὰρ τῶν ἡλικιωτῶν εἰμί — εἰ δὲ ἀπώσασθε, τότε ἂν τὴν βίαν προσῆγον.* Gen.[b.])

Vs. 130. 131.

Rec. (*Χάριν οἶδα τῇ Κύπριδι καὶ μετ' ἐκείνην σοί· σὺ γάρ με ἐρρύσω τοῦ ἐρωτικοῦ πυρός.* 6.) — (*Ἐκ πύρος εἷλεν: ἐκ τοῦ πυρὸς τοῦ ἔρωτος ἐξείλου, ἐρρύσω, ἐξήγαγες.* *E. *H. *M. *N. *Y. Gen.[a.] *Lips.)

Vs. 133. 134.

Rec. *Ἔρως δ' ἄρα, καὶ Λιπαραίου: ὁ ἔρως γὰρ φλόγα ἀνάπτει καταπολὺ καυστικωτέραν τοῦ πυρὸς τοῦ Λιπαραίου, ἤγουν τοῦ ἐν τῇ Λιπάρᾳ τῇ νήσῳ.*

Vet. (*Καὶ Λιπαραίου Ἡφαίστου:* Gen.[b.] *Λιπάρα τόπος· ἤγουν τοῦ ἐν τῇ Λιπάρᾳ πυρός.* P. Gen.[b.] [*λιπαραῖον πῦρ τὸ εὔτρεφὲς καὶ μὴ λεπτόν, ἀλλ' ἐκ περιουσίας.* Vat. P. *ἢ καὶ ἄλλως· τὸ λιπαρᾶς ὕλης ἐπιδραξάμενον, οἷον δᾴδων ἢ ἑτέρων τοιούτων.* P.])

Vs. 136. 137.

Rec. *Καὶ παρθένον ἐκ θαλάμοιο: καὶ παρθένον δὲ ἐκ τοῦ δωματίου ἐφόβησεν, ἀντὶ τοῦ φυγεῖν ἐποίησε, σὺν κακαῖς μανίαις, ἤγουν κακῶς μαινομένην, καὶ νύμφην, ἤγουν*

130) *Φημί.* H. N. *ὁμολογῶ.* H.

133) *Οὕτως ὥσπερ εἰμί.* H. M. — [*Ἡμίφλεκτον:*] *ὑπὸ τοῦ πρὸς σὲ ἔρωτος.* E. N. — *Τοῦ καυστικοῦ.* P. *δαψιλοῦς, ἢ τοῦ ἐν τῇ Λιπάρᾳ τῇ νήσῳ.* H. M.

---

5) *ἄριστος*] Adert., *ἄρεστος* cod. 11) *ἐξείλου* seqq. ex Y. non afferuntur. 11) *ἐρρύσω*] Lips., om. Gen.[a.], *ἐρύσω* rell. 14) //Gen.[a.] Lips. c. lemm. *ἔρως δ' ἄρα.* 15) *τοῦ* ante *Λιπ.* om. Gen.[a.] 17) *Λιπάρα*] *λίπαρος* P., *λιπαρός* Gen.[b.] 18) *τοῦ*] P.[3.], *τὸν* P.[2.], *τὰ* Gen.[b.] — *τῇ* om. Gen.[b.] 20) *ὕλης*] P.[3.], *ὕλας* P.[2.] 23) //Gen.[a.] Lips. — *δὲ*] Lips. et ante Bas. II, *δ'* vulg. 25) *μαινομένων* Gen.[a.]

γυναῖκα ἄνδρα ἔχουσαν, ἐκ τοῦ θαλάμου φυγεῖν ἐποίησεν, ἔτι θερμὴν λιποῦσαν τὴν τοῦ ἀνδρὸς αὐτῆς κοίτην. — (Καὶ παρθένον πολλάκις ἐκμήνας, ἔτι ⟨τε⟩ νύμφην ⟨ἤγουν γυναῖκα ἄνδρα ἔχ⟩ουσαν ἐτάραξε καὶ ἐκίνησεν ὥστε καταλιπεῖν μὲν τοῦ ἰδίου ἀνδρὸς τὴν στρωμνήν, ἐπ' ἄλλους δὲ τραπῆναι. 6.)

Vs. 138—141.

Rec. Ὣς ὁ μέν: οὕτως ἐκεῖνος εἶπεν· ἐγὼ δὲ ἡ ταχεῖα εἰς τὸ πείθεσθαι τῆς χειρὸς αὐτοῦ ἁψαμένη — τὸ γὰρ οἱ ἀντὶ τοῦ αὐτοῦ λαμβάνεται — ἔκλινα αὐτὸν ἐπὶ τῆς μαλακῆς στρωμνῆς. καὶ ταχέως (σῶμα ἐπὶ σώματι *P.) ἐμαλακίζετο καὶ ἡσύχως διελεγόμεθα μετὰ ἡδονῆς.

Vet. (Χρὼς ἐπὶ χρωτί: καὶ ταχέως ἐμαλάχθημεν χρωτισθέντες ἀλλήλοις. Vat. P. Gen.[b]) — (Πεπαίνετο: ἤγουν ἐρωτικῶς ἐμαλθάσσετο. Eustath. 624, 63.) — (Καὶ τὰ πρόσωπα: τοῖς τε προσώποις ἐπυριάθημεν διὰ τὴν ἐνέργειαν. P. Gen.[b])

Vs. 142. 143.

Rec. Χ' ὡς κά τοι: καὶ ὡς ἂν σοι μὴ ἐπὶ πολὺ παρατεινομένους λόγους λέγουσα ἐνοχλοίην ὦ φίλη Σελήνη, ἐπράχθη τὰ μέγιστα, ἤγουν τὰ τῆς μίξεως, καὶ εἰς πόθον, ἀλλήλων δηλονότι, ἤλθομεν ἀμφότεροι.

136) Παρθενῶνος. M. τοῦ κοιτῶνος. P.

137) Γυναῖκα ἄνδρα ἔχουσαν. 2. — Σὺν φόβῳ ἐξήγαγεν. 4. 5. μετὰ φόβου ἐξήγειρε. M. εἰς φυγὴν ἔτρεψεν. 6. εἰς φυγὴν ἐνέβαλε. P. ἐτάραξε. 2. — Τὴν στρωμνήν. 2.

140) Σῶμα ἐπὶ σώματι ἐμαλακίζετο. P. — Ἐμαλθακίζετο. E. ἐκ τῆς τοῦ ἔρωτος δριμύτητος πρὸς μαλακότητα ἦλθεν, ἐμαλακίζετο. H. M.

141) Ἐρυθρότερα. M. — Ἡσύχως ἀλλήλοις ἐλαλοῦμεν. σχῆμα σεμνότητος. 4. ἡσύχως ἐλέγομεν ἀλλήλοις. E. ἡσύχως διελεγόμεθα ἀλλήλοις καὶ μετὰ ἡδονῆς. N. — Μετὰ ἡδονῆς. E. H. M.

142) Πολλά. M. — Λέγοιμι. M. λέγω. P.

---

4) οὖσαν Kiessl. seqq. Supplementum ex lin. 1. et Gl2. petitum. 8) //*Lips. οὕτως — ἡ ταχεῖα ... στρωμνῆς (omissis γὰρ et λαμβάνεται) — ταχέως — ἐμαλακίζετο — ἡσύχως etc. 14) ἐπ' ἀλλήλοις Vat. 16) τε om. P. 16) ἐπυριάσθημεν P. 19) //Gen.[a] c. lemm. Χ' ὡς καί τοι μὴ μακρά et Lips. c. lemm. Χ' ὡς κά τοι. 21) ἤγουν τ. τ. μ. om. Lips. 22) δηλονότι in fine Gen.[a]

Vet. (*Ἐπράχθη τὰ μέγιστα: τὰ τῆς συνουσίας. ἴσα δὲ ταῦτά φησιν, ὅτι ἐψιθυρίζομες ἁδύ.* Vat. P. Gen.[b])

Vs. 144—152.

Rec. (*Κοὔτε τι τῆνος ἐμίν*: Gen.[a]) *Καὶ οὐδὲν οὔτε ἐκεῖνος ἐμοὶ ἐπεμέμψατο, ἤγουν ἐνεκάλεσε, μέχρις ἐχθές — τὸ πλησίον δὲ διὰ τοῦ ἐχθὲς θέλει δηλοῦν — οὔτε ἐγὼ ἐκείνῳ ἐνεκάλεσα. ἀλλ' ἦλθεν εἰς ἐμὲ σήμερον ἥ τε τῆς Φιλίστας μήτηρ τῆς ἐμῆς γείτονος (δηλονότι καὶ αὐλητρίδος* E. M.), *καὶ ἡ τῆς Μελιξοῦς — ἐπὶ τοῦ αὐτοῦ ὀνόματος τὰ δύο ἄρθρα· καὶ ἐν ἄλλοις τοῦτο γίνεται πολλοῖς — [Σάμερον ἀνίκα πέρ τε: σήμερον,] ἡνίκα πρὸς τὸν οὐρανὸν ἔτρεχον αἵ ἵπποι, τοῦ ἅρματος δηλονότι τοῦ Ἡλίου, φέρουσαι ἀπὸ τοῦ ὠκεανοῦ τὴν Ἡμέραν τὴν ῥοδόπηχυν, ἤγουν τὴν λαμπράν, τὴν τερπνήν, τουτέστι κατὰ τὸν ὄρθρον, καὶ εἶπέ μοι ἄλλα τε πολλὰ καὶ ὅτι ἄρα ὁ Δέλφις ἔραται, ἀντὶ τοῦ ἐρᾷ, ἤγουν ἐρωτί τινος κατέχεται. καὶ εἴτε γυναικὸς πόθος ἔχει αὐτόν, εἴτε καὶ ἀνδρός, οὐκ ἔφη ὥστε εἰδέναι ἐμὲ ἀτρεκές, ἀντὶ τοῦ ἀτρεκῶς, ἤγουν φανερῶς· τοσοῦτον δὲ ἔφη, ὅτι ἀεί, ἀντὶ τοῦ συνεχῶς, ἀκράτῳ ἔρωτος ἐπεχεῖτο, ἤγουν συνεχῶς ἔπινεν οἶνον ἔρωτος — οἶνος δὲ ἔρωτος, ὃν πίνει τις μεμνημένος [τῆς ἐρωμένης ἢ] τοῦ ἐρωμένου — καὶ ἐς τέλος — ἐπιρρηματικῶς ἀντὶ τοῦ τελευταῖον — ᾤχετο φεύγων, ἀντὶ*

144) *Μέχρι τότε.* N.
146) [*Ἐμᾶς*:] *γείτονος δηλονότι.* E. — *Τῆς αὐλητρίας.* 2.
147) *Τὸ περ περισσόν.* H. P.
148) *Τὴν ῥοδόχειρα, τὴν λευκήν, ἣν Ὅμηρος ῥοδοδάκτυλον λέγει.* M. *διὰ τὸ ῥόδα ἐκχεῖν κατὰ τὸν ἀέρα.* P.
152) *Ἤγουν συνεχῶς ἔπινεν οἶνον ἔρωτος, ὃν πίνει τις μεμνημένος τοῦ ἐρωμένου.* v. — *Ἐκίρνα.* P. — *Λιπὼν τὸ συμπόσιον.* 4.

---

1) Ex Vat. haec Wart. posuit post *μίξεως* p. 126. 21., omisit Gaisf., uterque ad *τῆς μίξεως* ex 4. 5. attulit v. l. *τῆς συνουσίας.* 2) *ἐψιθυρίζομεν* Gen.[b] 4) //Gen.[a] Lips. 5) *ἐπεμέμψατο*] Lips., *ἐμέμψατο* vulg. 5) *μέχρις*] Gen.[a] Lips., *μέχρι* vulg. 7) *ἦλθον* E. 10) Circumsepta om. Lips., *σάμερον* et *σήμερον* om. Gen.[a] 12) *οἵ ἵπποι* Gen.[a] Lips. et ante Reisk. 13) *ῥοδόπαχυν* Gen.[a] 14) *καὶ* post *λαμπρὰν* ex Vat. inseruit Wart., quod deest in Gen.[a] Lips. 16) *ἐρωτικῶς τινὸς* Gen.[a] 17) *αὐτὸν* om. Gen.[a] 19) *ἀκράτῳ ... συνεχῶς* om. Kiessl. (Gen.[a] ?) 21) *τῆς ἐρ. ἢ* om. *v. Gen.[a] Lips. 21) *καὶ ἐς τέλος*] Lips. et tanquam lemma ante Ox. I, ubi *ΕΣ.*, tum *ἐς τέλος* pro lemmate Reisk. seqq., neque aliter Gen.[a] Ceterum haec ultima in edd. post *κυάθων* p. 128. 17. leguntur, unde transposui. — 24) GlE. male ad *αὐλητρίδος* relata erat. 24) *αὐληστρίας* cod. 27) *ἐκχεῖν*] Adert., *ἔχειν* cod.

τοῦ τρέχων ἀπῆλθε. — (Ἔραται: ἐραστὴς γέγονεν ἄλλου. οὐκ ἐπ' ἀκριβείας δὲ εἶχεν εἰπεῖν, εἴτε γυνὴ εἴτε ἀνήρ ἐστιν ὁ ἐρώμενος. 6.) — (*Σύνηθες ἦν τοῖς πίνουσι σπονδὴν ὑπὲρ οὗ ἐρᾷ τις ποιεῖν.* 6.)

Vet. (*Κοὺκ ἔτι τῆνος:* Gen.[b.] *καὶ οὐδὲν ἀλλήλοις ἐνεκαλέσαμεν. ἀλλ' ἦλθέ μοι, φησί, περὶ τὸν ὄρθρον καὶ Μελιξοῦς καὶ Φιλίστας, τῆς ἐμῆς αὐλητρίδος, μήτηρ καὶ εἶπεν ὅτι Δέλφις ἐρᾷ.* P. Gen.[b.] — ⟨*Ἀτὰρ τόσον:*⟩ *εἰπέ μοι τοῦτο μόνον, ὅτι ὁ Δέλφις ἐν συμποσίῳ τοῦ ἐρωμένου χάριν σκύφον συνεχῶς ἀκράτου ἐπεχεῖτο καὶ τέλος καταλιπὼν τὸ συμπόσιον ᾤχετο λέγων στεφανώσειν αὐτοῦ τὸν οἶκον.* Gen.[b.]) *εἰώθασι γὰρ οἱ ἐρῶντες ὑπὲρ τῶν ἀγαπωμένων κυάθους πλείονας ἐπιχεῖσθαι.* (*τὸν γὰρ ἐρώμενον* ⟨*ὀνομάζων*⟩ *ὁ ἐρασθεὶς τοῖς ἐκ τοῦ δαιτυμόνος διδομένοις ἀγγείοις οἶνον ἔβαλεν.* Gen.[b.]) *Καλλίμαχος·*

Ἔγχει καὶ πάλιν εἰπὲ Διοκλέος, οὐδ' Ἀχελῷος
κείνου τῶν ἱερῶν αἰσθάνεται κυάθων.

— (*Ἀτὰρ τόσον αἰὲν ἔρωτος: ἀκράτως ὑπὸ ἔρωτος κατείχετο καὶ ἔφυγέ σε.* Gen.[b.])

Vs. 153.

Rec. Καὶ ἔφη στεφάνοις κοσμεῖν αὐτῷ, τῷ ἐρωμένῳ δηλονότι, ἤγουν χάριν αὐτοῦ, ἐκεῖνα τὰ δώματα. — (Πυκάσδειν: πυκάζειν. δύο σημαίνει ἡ λέξις, τὸ καλλύνειν καὶ τὸ σκεπάζειν. 6.

---

6) *τὸ ὄρθρον* Gen.[b.] 7) *Φιλίστας*] Adert., *φιλήτας* codd. 8) Repetitur hoc scholium in Gen.[b.] post scholium infra extremo loco positum. — *εἶπε*] *κεἶπε* cod.[α.], *καὶ εἶπε* cod.[β.]; hoc certe loco *ἢ εἶπε* fuisse videtur, quum altera interpretatio addatur. Deinceps *φησί, ἀγγείλασα τοῦτο μόνον* sine *μοι* cod.[β.] 9) *ἐν συμποσίῳ . . . ἐπεχεῖτο* ex Harl. protulit Wordsw. — *κυάθους*] *κυάθου* Gen.[β.], *σκύφον* Gen.[α.], *σκύφος* Harl. 12) //Gen.[b.], ubi *χάριν τῶν ἐρωμένων κυάθους πλείονας.* 15) *Callim. Epigr.* 31. 16) *ἔχει* Gen.[b.] — *πάλιν*] 4. 5. (Gen.[b.] *πᾶσιν* ante Reisk., qui *πάλιν.* — *εἶπε* 4. 5. et ante Kiessl. — *Διοκλέους* Gen.[b.] — *ὁ δ'* 4. 5., *ὁ δὲ* Gen.[b.] 17) *κείνου*] Gaisf. ex AP. XII, 51, *ἐκείνου* 4. 5. Gen.[b.], om. vulg. — *ὢν* 4. — *αἰσθάνεσθαι* ante Heins. — *κυάθους* Gen.[b.] 18) Hoc scholium cum adhaerente superioris repetitione in cod. male ante Callimachi locum insertum est. 21) //Gen.[a.] Lips. 22) *πυκάσδειν: πυκάζειν*] *Π Τ Κ.* *πυκάζειν* Wart. seqq., *ΠΤΚΑΣΔΕΝ* Amst.

Vs. 154—156.

Rec. Ταῦτά μοι ἡ φίλη εἶπε· καὶ ἔστιν ἀληθὴς κατὰ ταῦτα. ὄντως γὰρ πρὸς ἐμὲ καὶ τρὶς καὶ τετράκις τῆς ἡμέρας ἤρχετο, καὶ εἰς τὸν οἶκόν μου πολλάκις ἐτίθει τὴν Δωρίδα ὄλπαν, ἴσως τὴν λήκυθον, τὴν ἔχουσαν τὸ ἔλαιον, ᾧ ἐχρῶντο ἐν ταῖς παλαίστραις. — (〈Ὄλπαν:〉 τὸ ἀγγεῖον τὸ ἐλαιοδόχον. ὄλπις οἱονεὶ ἐλαιόπις καὶ κατὰ συγκοπὴν ὄλπις. 6.)

Vet. Ἄλλως. Ὄλπαν: ὄλπη κυρίως ἡ δερματίνη λήκυθος, δι' ἧς ἔστιν ὀπιπεύεσθαι τὸ ἔλαιον. νῦν δὲ ἴσως τὴν χαλκῆν φησὶ λήκυθον διὰ τὸ Δωρίδα φάναι ἀντὶ Κορινθίας. τὰ γὰρ Κορίνθια χαλκώματα διαβεβόηται.

Vs. 158.

Vet. Ἦ ῥ' οὐκ ἄλλο τι: ἠθικῶς ἐπαπορουσά φησι· ἆρα οὐκ ἔχει ἄλλο τι τερπνὸν καὶ ἡμῶν ἐπιλέλησται;

Vs. 159. 160.

Rec. Νῦν μὲν τοῖς φίλτροις καταθύσομαι: τοῖς φαρμάκοις τοῖς εἰς φιλίαν κινοῦσι καταγοητεύσω. ἐὰν δέ με ἔτι λυπῇ, νὴ τὰς Μοίρας τὴν τοῦ Ἅιδου κρούσει πύλην, τουτέστιν ἀποθανεῖται. — (Ναὶ μὰ τὰς Μοίρας ἀράξει τὰς πύλας τοῦ ᾅδου, τουτέστι τοῦ τάφου· ᾅδης γὰρ ὁ τάφος. 6.)

156) Ἐν ἐμοὶ P. Lips. — Διότι οἱ Δωριεῖς ἐφεῦρον αὐτήν. H. P. — Τὸ ἐλαιοδόχον ἀγγεῖον, ᾧπερ ἐχρῶντο ἐν ταῖς παλαίστραις. 2.

157) Δωδεκάτην ἔχει ἡμέραν. H. M. P. Lips.

158) Ἤγουν καλλίονα γυναῖκα. H. M. P. τέρψιν αὐτῷ ἐμποιοῦν. H. M. P. Lips.

159) Τοῖς πρὸς φιλίαν συμβαλλομένοις. E. — Καταγοητεύσω. E. — Ἐὰν δὲ κατά τι ἐμέ. N.

160) *Κρούσει, ἤγουν τεθνήξεται. E. κρούσει, πλήξει, εἰς Ἅιδου ἀφίξεται, ἀποθανεῖται. H. M. P. κρούσει, κόψει. Stop.

---

2) //Gen.[a] sola extrema habet in hunc modum: τὰν Δωρίδαν πολλάκις ὄλπαν: ἴσως seqq., *Lips. ἡ φίλη εἶπε — κατὰ ταῦτα — ὄντως — πρὸς ἐμὲ — τῆς ἡμέρας ἤρχετο — ἐν ἐμοί, tum ἴσως seqq. in marg. bis in duabus columnis. 5) ᾧ ἐχρίετο εἰς τὴν παλαίστραν E. 7) ὄλπις bis] Amst., ὀλπὶς Kiessl. seqq. 8) //Gen.[b] — ὄλπαν] Gen.[b] et Reisk. seqq., ΟΛΠ. Ox., om. antea. 9) ὀπιπεύεσθαι] Alberti ad Hesych. p. 747, ὀπτήσασθαι vulg. 10) φανῆναι ἐπὶ κορινθίαν Vulc., ἐπικορινθίαν Gen.[b] 13) //Gen.[b], ubi ἦρ'. 13) ἐπαπ. ἠθ. P. Gen.[b] 14) ἄλλο τι] P. Gen.[b], τι ἄλλο vulg. 16) //*Lips. φαρμάκοις . . . ἐὰν δὲ ἔτι ἐμὲ λυπῇ — νὴ τὰς et man. rec. ἀράξει, κρούσει, τουτ. ἀποθ., praeterea in marg. ἀραξεῖ: κρούσει τουτ. ἀποθ. 18) λυπῇ] Lips., λυπήσῃ vulg.

Vet. (*Αἰ δ' ἔτι κἠμέ*: ἐὰν δέ τί με λυπῇ, κρούσει τὴν Αιδου πύλην, τουτέστι καταχειριοῦμαι αὐτόν. Gen.[b.])

Vs. 161. 162.

Rec. *Τοῖά οἱ ἐν κίστα*: τοιαῦτα κακὰ φάρμακά φημι κατ' αὐτοῦ φυλάσσειν ἐν κίστῃ, ἤγουν ἐν κιβωτίῳ, ὦ δέσποινα — πρὸς τὴν Σελήνην τοῦτο λέγει — παρὰ τοῦ ἐμοῦ φίλου τοῦ Ἀσσυρίου ταῦτα μαθοῦσα.

Vet. (*Ἀσσυρίω δέσποινα*: Gen.[b.] παρὰ Ἀσσυρίου τινός φησι τὰ φάρμακα μεμαθηκέναι. δέσποιναν δὲ τὴν Σελήνην φησί. 5. P. Gen.[b.] [ἢ οὕτως· ὦ Σελήνη. τοῦ φίλου μου Ἀσσυρίου. P. Gen.[b.]]) — Ἀσσύριοι δὲ ἔθνος Περσικὸν ἀκριβὲς εἰς μαγείαν, μεταξὺ ὂν Τίγριδος καὶ Εὐφράτου. μέχρι δὲ τούτων τῶν περάτων Σαρδανάπαλος ἐξέτεινε τὰ ὅρια.

Vs. 163. 164.

Rec. *Ἀλλὰ τὺ μέν*: ἀλλὰ σὺ μὲν ὦ σεβασμία Σελήνη χαίρουσα πρὸς ὠκεανὸν τρέπε τὸ ἅρμα, ἤγουν πρὸς δύσιν — δοκεῖ γὰρ ἐπέχειν τὴν Σελήνην διὰ τὰς μαγείας — ἐγὼ δὲ ὑπομενῶ τὸν ἐμὸν πόνον, ὥσπερ ἀνεδεξάμην αὐτόν.

Vs. 165. 166.

Rec. Χαῖρε Σελήνη λαμπρά. — [*Χαίρετε ἄλλοι ἀστέρες εὐκήλοιο*: τὸ ἑξῆς·] χαίρετε δὲ ἄλλοι ἀστέρες ἀκόλουθοι τῆς Νυκτὸς τῆς εὐκήλου, ἤγουν τῆς ἡσύχου, κατὰ τὴν ἄντυγα, ἀντὶ τοῦ κατὰ τὸ ἅρμα αὐτῆς. ἀπὸ τοῦ ἔκηλος

162) Ὦ Ἄρτεμι, πρὸς τὴν Σελήνην. M. — Μαθοῦσα τοιαῦτα φάρμακα ποιεῖν. M.

163) Ἵππους, ἤγουν τὸ ἅρμα. M. P.

164) Ὑπομενῶ, βαστάσω. H. M. P. — Ὥσπερ καὶ μέχρι τοῦ νῦν ὑπέμεινα, ἀνεδεξάμην αὐτόν. M.

---

2) ἀΐδου cod. 4) //Gen.[a.] Lips., hic bis et in marg. et man. rec. inter lineas super Vs. 160. — *κίστῃ* Gen.[a.] 6) πρὸς...λέγει om. Gen.[a.] et utroque loco Lips. Hic tamen super δέσποινα habet πρὸς τὴν Σελήνην. 7) ταῦτα] E. I. M. Y. Gen.[a.] Lips., τοιαῦτα vulg. 9) ἔφη P. 10) ὦ] τῇ codd. Sunt glossae. 11) //Om. Gen.[a.b.] Lips. 16) //*Lips. σὺ — πρὸς — ἤγουν τὸ ἅρμα — σεβασμία — βαστάσω, ὑπομενῶ — ἀναδεξάμην αὐτόν. 21) //*Lips. λαμπρά. 22) //Gen.[a.] Lips. inde ab χαίρετε δ' ἄλλοι (sic). 24) ἤγουν pro ἀντὶ τοῦ Gen.[a.], ante ἀντὶ Wart. ex Vat. 24) ἔκηλος Lips.

κατὰ πλεονασμὸν τοῦ υ εὔκηλος, ὃ χωρὶς μὲν τοῦ υ δασύνεται, ὅταν δὲ προσλάβῃ τὸ υ, ψιλοῦται. — (Σελήνη καὶ σεληναία τὸ αὐτό· πλὴν τὸ μέν ἐστι κοινόν, τὸ δὲ σεληναία ποιητικόν. E. M.) — (*Νυκτὸς ὀπαδοί: δοκοῦσι γὰρ οἱ ἀστέρες ἀκολουθεῖν τῇ νυκτί. ἀπελθούσης γὰρ τῆς νυκτὸς οὐκέτι φαίνονται.* E. N. Gen.[a])

Vet. (*Εὐκήλοιο κατ' ἄντιγα Νυκτός: ὦ ἀστέρες εὐκήλου Νυκτὸς κατ' ἄντυγα ὀπαδοί* Gen.[b], *τουτέστιν ἀκολουθοῦντες τῇ Νυκτὶ καὶ συμπαρεπόμενοι τῷ ἅρματι αὐτῆς. ἄντυγα δὲ ἀπὸ μέρους τὸ ἅρμα φησί.* 4. 5. Gen.[b] *λέγει δὲ τὴν Νύκτα ἐφ' ἅρματος ὀχεῖσθαι.* Gen.[b]) — *Νυκτὸς ὀπαδοί: ὅτι δὲ ἐπὶ ἅρματος ὀχεῖται ἡ Νύξ, Εὐριπίδης*

Ὦ Νὺξ ἱερά,
ὡς μακρὸν ἵππευμα διώκεις
ἀστροειδέα νῶτα διφρεύουσα.

ἀστέρες δέ, ὅτι ἐπιγενομένης τῆς νυκτὸς φαίνονται οἱ ἀστέρες. ποιητικὸν δὲ τὸ τὴν νύκτα ἐπὶ ἅρματος ὀχεῖσθαι καὶ παράγειν ἡνιοχοῦσαν.

165) *Σελήνη κοινόν, σελαναία ποιητικὸν τὸ αὐτό.* 1. 2. 4. (?) Lips. — [*Λιπαρόχροε:*] *διὰ τὸ φῶς.* E.

166) *Τὴν περιφέρειαν τοῦ σφαιρώματος.* 5. *τὸ τοῦ οὐρανοῦ ἡμισφαίριον. ἢ τὸ Σελήνης τὸ ἅρμα.* M. — *Ἀκολουθοὶ τῆς Νυκτός, ὑπουργοί.* M. — *Τέλος εἰδυλλίου δευτέρου τῶν βουκολικῶν.* 5.

---

2) *ὅταν*] E. M. Gen.[a] Lips., *ὅτε* vulg. 2) *τὸ υ*] Gen.[a] Lips., *αὐτὸ* vulg. 4) *νυκτὸς δὲ ὀπαδοὺς τοὺς ἀστέρας φησίν, ἐπειδὴ δοκοῦσιν ἀκ.* E. N. 8) *ὀπαδοὶ*] Adert., *ὁπαδοὶ* cod., 11) //Om. Gen.[a.b.] Lips. 13) *Eurip. Andromed. fr.* 1, ubi ex Aristophane rectius *ἀστεροειδέα ν. διφρεύουσ'*.

Idyll. III.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Ἀμαρυλλὶς ἢ Αἰπόλος ἢ Κωμαστής. Δωρίδι. — (Θεοκρίτου Ἀμαρυλλὶς ἢ Αἰπόλος ἢ Κωμαστής. Δωρίδι. ἠθοποιία ἐρωτική. M. — Κῶμος Δωρίδι. H. I. P. Y.)

(Δημητρίου τοῦ Τρικλινίου. Καὶ τὸ παρὸν εἰδύλλιον σύγκειται ἐκ στίχων δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων νδ´, ὧν τελευταῖος· ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο. M.)

Vs. 1. 2.

Vet. Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα: τὸ πρόσωπον οὐκ ἔστι φανερὸν τὸ λέγον. οἱ μέν φασιν αὐτὸν Θεόκριτον εἶναι διὰ τὸ σιμὸν αὐτὸν καταφαίνεσθαι· οἱ δὲ Βάττον αἰπόλον τινά, ὃν ἐν τῷ Αἴγωνι εἰσάγει τῆς Ἀμαρυλλίδος ἐρῶντα. ἀπρεπὲς γὰρ τὸν Θεόκριτον τῆς ἀγρῴας ἐρᾶν (γυναικός Gen.[b]), ὥστε καὶ ἐν ἀγρῷ διάγειν. — Τὸν Τίτυρον οἱ μὲν κύριον, οἱ δὲ Σάτυρον εἶναί φασι. τινὲς δὲ διὰ τὸ σιμὸς τὸν Θεόκριτον οἴονται κωμάζειν, Σιμιχίδην καλοῦντες. — Καὶ ὁ Τίτυρος: τοὺς τράγους τιτύρους λέγουσι· νῦν δὲ ὄνομά ἐστιν αἰπόλου κατ' ἐμφέρειαν τοῦ χαρακτῆρος. — Ἄλλως. (Καὶ ὁ Τίτυρος αὐτὰς ἐλαύνει: Gen.[b]) ὄνομα κύριον ὁ Τίτυρος, τινὲς [δὲ] φασίν, ὡς τὸ Σιληνὸς ὁ

1) Ἐρωτικῶς ἀπέρχομαι. E. M. N. μετὰ κώμου, ἤγουν ἐρωτικῶς παραγίνομαι, κῶμος γὰρ ἡ μέθη καὶ ὁ ὕπνος καὶ ᾠδὴ πορνική· καὶ τὸ κοιμᾶσθαι. 2. 6.

2) [Ἐλαύνει:] εἰς νομήν. 4.

---

7) τριμέτρων cod. 11) //Gen.[b] sine ποτὶ τὰν Ἀ. 12) οὐκ ἐνιφανερὸν Gen.[b] 12) λέγον] 4. 5. P. Gen.[b], λεγόμενον 3., προλογίζον vulg. — καὶ οἱ μὲν Gen.[b] 14) ὃς pro ὃν Gen.[b] 14) τῷ Αἴγωνι] τῷ Αἰγῶνι Gen.[b], τῇ Αἰγῶνι 3. 4. 5. P. Bar., ἑτέρῳ vulg. 15) Θεόκριτος pro τὸν Θ. Gen.[b] 15) ἀγρῴας] ἀγρωίας vulg., ἀγροικίας Bar. 16) //Haec transposui in hunc locum ex fine Hypothesis, ubi desunt in E. F. M. N. Y. Gen.[a] Lips. et cum reliqua hypothesi in Gen.[b] 17) τὸ σιμὸς] Meinekius, τοῦ σιμοῦ vulg., cf. SchVet. Vs. 8. 19) //Om. Gen.[a b] Lips. 19) τράγους] Scaliger et Reinesius, ἀργοὺς vulg. 21) //Gen.[b] sine ἄλλως. 22) ὁ Τίτυρος om. Gen.[b] 22) ὡς τὸ Σιληνὸς] ὅτι τις Σιληνὸς Gen.[b], ὅτι Σειληνός τις vulg. 22) ὁ] οὐ vulg. — 23) ἔρχομαι M. 25) κοιμᾶσθαι] Dueb. coll. EtM. 550, 52 et 551, 3, κωμᾶσθαι codd.

Σικελιώτης. ἄλλοι δὲ τοὺς τράγους· ἕτεροι τοὺς Σατύρους· ἔνιοι ὄνομα πόλεως Κρήτης· ἄλλοι δὲ τοὺς προσπόλους τῶν θεῶν· τινὲς δὲ καὶ κάλαμον. οὐκ ἔστι δὲ ἄλλο ἢ ὄνομα αἰπόλου τινός. — *Ἄλλως. Κωμάσδω: τὸ κωμάζειν λέγεται ἐπὶ τῶν κατὰ νύκτα εἰς τὰς ἐρωμένας ἀπερχομένων, ὡς Ἀριστοφάνης ἐν Πλούτῳ·*

ἔοικε δ' ἐπὶ κῶμον βαδίζειν.

— (⟨*Κωμάσδω:*⟩ *μετὰ ᾠδῆς καὶ μετὰ κώμου συνδιάγω, ἀπέρχομαι, φοιτῶ μετὰ ἀνέσεως.* 4.)

Rec. (*Κωμάσδω ποτὶ τὰν Ἀμαρυλλίδα, ταὶ δέ μοι αἶγες βόσκονται κατ' ὄρεος:* Gen.[a]) *ἀπέρχομαι πρὸς τὴν Ἀμαρυλλίδα ἀποπειρασόμενος αὐτῆς δι' ᾠδῶν καὶ λόγων τῶν ἐπὶ τοῦτο συντεινόντων. Τίτυρος δὲ ὁ πίθηκος ὁ μικρὰν ἔχων οὐράν· ἐνταῦθα δὲ ὄνομα κύριον.* — (*Κωμάζω τὸ ἐρωτικῶς ἔρχομαι καὶ φοιτῶ μετὰ ἀνέσεως. κῶμος γὰρ κυρίως ὁ ὕμνος, ὡς καὶ Πίνδαρος, ἡ Θηβαία λύρα, φησὶ πολλαχοῦ.* Bar.) — (*Τὸ Τίτυρος ἢ ὄνομα ποιμένος ἐστὶν ὡς Σάτυρος.* E. Y. Gen.[a] *ἢ τίτυρος ὁ πίθηκος, τουτέστιν ὁ τράγος ὁ μικρὰν ἔχων οὐράν. ἐνταῦθα δέ, ὡς δοκεῖ, ὄνομα ποιμένος ἐστίν.* E. Y.)

Vs. 3.

Vet. *Ἐμὶν τὸ καλὸν πεφιλαμένε: ἤγουν διὰ τὸ κάλλος ἐμοὶ πεφιλημένε. ἢ τὸ καλὸν ἀντὶ τοῦ καλῶς.* — *Ἢ* (*τὸ καλὸν πεφιλαμένε:* Gen.[b]) *διὰ τὸ καλόν, ἤγουν διὰ τὸ καλὸς εἶναι* [*ἢ διὰ τὸ καλόν σε εἶναι*] *πεφιλαμένε, ἤγουν ἀγαπώμενε, ὅ ἐστιν ἄξιε ἀγαπᾶσθαι. ἢ τὸ καλὸν ἀντὶ τοῦ λίαν.*

Rec. *Ἢ κατὰ τὴν ἀδιάβλητον φιλίαν.* — (*ΚΑΛ. ὀνοματικὸν ἐπίρρημα ὡς παρὰ τῷ Ὁμήρῳ τὸ ἐνύπνιον ἀντὶ τοῦ ἐνυπνίως.* 2. — *Βόσκει ὁ ποιμὴν τὰ θρέμματα, καὶ ὁ τόπος*

3) [*Τὸ καλόν:*] *κατά.* Lips.

---

1) *ἕτεροι δὲ* Gen.[b] 2) *καὶ ἄλλοι* Gen.[b] 3) *ἀλλ' ἢ* Gen.[b] 4) //Gen.[b], post *ῥηγνυμένων* pag. 134. 20. omissis *ἄλλως. κωμάσδω.* 5) *διὰ* pro *ἐπὶ* p. 5) *ἐπερχομένων καὶ Ἀρ.* Gen.[b] 6) *Aristoph. Plut.* 1040. 10) //Gen.[a] Lips. 12) *αὐτῆς* om. Gen.[a] 13) *τούτῳ* Gen.[a] 14) *μακρὰν* l. 17) *τὸ Τίτυρος* et *ἐστὶν* om. Gen.[a] 17) *ἢ Σατ.* Gen.[a] 21) //Om. Gen.[a.b.] Lips. 23) //Gen.[b], ubi *διὰ τὸ εἶναι πεφιλαμένε* mediis omissis. 25) *ἤγουν*] *ἢ καλῶς* vulg. 26) *ὃ* pro *ἢ* Gen.[b] 28) //*Lips. Stop. 28) *ὀνοματικὸν*] EtM. 341, 48, *ὀνομαστικὸν* cod. 29) *ὡς*] *καὶ* cod. — *Hom. Il. B,* 46.

βόσκει, ἐπεὶ προτίθησι τὴν βοσκήν· τὰ θρέμματα δὲ βόσκονται ὑπὸ τοῦ νομέως καὶ τοῦ τόπου. 2.)

Vs. 4.

Vet. *Καὶ ποτὶ τὰν κράναν*: *οὐκ ἔλαττον τῆς τροφῆς ὀνίνησι τὰ θρέμματα τὸ πιεῖν. Ὅμηρος·*

πιόμεν᾽ ἐκ βοτάνης.

Rec. *Καὶ τὸν ἐνόρχαν*: *τὸν ὄρχεις μεγάλους ἔχοντα.*

Vet. (*Τὸν τὸν ἐνόρχαν*: *ἐνόρχαν λέγει* Gen.[b.]) *τὸν τέλειον, ἢ ἡμιτομίαν. καὶ Ὅμηρος·*

πεντήκοντα δ᾽ ἔνορχα παρ᾽ αὐτόθι.

Vs. 5.

Rec. *Κνάκωνα*: *τὸν κνήκου χροιὰν ἔχοντα ἔκφευγε, ἵνα μή σε κερατίσῃ.*

Vet. *Κνάκωνα*: *τὸν λευκὸν τράγον ἀπὸ τῆς κνήκου τοῦ σπέρματος λευκοῦ ὄντος· ἢ λάγνον.* — (*Κνάκωνα φυλάσσεο*: *λευκὸν ἢ πυρρὸν ἀπὸ τῆς κνήκου τοῦ σπέρματος.* Gen.[b.] Phav.) — *Μή τυ κορύψῃ*: *μή σε κερατίσῃ. τὸ γὰρ κερατίζειν κορύπτειν οἱ Ἀττικοὶ λέγουσιν, ὡς συντρεχόντων ἀλλήλοις τῶν κριῶν καὶ ταῖς κορυφαῖς πληττόντων καὶ ῥηγνυμένων.* — *Τὸ δὲ κορύψῃ οὐ περισπᾶται. τὰ γὰρ ὑποτακτικὰ ὁμοίως ἡμῖν οἱ Δωριεῖς προφέρουσι.*

4) *Τὸν βαρβάτον τὸν μεγάλους ὄρχεις ἔχοντα.* M.

5) *Κνῆκος εἶδος φυτοῦ, οὗ ὁ καρπὸς πυρρακίζων.* 4. Q. — *Ὑπόπτευε, εὐλαβοῦ, φοβοῦ, ἔκφευγε.* 2.

---

4) //Gen.[b.] c. lemm. *ποτὶ τ. κρ. ἄγε.* 5) *ὀνήνισι* ante Xyl. 6) *Hom. Il. N*, 493. — *πιόμεν᾽*] Toup. ex Homero, *πίομεν* vulg., *πίωμεν* 4.[l.] 5.[l.] Gen.[b.] — *βοτάνης*] 4. 5. Bar. (Gen.[b.]), *βοτανῶν* vulg. ante Kiessl. 7) //*Lips. 8) //Gen.[b.] sine *τόν*. 9) *ὑμιντομίαν* omisso deinceps *καὶ* Gen.[b.] 10) *Hom. Il. Ψ*, 147. — *πεντοετῆ δ᾽* Call., *πενταετῆ δ᾽* Brub. seqq. ante Heins. — *ἔνορχα*] *ἐνόρχα* vulg., *ἐνόρχους* 3. 5. Gen.[b.] 12) //*Lips. 12) *ἔκφευγε*] Lips., *ἔκφυγε* vulg. 14) //Om. Gen.[a. b.] Lips. 14) *κνήκου*] Duebnerus, *κνήκης* vulg. 15) *φυλ.* om. Phav. 16) *ἤπυρον* Gen.[b.] — *τῆς κνήκου*] *κνήκου* Phav., *τοῦ κνήκους* Gen.[b.] 17) //Gen.[b.] post sequens schol. sine lemmate in hunc modum: *τὸ δὲ κορύψῃ ἀντὶ τοῦ κερατίσῃ. τὸ γὰρ* seqq., Phav. s. v. *κορύψῃ* hoc initio: *μήτι κορύψῃ: ἀντὶ τοῦ κερατίσῃ. τὸ γὰρ κορ. ἀντὶ τοῦ κερατ.* 18) *κερατίειν* post *κορ.* Gen.[b.] 18) *κορύπτειν*] Gen.[b.] Phav., *κορύττειν* vulg. 18) *οἱ δὲ Ἀτ.* Gen.[b.], *Ἀττικὴ δὲ ἡ λέξις· οἱ γὰρ Ἀττικοὶ τοῦτό φασιν ὡς συνερχομένων* Vulc. 19) *ταῖς κορυφαῖς*] 3. 4. 5. (Gen.[b.]) Phav., *τὰς κορυφὰς* vulg. ante Kiessl. 19) *ῥηγνυμένων*] Gen.[b] Phav., *ῥηγνυομένων* vulg. 20) //Gen.[b.] sine *δέ*. 20) *τὸ* — *ὑποτακτικὸν* Gen.[b.] 21) *προσφέρουσι* Gen.[b.], *ἐκφέρουσι* Vulc.

Vs. 6.

Rec. (Χαρίεις ἐπὶ εἴδους, καὶ χαρίεσσα καὶ χαρίεν οὐδέτερον· χαρίεις καὶ ὁ πεπαιδευμένος, ὁ ἀστεῖά τινα λέγων μετὰ χάριτος. 2. 6.)

Vs. 7.

Vet. Τὸν ἐρωτύλον: [τὸν ἐραστήν,] τὸν ἐρωτικὸν ὑποκοριστικῶς, οὐχ ὥς τινες κύριον. παροξύνονται δὲ τὰ τοιαῦτα πλὴν τοῦ Ὄξυλος καὶ τοῦ

παῖδ' ὀλοφυρομένη Ἴτυλον

οἷον ἐρωτύλος, Αἰσχύλος, Ἑρμύλος, Σιμύλος.

Vs. 8—11.

Vet. Ἡρά γέ τοι σιμός: τινὲς διὰ τὸ σιμὸς τὸν Θεόκριτον ⟨κωμάζειν⟩ φασίν, ἐπεὶ καὶ ἐν τοῖς Θαλυσίοις Σιμιχίδας ὠνόμασται. πλὴν οὐκ αἰπόλος ὁ Θεόκριτος, οὐδὲ Σιμιχίδας δύναται ἀπὸ τοῦ σιμὸς εἶναι, ἀλλ' ἀπὸ Σιμίχου πατρωνυμικῶς. — Ἠνί: ἀντὶ τοῦ ἰδού. δασύνεται δὲ καὶ

7) Ὑποκοριστικὸν ἀντὶ τοῦ ἐραστήν. Lips.

8) [Σιμός:] πατζός. M. P. — [Καταφαίνομαι:] περισσὴ ἡ κατά. H. P. Lips. — Ἐν τῷ συνεγγὺς εἶναι, ἢ ⟨εἰ⟩ εἶ συνεγγύς. P. πλησίον ὤν σου. M.

9) Ὁ πολλὰς καθειμένας τρίχας ἔχων τοῦ πώγωνος. 4. 5. μακρὸν ἔχων γένειον. M. P. — Ἀποπνιγῆναι. M. P. Lips. — [Ποιησεῖς:] κοινὴ συλλαβή ἐστι τὸ ποι, ὡς Ἡφαιστίων φησίν. οὐ δεῖ οὖν ποήσεις γράφειν. 1.

10) Ἐκεῖθεν. E. H. ἐκεῖθεν κατεβίβασα. 1. 2. M. P. Lips. ἐδρεψάμην αὐτά. M. P.

---

3) *αστεα τ. λεγειν* Wart. 6) //Gen.[b], ubi h. sch. et seqq. hoc ordine leguntur: 1) Ἐκέλευ, 2) Ἡ ῥά γε, 3) Ἐρωτύλλον, 4) Ἡνί, 5) Τηνῶθε. 6) ἐρωτύλλον sine τὸν Gen.[b] 6) τὸν ἐραστὴν om. Gen.[b] 7) κυρίως 5. Gen.[b] 8) Ὄξυλος] Schaef. ad Greg. p. 290 et Bast. Ep. Crit. p. 244, ὄξυλος Hemsterh. et Toup., ὄξυνος Gen.[b] vulg. 8) τοῦ] Gen.[b] et ante Heins., τοῦ Ἴτυλος vulg. 9) *Hom. Od. T*, 522. — ὀλοφυρομένη] (Gen.[b]) et auctore Toupio Kiessl., —νην vulg. — ἰτύλλον Gen.[b], ἴτυλλον ante Brub. 10) ἐρωτύλλος Gen.[b] 10) Δριμύλος pro Ἑρμύλος Gen.[b] 12) //Gen.[b], ubi ἢ ῥά γε. — τὸ σιμὸς] τοῦ σιμοῦ vulg. 13) θαλυσίας Gen.[b] — *Id. VII*, 21. 14) ὁ om. Gen.[b] 15) δύναται et εἶναι add. Gen.[b] 15) σιμὸς] Gen.[b], σιμοῦ vulg. et Phav. s. v. Σιμιχίδας. 16) πατρωνυμικῶς] Gen.[b], —κὸν vulg., —κοῦ Phav. 16) //Gen.[b], ubi καὶ δασ. τὸ ἡ μετὰ τοῦ ὀξυτόνου, καὶ π. Ἀ. τοῦτο προφερόμεθα. — 19) ἐν τῷ συν.] Duebn., συν. ἐν τῷ cod. 19) εἰ] add. Duebn.

ὀξύνεται τὸ ἡνί, καὶ παρ' Ἀττικοῖς οὕτω προφέρεται. — Τηνῶδε καθεῖλον: ἐξ ἐκείνου τοῦ τόπου. ἐκεῖνος γὰρ ἦν· οἱ δὲ Δωριεῖς τὸ ἐκεῖνος τῆνός φασιν. — Ἐκέλευ: ἐκέλευσας ἦν, καὶ κατὰ ἀποκοπὴν [Δωρικῶς] ἐκέλευ. ἢ κέλω λέγεται τὸ προστάττω, ὁ παρατατικὸς ἐκελόμην ἐκέλου καὶ Αἰολικῶς ἐκέλευ. οἱ γὰρ Αἰολεῖς τὴν ου εἰς ευ τρέπουσιν. *Rec.* Ἠ ῥά τοι: ἆρά σοι ὦ Νύμφη σιμὸς φαίνομαι εἶναι ἀπὸ τοῦ πλησίον; ἤγουν συνιζηκυῖαν ἔχων τὴν ῥῖνα, καὶ προγένειος, ἤγουν προμήκης τὴν γενειάδα. Νύμφην δὲ λέγει αὐτὴν ὡς περικαλλῆ καὶ Νύμφαις ἐοικυῖαν. Νύμφαι δέ εἰσι τὰ ἐν γυναικείῳ σχήματι ἐν τοῖς ὄρεσι φαινόμενα δαιμόνια. — Ὦ μ' ἐκέλευ: ἀφ' οὗ τόπου (ἐκέλου, τουτέστιν *1. *2. E. Gen.[a] Lips.) ἐκέλευες. κέλομαι γὰρ ποιητικῶς τὸ κελεύω καὶ προστάττω, ἀφ' οὗ τὸ ἐκέλου καὶ ἐκέλευ.

Vs. 12.

Vet. Θᾶσαι μὰν (θυμαλγές Gen.[b]): θέασαι δὴ τὴν λύπην, ἥτις τὴν ψυχήν μου ἀλγεῖν ποιεῖ. ἡ μεταφορὰ ἀπὸ τῶν ὁρατῶν ἐπὶ τὰ νοούμενα· (ἐκ γὰρ τῶν ἐκτὸς δηλοῦνται καὶ τὰ ἐντός. καὶ Bar.) Ὅμηρος·

ὀσσόμενος πατέρ' ἐσθλόν.

(ἢ θᾶσαί μιν ἀντὶ ⟨τοῦ⟩ ἐμοῦ. Gen.[b])

Vs. 13.

Vet. Ἁ βομβεῦσα μέλισσα: εὔχεται γενέσθαι μέλισσα, ἢ ἵνα κεντήσας ἀντοδυνήσῃ, ἢ ὑπὲρ τοῦ λαθεῖν εἰσελθών.

12) Θέασαι τὸ ἐμὸν ἄχος τὸ τὴν ψυχήν μου λυποῦν. H. M. P. Y. Lips. τὸ τὴν ἐμὴν ψυχὴν ἀλγοῦν. E.

---

2) //Gen.[b], ubi τηνῶθε. 3) //Gen.[b] sine lemm. 4) Δωρικῶς om. Gen.[b] 4) κέλλω — ἐκελλόμην ἐκέλλου Gen.[b] 6) τὸ ου Gen.[b] 7) //Gen.[a] Lips., ille c. lemm. ἢ ῥά γέ τοι σιμός. — ἆρά σοι] E. M. Gen.[a] Lips. et ante Heins., ἢ ῥά σοι vulg. 7) σιμὸς ἤγουν E. 11) καὶ ante τὰ N. 12) //*1. *2. Gen.[a] Lips. — ἀφ' οὗ τόπου] ἐφ' οὗ τόπου vulg., ἀφ' οὗ E. Gen.[a] *1. *2. *Lips., qui sequentia in marg. habet. 12) ἐκέλευ Lips., ἐκελεύου *1. *2. 13) κέλημαι M. — γὰρ om. *1. *2. M. Gen.[a] Lips. — ποιητικὸν Gen.[a] 14) καὶ προστάττω om. *1. *2. Gen.[a] Lips. 14) ἐκέλου καὶ om. Gen.[a], καὶ ἐκέλευ om. *1. *2. Lips. 16) //Gen.[b], ubi δὲ τ. λύπην ἢ τὴν ψ. 17) ἡ μεταφορὰ δὲ Gen.[b] 20) *Hom. Od.* *A*, 115. 23) //Gen.[b] — 24) κεντρίσας 5. Gen.[b] 24) ἐντοδ. ante Xyl. 24) εἰσελθὼν] Reisk., εἰσέλθῃ Gen.[b] vulg., ἵν' εἰσέλθῃ Kiessl. auctore Toupio. — 25) θέασαι om. H. M. P. Y.

μέλισσα δέ, παρόσον ἐπὶ τῶν μήλων ἱζάνει· μῆλα δὲ πάντα τὰ ἄκρα τῶν δένδρων. Ὅμηρος·

αὐτῇσιν ῥίζῃσι καὶ αὐτοῖς ἄνθεσι μήλων.

— *Ἄλλως.* [*Ἱστορία.*] *Ῥοῖκός τις Κνίδιος τὸ γένος ἐν Νίνῳ τῇ Ἀσσυρίων ἰδὼν εὐφυές τι δένδρον κεκλιμένον καὶ ἀπὸ τοῦ χρόνου καταπίπτειν μέλλον,* (*τὸ φυτὸν* Gen.[b]) *κάμαξιν εὖ στηρίξας ἐπὶ πλέον μένειν ἐποίησεν. Ἡ δὲ Νύμφη θεασαμένη χάριν αὐτῷ ὡμολόγησεν· ἡλικιῶτις γὰρ ἔφη εἶναι τοῦ φυτοῦ. καὶ ἐκέλευσεν αὐτόν, εἴ τι ἂν ἐθέλῃ, αἰτεῖσθαι. ὁ δὲ τὴν συνουσίαν αὐτῆς ᾐτήσατο. ἡ δὲ ἔφη αὐτῷ, ὅτι τὸν καιρὸν τῆς μίξεως ἀφικνουμένη σοι μέλισσα ἐρεῖ. μήποτε οὖν τῆς ἱστορίας ταύτης μέμνηται ὁ Θεόκριτος διὰ τὸ τὴν μέλισσαν διακονῆσαι πρὸς τοὺς ἔρωτας.*

Vs. 14.

Vet. (*Καὶ τὰν πτέρυν:* Gen.[b]) *πτέρις* [*δὲ*] *εἶδος βοτάνης ὁμοίας πτερῷ στρουθοκαμήλου, ἀφ' ἧς καὶ στιβάδες ἐπὶ κλίνης ἐγένοντο τῶν ἀγροίκων διὰ τὴν μαλακότητα καὶ διὰ τὸ ἀποδιώκειν τῇ ὀσμῇ τοὺς ὄφεις.* — (*Πτέρις εἶδος βοτάνης ὁμοίας πτερῷ στρουθίου, ἣ ἀποδιώκει τῇ ὀσμῇ τοὺς ὄφεις.* p. Q.) *καλεῖται δὲ καὶ βλῆχρον.*

Rec. (*Τὸ κοινῶς λεγόμενον βλάχνον.* E.)

Vs. 15. 16.

Vet. *Ἡ ῥα λεαίνας: οὐκ ἀφ' ἱστορίας, ἀλλὰ διὰ τὸ*

13) *Εἰς τὸ σὸν σπήλαιον δυνηθείην ἀφικέσθαι καὶ ἐλθεῖν.* I. M. P. Y. *εἰς τὸ σὸν ἄντρον δυνηθείην ἀφικέσθαι.* Lips.

14) *Ἀγροικικῆς γὰρ τῆς Ἀμαρυλλίδος οὔσης οἰκίας εἰκὸς καὶ κισσὸν ἔχειν ἐν ἑαυτῇ.* 4. 5. Q. — *Διελθών.* H. M. N. P. Lips. — [*Πτέριν:*] *εἶδος βοτάνης, ὃ παρὰ τοῖς κοινοῖς λέγεται βλάχνον.* 2. *τὴν πτέριν, τὸ λεγόμενον βλάχνον, ὑφ' ἧς σὺ περιλαμβάνῃ.* E. H. M. N. P. Lips.

---

1) *τὸ μῆλον* 5. 3) *Hom. Il. I*, 542. *αὐτοῖσιν* ante Xyl. — *καὶ αὐτοῖσι* Gen.[b] 4) //Gen.[b] sine *ἱστορία.* 4) *ῥικός τις* Gen.[b] 4) *τὸ γένος* om. Gen.[b] 5) *ἀφυές τι* Vulc. 5) *ἀπὸ δὲ* pro *καὶ ἀπὸ* Gen.[b] Vulc. 6) *εὖ στηρίξας*] Geel., *ἐνστ.* vulg. 8) *ἡλικιώτης* Gen.[b] Vulc. 11) *ἐρεῖ* om. Gen.[b] 12) *γοῦν* Gen.[b] 15) //Gen.[b] sine *δέ*, ubi *ὁμοῖα.* 17) *ἐπὶ τῶν ἀγρ.* Gen.[b] 18) *τὴν ὀσμὴν* Gen.[b] 18) *Πτέρις . . . πτερῷ* ex utroque codice non diserte afferuntur. 20) //Verba *καλ. δὲ καὶ βλ.* desunt in Gen.[a.b.] Lips. — *βλῆχρον*] Bastius, *βληχρὸν* vulg. 21) Haec in cod. post *βλῆχρον* addi tradit Gaisf. 23) //Gen.[b], ubi *λέαιναν.* 26) *ἀγροικης* 4. 5. 28) Gl?. male ad *κισσὸν* relata erat. 29) *τὸ κοινῶς βλύχιον* H.

ἄγριον. καὶ γὰρ Ἀχιλλεὺς Θέτιδος καὶ Πηλέως· ἀλλὰ διὰ τὸ ἄγριον φησὶν Ὅμηρος·

γλαυκὴ δέ σε τίκτε θάλασσα.

Rec. Ἄλλως. (Ἦ ῥα λεαίνης: Gen.[a]) ὄντως λεαίνης μαζὸν ἐθήλαξε, καὶ ἐν τῷ δρυμῷ ἀνέτρεφεν αὐτὸν ἡ μήτηρ αὐτοῦ, (ἡ Ἀφροδίτη 4.?) τὸ ἄγριον αὐτοῦ καὶ δραστήριον διὰ τούτων θέλει δηλοῦν. ἄγριος δὲ λέγεται ὁ Ἔρως καὶ ἀνήμερος, ἐπεὶ οὓς ἂν κατάσχῃ, ἀγρίους ποιεῖ καὶ ἀνημέρους, (ὑπὸ τῆς σφοδρᾶς ἐπιθυμίας τυχεῖν τοῦ ποθουμένου ὀρεγομένους. E. N.)

Vs. 17.

Rec. Κατασμύχων: σμύχω τὸ καίω υ ψιλόν· σμήχω δὲ τὸ καθαίρω η, ἐξ οὗ καὶ σμῆγμα, τὸ σαπώνιον. — (Ἄχρι τοῦ σκοποῦ πέμπω τὸ βέλος, καὶ ἄχρι πρὸς τὸν σκοπόν. καὶ καίει με ἄχρις ὀστέων, καὶ καίει με ἄχρις ἐς ὀστέον. 6.)

Vs. 18.

Rec. Τὸ καλὸν ποθορεῦσα: ἤγουν ὢ ἡ τὸ καλὸν ὁρῶσα, τουτέστιν ὢ ἡ καλοὺς ἔχουσα ὀφθαλμούς. — (Τουτέστιν ἡ βλέμμα ἔχουσα ἵμερον καὶ ἱλαρόν. 6.)

Vet. Τὸ πᾶν λίθος: ἤγουν σκληρὰ καὶ ἄτεγκτος, ἢ μονονουχὶ τοὺς ὁρῶντας ἀπολιθοῦσα τῷ κάλλει, οἷον περὶ Γοργόνος λέγουσιν. ἢ λευκὴ ὅλη οἷον ἄγαλμα μαρμάρινον. —

15) Ἐπαχθής, δυσφόρητός ἐστιν. H. M. P. Lips.

16) Ὅς με βλάπτει, ὁ Ἔρως, καὶ μέχρι τοῦ ὀστοῦ καταφλέγων. P. Lips. — Κατατήκων, λεπτύνων, καίων. 5. — Περισσὸν τὸ ἄχρις. H. M. P. Y. — [Ἰάπτει:] ἐμβάλλει ἑαυτὸν ἀπὸ τοῦ ἵημι τὸ πορεύομαι. M. ἔρχεται. C.

17) Ὦ καλοβλέμματε. 4. 5. — [Ποθορῶσα:] βλέπουσα. M. περισσὴ ἡ πρός. H. M. — [Τὸ πᾶν λίθος:] ὅλη σκληρὰ καὶ ἀκαμπής. M. δι' ὅλου σκληρὰ ὑπάρχεις. E. ἀδαμάντινε. 4. 5. — Μελαίνας ὀφρῦς ἔχουσα. E. H. M. P. Y.

---

3) *Hom. Il. Π.* 34. — δ' ἐγείνατο θαλ. Gen.[b] — 4) //Gen.[a] Lips. 7) ἀνήμερον pro δραστήριον 4.? 7) τοῦτο M. 11)//Om. Gen.[a b] Lips. 12) υ om. ante Xyl. 13) καὶ ante σμῆγμα om. Reisk. seqq., καὶ τὸ σμ. T. 15) ἐς] Wart., τὸ Kiessl. Gaisf. 17) //*Lips. ὢ ἡ seqq. 19) ἵμερον] ἥμερον vulg. 20) //Om. Gen.[a b] Lips. — 20) ἄτεγκτος] Xyl. et Reisk. seqq., ἄτεκτος ante Xyl. et Scult., ἄθικτος Heins. vulg. — 23) ἐστιν om. Lips. 24) ὁ Ἔρως om. Lips.

(*Τὸ πᾶν λίθος*: Gen.[b]) *ἐὰν [δὲ] γράφηται τὸ πᾶν λίπος διὰ τοῦ π, ἔσται [οὕτως] εἰς ἣν ὀλισθαίνουσι πολλοὶ διὰ τὸν ἔρωτα — ὀλισθηρὰ γὰρ τὰ λιπαρὰ χωρία — ἢ ἡ βλέπουσα λιπαρόν τι καὶ λευκόν. καὶ Ὅμηρος·*

λευκοί, ἀποστίλβοντες ἀλοιφῇ.

Ἄλλως. (*Τὸ πᾶν λίθος: ἤγουν* Gen.[b]) *σκληρὰ καὶ ἀδαμάντινε διὰ τὸ ἀνηλεὲς καὶ ἀνένδοτον,* (*ἢ μονονουχὶ τοὺς προσορῶντας ἀπολιθοῦσα διὰ τὴν πρὸς τὸ κάλλος ὑπερβολήν,* Gen.[b] *οἷον τὸ περὶ τὰς Γοργόνας.* P. Gen.[b]) — (*Γράφεται καὶ τὸ πᾶν ἔπος.* p.)

Rec. Ἄλλως. Τὸ πᾶν: ἐπιρρηματικῶς ἀντὶ τοῦ διόλου. Λίθος: τουτέστι σκληρὰ σφόδρα καὶ ἀμείλικτος (*καὶ ἀδαμάντινος.* Gen.[a])

Vs. 21—23.

Vet. Τὸν στέφανον τῖλαί με: τὸ ἑξῆς· ἤτοι κατατῖλαι καὶ κατακόψαι με ποιήσεις εἰς λεπτὰ τὸν στέφανον. στεφάνοις ἐχρῶντο ἐν τοῖς συμποσίοις, ὥς φησιν Ἀριστοτέλης, εὐετηρίαν καὶ ἀφθονίαν αἰνιττόμενοι τροφῶν· στέψαι γὰρ τὸ πληρῶσαι; ὡς Ὅμηρος·

κοῦροι δὲ κρητῆρας ἐπεστέψαντο ποτοῖο.

19) *Πρόσδεξαι.* H. M. N. P. Lips. — *Ἵνα σε μόνον φιλήσω.* H. M. P. Lips.

20) *Ἁπλοῖς.* M. *ἔργου ἐστερημένοις.* 1. 2. M. Lips. — [*Ἀδέα τέρψις:*] *εὐφροσύνη ἡδονὴν ἔχουσα.* 1. 2. M. P. Lips. *συστέλλεται διὰ τὸ μέτρον τὸ ι.* M. P.

---

1) //Gen.[b], ubi *ἐὰν γράφεται* sine *δέ.* 1) *τὸ πᾶν*] add. Gen.[b], ubi *λίθος* omissis *διὰ τοῦ π.* 2) *οὕτως* om. Gen.[b] 2) *πολλὰ* Gen.[b] 3) *χωρία*] add. p. 3. 4. 5. Gen.[b] Post hanc vocem in p. leguntur, quae infra l. 9. posuimus, ut sequentia ab eo libro abesse videantur. 4) *καὶ Ὁμ.*] 3. 4. 5. Gen.[b], *ὡς Ὁμ.* vulg. 5) *Hom. Od. Γ*, 408, ubi *ἀλείφατος.* — *ἀποστίλβοντές τ'* Gen.[b] et ante Heins. 6) *ἄλλως*] Gen.[b], *ἢ* vulg. 6) *ἀδαμάντινε*] Gen.[b] et ante Xyl., qui *ἀδαμαντίνα*, tum *ἀδαμαντίνη* Scult. vulg. 9) *τοὺς Γοργ.* Gen.[b] 11) //Gen.[a] Lips., hic in marg., sed signo ad locum suum inter lineas revocante. Idem om. lemmata Vulgo *λίθος* post *τὸ πᾶν* legitur, unde transposui. 11) *διόλου σκληρὰ καὶ σφόδρα ἀμείλικτος* E. 15) //Gen.[b] 16) *καὶ κατακόψαι* om. Gen.[b] 16) *εἰς τὸ λεπτὸν ποιεῖ* P., *ἢ εἰς λεπτὰ ποιεῖς* Gen.[b] pro *ποι. εἰς λ.* 16) Post *στέφανον* Wart. seqq. ex 6. inseruerunt *ἤγουν διασπαράξαι*, cf. p. 140. 2. — *στεφάνῳ γὰρ ἐχρ. ἐν τῷ συμποσίῳ* P. Gen.[b] 19) *ὡς Ὅμηρος*] 4. 5. P. Gen.[b], *παρ' Ὁμήρῳ* vulg. 20) *Hom. Il. Α*, 470. — *κρατῆρας* ante Heins. — 21) *σε* om. Lips. 24) *ἡδονὴν εὐφροσύνην* M. P.

Rec. [*Ἄλλως. Ὁ νοῦς·*] *ποιήσεις με αὐτίκα τῖλαι εἰς λεπτά, ἤγουν διασπαράξαι καὶ τεμεῖν, τὸν στέφανον, ὃν χάριν σοῦ ὦ Ἀμαρυλλὶ φίλη φυλάσσω, ἐμπλέξας αὐτὸν κάλυξι κισσοῦ, ἀντὶ τοῦ κορύμβοις, καὶ εὐώδεσι σελίνοις.* — (*Κάλυξ ἄνθος ῥόδιόν ἐστιν. Σέλινον εἶδος φυτοῦ ἢ μᾶλλον εἰπεῖν λαχάνου.* Gen.[a] — *ΚΑΛ. κορύμβοις, τριακονταφύλλοις.* 6.)

Vs. 24.

Rec. Τί ὁ δύσσοος: ὁ δυσκόλως σῳζόμενος. — (⟨*Δύσσοος:*⟩ *ἀπὸ τοῦ δυς τὸ κακὸν καὶ τοῦ σεύω τὸ ὁρμῶ.* 6.)

Vet. *Ἢ* (*ὁ δύσσοος:* Gen.[b]) *ὁ δυσχερῶς διωκόμενος. λαοσσόος γὰρ ἡ Ἀθηνᾶ ἡ λαὸν διώκουσα ἢ σῴζουσα. δύσσοον δὲ οἱ μὲν τὸν κακοδαίμονα, οἱ δὲ τὸν δυσχερῶς σῳζόμενον παρὰ τὸ σόος. καὶ Ὅμηρος·*

ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο Ἀχαιοί.

— (*Δύσσοος: παρὰ τὸ σόος τὸ διὰ τοῦ ο μικροῦ, ἵν' ᾖ ὁ κακῶς σωθησόμενος. ἢ παρὰ τὸ σοῶ, ὃ σημαίνει τὸ διώκω, καὶ κατ' ἐπένθεσιν τοῦ β γίνεται σοβῶ, ἵν' ᾖ ὁ κακῶς διωκόμενος. οὕτω δὲ καὶ τὸ δορυσσόος καὶ λαοσσόος τινὲς ἐτυμολογοῦσι.* EtM. 292, 38.)

Vs. 25. 26.

Vet. *Τὰν βαίταν: τὴν μηλωτὴν* (*ἣν φορῶ* E.) *ἢ τὴν διφθέραν, φησίν, ἀποῤῥίψας καὶ ἐκδυσάμενος εἰς τὴν θά-*

21) *Σύναπτε τὴν κατὰ εἰς τὸ τῖλαι.* H. M. P. *περισσὴ ἡ κατά. νῦν εὐθὺς καὶ οὐκ εἰς ἀναβολάς.* H. M. P. Lips. — [*Τίλλαι:*] *κατά.* 5. — [*Καταυτίκα:*] *ἀντὶ τοῦ αὐτίκα.* 2. *Ἀττικῶς.* 5. — *Εἰς λεπτὰ κόψαι, διασπαράξαι.* 2. [*λεπτά:*] *εἰς.* 5.

22) [*Κισσοῖο:*] *τοῦτο πρὸς τὸ καλύκεσσι σύναπτε.* M.

---

1) //Gen.[a] Lips., illo praefixo lemmate *τὸν στέφανον τίλλαι με.* 2) *καὶ* om. Gen.[a] Lips. 5) *σέλινον*] Adert., *σέλιον* cod. 6) Post *λαχάνου* in Gen.[a] sequuntur ex Suida: *Σελίνου στέφανος πένθιμος ἦν. τὸ γὰρ σ. π. προση****. 6) Ante *τριακ.* distinguendum esse vidit Geelius. 9) //*Lips. 10) *τὸ ὁρμῶ*] Duebnerus, *τοῦ ὁρμῶ* cod. 11) //Gen.[b] — *δύσσοος ὁ κακοδαίμων ἢ ὁ δυσχερῶς σωζόμενος παρὰ τὸ σόος. καὶ λαοσσόος Ἀθηνᾶ ἡ λ. δ. ἢ σώζ.* Phav. 12) *λαοσόος* ante Heins. 12) *δύσσοον δὲ*] Gen.[b], *δ. γὰρ* vulg. 15) *Hom. Il. A*, 344. — *ὅπως* Gen.[b] — *σῶοι* ante Heins. 22) //Gen.[b], ubi scholii prior pars usque ad *θάλασσαν* deest. — 24) In M. *περισσὴ ἡ κατὰ* prius scripta, deinde addita *σύναπτε* etc.

λασσαν (ἐκεῖθεν 3. P. Gen.[b.]) ἁλοῦμαι, [ὅ ἐστι πηδήσω ἢ ἐμαυτὸν ῥίψω,] ὅθεν Ὄλπις ὁ ἁλιεὺς σκοπιάζεται [ἤγουν ἀπὸ μετεώρου τόπου σκοπεύει] καὶ ἀγρεύει τοὺς θύννους τοὺς ἰχθύας. τὸ δὲ Ὄλπις ἀπὸ τοῦ λέπω λέπις καὶ ἐν ὑπερθέσει τοῦ (ε ἔλπις καὶ τροπῇ τοῦ ε εἰς) ο Ὄλπις, ὁ τοὺς λεπιδωτοὺς ἰχθύας ἀγρεύων [ἢ τοὺς ἔλλοπας]. ἔστι δὲ πεποιημένον ὄνομα· ἢ κύριον τοῦ ἁλιέως. — Ἄλλως. Ὀλπις τὸ ὄνομα τοῦ ἁλιέως ἴσως παρὰ τὴν λεπίδα τῶν ἰχθύων. ἢ παρὰ τὴν τοῦ σώματος σχέσιν· ὄλπιν γάρ φασι τὴν λήκυθον, ὡς εἶναι παρὰ τὴν σμικρότητα τὸ ὄνομα. Ἄλλως. Ὄλπις ὁ τοὺς ἔλλοπας ἀγρεύων (ἵν' ᾖ ἐπίθετον τῶν ἁλιέων, ἢ P. Gen.[b.]) κατὰ διαφορὰν τῶν ἄλλων ἁλιέων. εἰσὶ γὰρ καὶ ἕτεροι, οἱ περὶ τὰ ὄστρεα ἀσχολούμενοι.

Rec. (Σκοπιὰ ὁ ὑψηλὸς καὶ ἐπανεστηκὼς τόπος. 6.)

Vs. 27.

Vet. Καἴκα μὴ ἀποθάνω: καὶ ἐὰν μὴ ἀποθάνω, φησίν, ὅμως εὐφρανθήσῃ, ὅτι ἔρριψα ἐμαυτὸν (εἰς θάλασσαν Q.). — (Τό γε μὰν τεόν: τό γε σόν, ἤγουν παρὰ σοί, ἡδὺ τὸ θανεῖν <με>. ἢ ὅμως ἠσθήσῃ γε, ὅτι ἐκινδύνευσα. ἢ ὅμως ἡδύ σοί ἐστι τὸ θανεῖν με. P. Gen.[b.])

23) Τοῖς τοῦ κισσοῦ κορύμβοις. 4. 5. κλάδοις. M.
24) Ὁ δυσκόλως σῳζόμενος. M. Lips. — Γρ. δύσσοος, ὁ δυσκόλως κινούμενος. M. — Οὐ προσδέχῃ τὴν αἴτησίν μου. Lips.
25) Διφθέραν. M. P. Lips. γοῦναν. P. — Πεσοῦμαι. E. H. P. Y. πεσοῦμαι, ῥίψω ἐμαυτόν. Lips.
26) Ὅπου. M. P. Lips. — Ἀπὸ μετεώρου ἀποσκοπεύει. H. M. P. Y. Lips.
27) Ηγουν ὅσον τὸ ἐπὶ σοί. M. [τεόν:] πάθος. C. τὸ σὸν <ἡδὺ> κατεσκευάσθη, ἐγένετο, ἤγουν ευφρανθήσῃ ἐπὶ τούτῳ. M.

---

1) Ante ἐκεῖθεν in P. Gen.[b.] legitur ἀπὸ τούτου; quibus in hoc (non in P.) praefixum lemma Ὄλπις ὁ γριπεύς. 1) Circumscripta om. Gen.[b.] 2) Ὄλπις] Gen.[b.], ὁ Ὄ. vulg. 2) σκοπιάζεται . . . ἰχθύας desunt in Gen.[b.] Circumscripta ex Rec. inserta sunt. 3) ἀποσκοπεύει 2.[b.], cf. Gl. 3) καὶ] ἢ vulg. 4) Ὄλπις δὲ Gen.[b.] 4) λέπις] Gen.[b.], λεπὶς Gregor. 104, λοπὶς vulg. 5) Supplementum accessit ex Gregorio, ubi ἔλπις cod. A., ἐλπὶς vulg. 6) ἀγρεύων. πεπ. ἢ κυρίως reliquis omissis Gen.[b.] 7) //Gen.[b.], ubi Ὄλπις δὲ omisso ἄλλως. 8) ἴσως] ἠώς Gen.[b.], om. vulg. 8) περὶ pro παρὰ Gen.[b.] 10) ἄλλως] Gen.[b.], ἢ vulg. 16) //Gen.[b.] — Καἴκα μὴ ἀπ.] Gen.[b.], κἤκα μὰ ποθάνω Call. 17) εὐφρανθήσομαι P. 18) τό γέ σοι Gen.[b.] 19) ἢ ὅμως ἠσθήσῃ γε] ἄτιμος ἦσθης γὰρ codd. 19) ὅμως] ὅτι codd. 20) σοὶ om. Gen.[b.]

Rec. Ἢ (καὶ ἐὰν μὴ ἀποθάνω,) τέως τὸ πρᾶγμα, ὅ σε τέρπει, γεγένηται.

Vs. 28. 29.

Rec. [Ἔγνων πρίν: ὁ νοῦς·] ⟨ἔγνων⟩ πρὸ ὀλίγου, ὅτε σημεῖον θέλοντός μου λαβεῖν, εἰ φιλεῖς με, ⟨οὐδὲ⟩ τὸ φύλλον, δι' οὗ ἡ φιλία δηλοῦται, ὑπὸ τῶν χειρῶν πληττόμενον [οὐκ] ἀφῆκε τὸν ψόφον.

Vet. Οὐ δὲ τὸ τηλέφιλον ποτεμάξατο τὸ πλατάγημα: [ἐν ἄλλοις γράφεται καὶ οὕτω· οὐ δὲ τὸ τηλέφιλον ποτιμαξάμενον πλατάγησεν.] τηλέφιλον δέ ἐστι τὸ φύλλον τῆς μήκωνος. ἄλλοι δὲ βοτάνην ἑτέραν λέγουσιν εἶναι αὐτό. εἴτε δὲ τοῦτο εἴτε ἐκεῖνό ἐστιν, ἀναλαμβάνεται παρὰ τῶν ἐρώντων τὸ τηλέφιλον, καὶ πληττόμενον εἰ ψόφον ἀπετέλει, ἐδίδου αὐτοῖς σημειοῦσθαι, ὅτι ἀντερῶνται ὑπὸ τῶν ἐρωμένων· εἰ δ' οὐκ ἀπετέλει, ὅτι μισοῦνται. — (Οὐδὲ τὸ τηλέφιλον: Gen.[b] τηλέφιλον τὸ φύλλον τῆς μήκωνος, ὅπερ τύπτοντες ἐσημειοῦντο τὸν ἔρωτα, εἰ ἀντερῶνται ὑπὸ τῶν ἐρωμένων, οἱ ἐρῶντες. ἢ βοτάνιν ἐστὶν ἐν τῇ πλήξει φωνοῦν, σημαῖνον φιλεῖσθαί τινα ὑπὸ τοῦ ἐρωμένου ἢ τῆς ἐρωμένης. P. Gen.[a.b.]) εἴρηται δὲ τηλέφιλον κατὰ κοινωνίαν τοῦ τ πρὸς τὸ δ, οἷον δηλέφιλόν τι ὄν, τὸ δηλοῦν τὴν φιλίαν. — Ἄλλως. Τὸ τηλέφιλον ῥιζίον τι θαμνῶδες, κάτωθεν δὲ ἀναβαῖνον τρίκλωνον. τοὺς δὲ κλῶνας ἔχει δοχμῆς μείζονας ⟨καὶ⟩ σπιθαμιαίους, τὰ δὲ φύλλα ἐοικότα τῷ σπειρομένῳ λωτῷ.

---

1) //*Lips. — Supplementum auctore Duebnero accessit ex *E. *M. *T. *Lips. 1) ἤγουν τὸ πρ. H. N. P.[3] — πρᾶγμά σου E. 1) ὅσον σε P.[3] 2) γενήσεται *E. *M. *P. *T. 4) //Lips. s. l., sed ultima ὑπὸ τῶν seqq. in marg. — πρώην ante πρὸ Lips. 5) φιλέεις Lips. — με] add. Lips. — οὐδὲ] addidi ex GlE. 6) γίνεται pro δηλοῦται M. 7) οὐκ om. Lips. 8) //Om. Gen.[a.b.] Lips. 10) ἐπλατάγησεν ante Xyl. 11) βοτάνιν ante Brub. 15) Scholia ad τηλέφιλον in Gen.[a] leguntur post scholia ad Vs. 30. 31. 16) λέγεται post τηλ. Gen.[a] — τὸ om. P., τὸ φύλλον om. Gen.[b], φύλλον post μηκ. Gen.[a] 18) ἢ βοτάνιν ἐστὶν] ἢ βοτανόν ἐστιν Gen.[a], βοτάνην (βοτάνη P.) δέ ἐστιν P. Gen.[b] 18) φωνῶν ἐν τῷ τύπτεσθαι καὶ σημ. Gen.[a], φωνοῦν om. Gen.[b] 19) τινα om. Gen.[b] 19) ἢ] Gen.[a], καὶ rell. 20) //P. Gen.[b] — δὲ om. P., τηλεφ. om. P. Gen.[b] 20) τοῦ τ om. Gen.[b], τ πρὸς τὸ om. P. 21) οἷον] P. Gen.[b], οἱονεὶ vulg. — δηλέφυλλόν Gen.[b] 21) ὂν om. P. Gen.[b] 21) τὴν φιλίαν] Gen.[b], φιλίαν P., τὸν φίλον vulg. 21) //Gen.[a.b.] — ἄλλοι δὲ Gen.[a], 22) τηλέφιλλον sine τὸ Gen.[b] — ῥίζιόν τι ante Reisk., ῥιζιόν τι Gen.[b], ῥιζίον sine τι Gen.[a] 22) δὲ om. Gen.[a] 22) ἀναβαῖνον] Gen.[a], ἀναβαίνον Vulc., ἀναβαίνει vulg. 23) ἔχει om. Gen.[b] Vulc. 23) δοχμῆς] Geel., δραχμῆς vulg. 24) σπιθαμιαίους] Gen.[a], —αίας vulg. 24) ἐοικότα] Vulc., ἔοικε vulg.

λοβὸν δὲ ἀφίησιν ἑλικοειδῆ, ἐν ᾧ τὸ σπέρμα· ου ἐπιχριομένου ὁ χρὼς ἐξαιμάττεται καὶ τύπους τινὰς λαμβάνει. οὐ μόνον δὲ ἐπὶ τὰς χεῖρας τὸ τηλέφιλον, ἀλλὰ καὶ ἐπὶ τὸν ὦμον τιθέντες, ἔσθ' ὅτε καὶ ἐπὶ τὸν πῆχυν, ἀπεπειρῶντο τοῦ ψόφου. — Ἄλλως. Τηλέφιλον: φυτάριόν τι, ὃ τινὲς τῶν ἐρωτικῶν ἐπὶ τὸν ὦμον τιθέντες ἢ τὸν καρπὸν ἐπικρούουσι. καὶ ἐὰν μὲν ἐρυθρὸν γένηται, καλοῦντες αὐτὸ ῥόδιον νομίζουσιν ἀγαπᾶσθαι ὑπὸ τῶν ἐρωμένων, τοῦ χρωτὸς δ' ἐμπρησθέντος ἢ ἑλκωθέντος μισεῖσθαι. — Τὸ πλατάγημα: τὸ πλαταγώνιον. (ἔστι δὲ τὸ τῆς μήκωνος φύλλον ὃ τιθέντες κατὰ τὸν ἀντίχειρα καὶ τὸν λιχανὸν δάκτυλον τύπτουσι τῇ δεξιᾷ ὥστε πλατάσσειν. Gen.[b]) — *Ποτεμάξατο δέ, ἤγουν προσήκατο τὸν ἐξ αὐτοῦ γινόμενον ψόφον.*

Vs. 30.

Vet. *Ἀλλ' αὔτως ἁπαλῷ ποτὶ πήχεος: τοὺς δακτύλους καλεῖ μεταφορικῶς **** ἀπὸ τοῦ ἀγκῶνος, καί φησι· πρὸς τὸν πῆχυν ἐξεμαράνθη ψόφον μὴ ποιῆσαν.*

Rec. [*Ἢ τὸ*] *αὔτως: οὕτως μηδὲν ἀνύσαν παρὰ τῷ ἁπαλῷ πήχει, ἀντὶ τοῦ τοῖς ἁπαλοῖς δακτύλοις, ἐμαράνθη.*

28) [*Ἔγνων:*] *ὅτι οὐ φιλεῖς με.* M.

29) *Τὸ τῆς τήλεως φύλλον.* M. *οὐδὲ τὸ φύλλον, ἤγουν δι' οὗ ἡ φιλία γίνεται.* E. — *Προσήκατο τὸν ἐξ αὐτοῦ γινόμενον ψόφον διὰ τὸ μὴ κτύπον ποιῆσαι πρὸς τὸν πῆχυν.* 5. — *Προσεδέξατο, προσέλαβε.* M. — *Τὸ κρότημα, τὸ ἦχημα τῆς χειρός.* M.

30) *Μάτην.* M. — *Τῇ χειρί.* M. — *Τελείως ἐμαράνθη.* M.

---

1) *λωβὸν* ante Xyl., *λαβὸν δ'* Gen.[b], *καυλὸν* Vulc. 2) *ἐξαμάττεται* Gen.[b] 3) *τηλέφιλλον* Gen.[b] 4) *ἀπεπειρῶντο*] Gen.[a], ut conj. Hemsterh., *ἐπεπ.* vulg. 4) *τοῦ φόνου* Gen.[a] 5) //Gen.[a.b.] — *τηλέφιλον φυτάριόν τι ὃ*] *τηλ. φίλτρον τι ὃ* Gen.[b], *ἄλλοι δέ φασι φυτάριον εἶναι ὃ* sine *ἄλλως* Gen.[a], om. vulg., ubi contra ante *ἐπὶ* legitur *τὸ τηλέφιλον.* 6) *τῶν ὤμων* Gen.[b] 6) *τιθέντες* ante *ἐπὶ* Gen.[a.b.] 7) *ἂν μὲν* Gen.[b] 7) *γένηται* om. Gen.[b] 7) *ῥόδον* Gen.[b] 8) *χρώματος* Gen.[b] et ante Reisk. 9) //Gen.[b] — *τὸ πλατ.*] Gen.[b], *πλατ. δὲ* vulg. 10) *ὃ τιθέντες* et *τὸν ἀντ.*] Piccolos, *ὅ; τιθέντες* et *τὴν ἀντ.* cod. 12) //Om. Gen.[a.b.] Lips., ex Gl. petitum. 13) *τὸν*] add. *5. 13) *γινόμενον*] *5., *τυπτόμενον* vulg. 15) //Gen.[b], ubi *ἀλλ' αὖτις ὠπαλῷ π. πάχεος.* 17) *πρὸς τ. π.* om. Gen.[b] 17) *ἐξεμαυλήθη* Gen.[b] 18) //Gen.[a] Lips., ille c. lemm. *ἀλλ' αὔτως ἁπαλῷ.* — *οὕτως μ. ἀν.* om. Gen.[a], quae in Lips. s. l. 19) *τοῦ τοῖς*] (Gen.[a]) Reisk. seqq., *τοῦ* Lips., *τοῖς* vulg. 19) *ἐμαράνθη*] add. M. — 21) *φύλλον*] *φίλον* cod., cf. SchRec. 22) *αὐτοῦ*] *αὐτῆς* cod., cf. Scholl.

Vs. 31.

Vet. Ἀγροιῶ τάλαθέα: τινὲς ὄνομα κύριον τὸ Ἀγροιώ· οὐδέπω γὰρ τὴν γραῖαν οὕτω φασίν. τινὲς δὲ [τὴν ἀγροικικήν,] τὴν ἐπὶ τῶν ἀγρῶν [τρεφομένην].

Rec. (Εἶπε καὶ Ἀγροιώ: ἢ ὄνομα κύριον, ἢ ἡ ἀγροικική. *v. *1. *2. Gen.[a] *Lips.) — Ἡ κοσκινόμαντις, ἤγουν ἡ διὰ κοσκίνου μαντευομένη.

Vs. 32.

Rec. Ἁ πρὰν ποιολογεῦσα: ἡ πρώην σταχυολογοῦσα.

Vet. (Ποιολογεῦσα: Gen.[b.]) ἤγουν τοὺς στάχυας ἀναλεγομένη. ποίαν δὲ ἴσως τὸν πυρὸν κατ' ἐξοχήν, ἀφ' οὗ καὶ τὸν ἐνιαυτὸν ποίαν ἐκάλεσαν. ποία γὰρ κυρίως ὁ πυρός. ἢ ἀπὸ τοῦ ποία ἡ βοτάνη. — Ἢ ἡ πρὶν καλάμην συλλέγουσα καὶ σταχυολογοῦσα. — Παραιβάτις: ἢ ὄνομα κύριον, ἢ ἡ (παροδῖτις, ἢ ⟨ἡ⟩ παραπορευομένη [θεὸς ἢ] ἔριθος. Gen.[b.])

Rec. ⟨Παραιβάτις:⟩ Ἑπομένη καὶ παρακολουθοῦσα τοῖς θερισταῖς.

Vs. 33.

Rec. (Τῷ σῷ ἔρωτι διόλου ἐμμένω· σὺ δὲ οὐδεμίαν φροντίδα ἐμοῦ ποιῇ. H. I. M. P. Y. *Lips.)

31) [Ἀγροιώ:] ἡ ἐν τῷ ἀγρῷ οἰκοῦσα. ἢ ὄνομα. γράφεται ἡ γραία. 6.
32) [Παραιβάτις:] παραπορευομένη. 5.

---

2) //Gen.[b.], ubi καὶ Ἀγροιὼ τάληθέα. 2) τινὲς ὄν. κ. τὸ Ἀ.] Gen.[b.], Ἀγρ. ὄν. κύριον vulg. 3) γραίαν ante Reisk. 3) τινὲς δὲ] Gen.[b.], ἢ vulg. 3) τὴν ἀγρ. om. Gen.[b.], glossam ex SchRec. assumptam. 4) τὴν et τρεφομένην om. Gen.[b.] 5) ὄνομα κύριον] κύριον Gen.[a.], ὄνομα rell. 5) ἡ] add. Lips. — ἀγρικὴ *1. *2. 6) //*Lips. ἡ διὰ κ. μ. — ἡ κοσκ.] ante Scult., κοσκ. vulg. 9) //*Lips. 10) //Gen.[b.], ubi ἀντὶ τοῦ ἀναλ. τ. στ. 11) ποίαν] Duebnerus, ποιὰν vulg. 11) γὰρ pro δὲ Gen.[b.] 11) ἴσως διὰ τὸ τὸν πυρὸν κατέχειν Gen.[b.] Vulc. 12) ποίαν] ante Brub. II, ποιὰν vulg. 12) ποία] Duebnerus, ποιὰ Schaef. ad SchApoll. II, 470, ποιὸς Gen.[b.] vulg. 13) //Om. Gen.[a.b.] Lips. 14) //Gen.[b.], ubi παραιβάτης. 15) ἔριθος] Adert., ἔριθος cod. 16) //Lips.

Vs. 35.

Vet. (*Καὶ ἁ Μέρμνωνος* Gen.[b.]) *ἐριθακίς*: ἀπὸ τοῦ ἔριθος ἡ ἀκόλουθος ἢ μισθώτρια. ὑποκοριστικῶς δὲ ἢ ὄνομα κύριον. ἔστι δὲ καὶ ⟨ἐρίθακος⟩ ὄρνεον, ἀφ' οὗ τὸ ὄνομα.

Vs. 36.

Vet. *Ἐνδιαθρύπτῃ*: ἀπονοῇ καὶ ἐμβλακεύῃ, σπαταλᾷς, τρυφᾷς.

Rec. (Ἰδιωματεύει· ἀκκίζῃ, τὸ κοινῶς κανακίζῃ. M.)

Vs. 37. 38.

Vet. *Ἅλλεται ὀφθαλμός μευ*: δοκοῦσιν οἱ ὀφθαλμοὶ ὄψεσθαί τινα τῶν οἰκείων, ἂν ἅλλωνται.

Rec. Ὁ δεξιός μου ὀφθαλμὸς ἅλλεται καὶ πηδᾷ. ἆρά γε θεάσομαι αὐτήν; — *Ἀισεῦμαι ποτὶ τὰν πίτυν* (*ὧδ' ἀποκλινθείς* Gen.[a.]): ἐκνεύσας, τραπεὶς ὧδε πρὸς τὴν πίτυν [ᾀσεῦμαι, Δωρικῶς ἤγουν] ᾄσομαι, τὸ κοινῶς τραγῳδήσω.

Vs. 39.

Rec. *Καί μ' ἴσως ποτίδῃ*: καί με ἴσως ἂν προσίδῃ, ἐπεὶ οὐκ ἔστιν ἀδαμαντίνη, ἤγουν ἀπὸ λίθου ἀδάμαντος κατ-;

34) *Δύο ἔχουσαν ἐρίφους, δίδυμα τετοκυῖαν.* H. M. P.

35) [*Μέρμνωνος*:] *δούλη.* E. N. *θυγάτηρ.* Lips. *ἡ θυγάτηρ τοῦ Μέρμνωνος.* M. — [*Ἐριθακίς*:] *μισθώτρια, ἡ περὶ τὰ ἔρια θακοῦσα.* 4. 5. — *Ἡ μέλαιναν ἔχουσα χροιάν.* M. P. *ἡ σιτόχρους.* M. P. Lips.

36) *Διότι σὺ πρὸς ἐμέ.* P. Lips. *ἀκκίζῃ, τὸ κοινῶς κανακίζῃ.* E. P. Lips. *σπαταλᾷς, τρυφᾷς.* Harl.

37) *Πάλλεται, πηδᾷ.* M. P. Lips.

38) *Πεσών.* M. *ἐκκλίνας, τραπείς.* N.

39) *Παντελῶς ἀκαμπής.* M.

---

2) //Gen.[b.], ubi *ἐριθακής*. 2) *ἀπὸ τ. ἔ. ἡ ἀκ.* ante Brub. post *θερισταῖς* pag. 144 l. 17. legebantur, illa vero praeeunte ibidem sola *ἡ ἀκολ.*, verbis *ἀπὸ τοῦ ἔριθος* in hoc schol. post *μισθώτρια* translatis. Omnia quinque verba om. Gen.[b.], quae in suum locum reposui. 3) *ἢ μισθ.*] *ἤγουν μισθ.* Gen.[b.] vulg. 3) *ὑποκ. δὲ*] Gen.[b.], *δὲ* om. vulg. 4) *ἔστι δὲ* om. Gen.[b.] 6) //Gen.[b.], ubi deest *καί*. 10) //Gen.[b.] — *ὀφθαλμοὶ*] Duebnerus, *ὀφθαλμοί μου* vulg. Duebnero praeterea *οἱ ὀφθ.* ante *ἅλλωνται* transponenda videntur. 11) *ἅλλωνται ἄν.* Gen.[b.] 12) //*Lips. *πάλλεται, πηδᾷ — μου — θεάσομαι.* 13) Gen.[a.] *Lips. 14) *ἐκνεύσας* om. Lips., *τραπεὶς* om. Gen.[a.] 15) *ᾀσεῦμαι Δ. ἤγ.* om. Gen.[a.] Lips. 18) //Lips. et omissis verbis ante *ἐπεὶ* Gen.[a.], ubi lemma *ἐπεὶ οὐκ ἀδαμάντινος ἐντί.* — 21) Gl. *δούλη* ap. Gailium ad *ἐριθακὶς* relata erat, quod Duebn. mutavit. 22) *ἢ*] *η* Wart., *ἡ* Duebn. 24) *διότι* om. Lips. 24) *καναχίζῃ* E.

εσκευασμένη, ἀλλ' ἄνθρωπός ἐστι δηλονότι, συμπάθειαν δέξασθαι δυναμένη.

Vs. 40—42.

Vet. *Ἱππομένης ὄκα δή*: *ἱστορία· ὁ Ἄρεος Ἱππομένης τῆς Σχοινέως Ἀταλάντης τῆς δρομαίας ἐρασθεὶς Ἀφροδίτης συνεργούσης ἔδραμεν ἐπὶ τὸν ἀγῶνα. ἢ γὰρ ἔδει τὸν ἀγωνιζόμενον τῷ δρόμῳ ἡττηθέντα θνήσκειν ἢ περιγενόμενον δρόμῳ λαμβάνειν τὴν κόρην. ἔχων οὖν παρὰ τῆς θεᾶς μῆλα χρυσᾶ τοῦ τῶν Ἑσπερίδων κήπου ⟨προγενόμενος⟩ τῷ δρόμῳ ἔρριπτεν ἕκαστον αὐτῶν. οὕτω δὲ ἀσχολουμένης τῆς κόρης ἐπὶ τῇ τῶν μήλων συλλογῇ, ἐλείφθη. λαβὼν δὲ αὐτὴν γυναῖκα μετεμορφώθη εἰς λέοντα, ἐν ἱερῷ τόπῳ συνελθὼν αὐτῇ. Ἄλλως.* (*Ἐγκρατὴς ἐγένετο Ἱππομένης ὁ Ἄρεος τῆς Ἀταλάντης μῆλα χρυσᾶ λαβὼν παρ' Ἀφροδίτης ἐκ ⟨τοῦ⟩ τῶν Ἑσπερίδων κήπου.* Gen.[b.]) — *Ἁ δ' Ἀταλάντα*: *δύο Ἀταλάνται εἰσίν, ἡ μὲν ἐν Ἀρκαδίᾳ, ἡ δὲ ἐν Βοιωτίᾳ ἡ Σχοινέως θυγάτηρ. ἡ μὲν οὖν Ἀρκαδικὴ Ἀταλάντη τοξότις ἦν δεινή· ἡ δὲ Βοιωτική, δρομαία οὖσα, προέθετο τὸν γάμον αὐτῆς, εἴτις νικήσει αὐτὴν δρόμῳ καὶ πολλοὺς θελήσαντας λαβεῖν αὐτὴν νικήσασα ἀνεῖλεν. Ἱππομένης οὖν συνεργὸν ἔχων τὴν Ἀφροδίτην καὶ λαβὼν παρ' αὐτῆς μῆλα χρυσᾶ* [*καὶ*] *προγενόμενος τῷ δρόμῳ ἔρριπτεν ἕκαστον αὐτῶν εἰς τοὐπίσω. ἡ δὲ εὐθέως περὶ τὸν ἵμερον τῶν μήλων ἐγένετο καὶ ἐλείφθη· ὁ δὲ δι' αὐτῶν ἐνίκησε καὶ γυναῖκα αὐτὴν ἔλαβεν.*

40) *Ἐντεῦθεν ἄρχεται τῆς ᾠδῆς.* 23.
41) *Τὸν μετ' αὐτῆς ἠγωνίζετο δρόμον.* 1. 2. H. M. P. Y. Lips.
42) *Μέγαν ἐπ' αὐτοῖς.* M. — [*Ἔρωτα*:] *αὐτοῦ.* H.

---

1) *καὶ* pro *δηλονότι* E. 4) //Gen.[b.] 5) *τῆς* ante *Σχ.* om. Gen.[b.] 7) *τῷ δρόμῳ* et *θνήσκειν* om. Gen.[b.] 8) *περὶ* pro *παρὰ* Gen.[b.] 9) *χρυσᾶ . . . κήπου* om. Gen.[b.] 9) *τῷ δρόμῳ ἔφθασε τρέχειν. οὕτως ἀσχ.* Gen.[b.] 11) *τὴν — συλλογὴν* omisso *ἐλείφθη* Gen.[b] 11) *δ' αὐτὴν* sine *γυν.* Gen.[b.] 12) *μετεμορφώθη*] Gen.[b.] vulg., —*φάσθη* Reisk. seqq. 15) *κήπων* 4., unde *μῆλα* seqq. afferuntur tanquam post *τὴν κόρην* l. 9. lecta. 15) //Gen.[b.] 16) *ἡ μὲν Ἀρκαδίας, ἡ δὲ Βοιωτίας. ἡ Σχ. τοίνυν θυγ. Βοιωτικὴ οὖσα καὶ δρομαία* Gen.[b.], ubi in fine scholii *ἡ δὲ Ἀρκ. Ἀτ. τοξότης ἦν δεινή.* 18) *προσέθετο* Gen.[b.] et ante Reisk. 19) *αὐτῆς* (Gen.[b.]) Kiessl. 19) *λαβεῖν αὐτὴν* post *δρόμῳ* vulg., unde transposui, om. p. et sequens scholium. 20) *νικῆσαι* Gen.[b.] et ante Reisk., cf. pag. 147. 4. 20) *Ἱππ. οὖν λαβὼν χρυσᾶ μῆλα ἐξ Ἀφροδίτης* Gen.[b.] 22) *προγενόμενος*] *περιγενόμενος* Gen.[b.] et Reisk. seqq., *παραγ.* vulg. 22) *ἐκ τοῦ δρόμου* 3.[1.] 2.[1.] (hoc ordine ap. Wart.) et 2.[2.] 22) *αὐτῶν μήλων εἰς τοὐπίσσω* Gen.[b.] 24) *καὶ γυν. αὐ. ἔλ.* om. Gen.[b.] — 27) *αὐτοῦ*] *ἑαυτοῦ* cod.

— (*Ἀταλάντη ἡ Σχοινέως, ταχεῖα τοὺς πόδας οὖσα, προέθετο τὸν αὐτῆς γάμον ἔπαθλον τῷ νικήσαντι αὐτὴν πρὸς δρόμον, καὶ πολλοὺς θελήσαντας νικήσασα ἀνεῖλεν· τὸν γὰρ νικηθέντα λόγος ἦν ἀναιρεῖσθαι. Ἱππομένης δὲ ὁ Ἄρεος ἔρωτα ταύτης λαβὼν καὶ συνεργὸν τὴν Ἀφροδίτην κτησάμενος μῆλα χρυσᾶ τοῦ τῶν Ἑσπερίδων κήπου παρ' αὐτῆς ἔλαβε καὶ τὸν δρόμον ἀνύων εἰς μέσον αὐτὰ ἔρριπτε, καὶ τῆς Ἀταλάντης ἐπὶ τῇ συλλογῇ τῶν μήλων ἀσχολουμένης τὸν δρόμον ἀνύσας αὐτὸς ἐνίκησε καὶ εἰς γυναῖκα ταύτην ἠγάγετο.* M. Gen.[a]) — (*Ὡς εἶδεν ὡς ἐμάνη: ὅτε εἶδεν τὰ μῆλα, αὐτοῦ ἠράσθη.* Gen.[b]) — *Ὡς ἴδεν, ὡς ἐμάνη: τὸ ὡς ἀντὶ τοῦ εὐθέως, καὶ Ὅμηρος·*

ὡς ἴδεν, ὥς μιν μᾶλλον ἔδυ χόλος.

οἱ δὲ οὕτως.

Rec. (*Ἱππομένης ὅκα δὴ τὰν παρθένον: ἐντεῦθεν ἄρχεται τῆς ᾠδῆς. ⟨Ἱππομένης⟩ ὄνομα κύριόν ἐστι, σημαίνει δὲ τὸν μεγάλως μαινόμενον.* Gen.[a]) — *Οὕτως ὡς εἶδε τὰ μῆλα λίαν ἐμάνη — ἐπίτασιν γὰρ ἔχει τὸ ὡς — ἐπ' αὐτοῖς.* — (*Ὡς ἐς βαθὺν ἅλλετ' ἔρωτα:* Gen.[a]) *ὡς εἰς βαθὺν ἔρωτα, αὐτῶν δηλονότι, τῶν μήλων, ἅλλετο, [ἀντὶ τοῦ ἥλατο,] τουτέστιν ἐνέπεσε. βαθὺν δὲ λέγει τὸν ἔρωτα ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης, ἤτοι δασείας.*

Vs. 43—45.

Vet. *Τὰν ἀγέλαν χ' ὠ μάντις ἆγε Μελάμπους:*	(*Ἆδε Βίαντος ἐν ἀγκήνησι ἐκλίνθη:* Gen.[b] *Νηλεὺς*

43) [*Ὄθρυος:*] *πόλις Ἰφίκλου.* M.

44) [*Ἐς Πύλον:*] *πρὸς τὸν Νηλέα.* M. — *Ἔπεσεν, ἤγουν συνεζεύχθη τῷ Βίαντι.* M.

---

1) Gen.[a] hoc schol. ad finem idyllii habet. Ex M.[3] *ταχεῖα* seqq. afferuntur tanquam post *ἡ δὲ Βοιωτικὴ* pag. 146. 18. lecta. Duebnerus *ἡ Βοιωτικὴ ταχεῖα* seqq. inseruit post *ἀνεῖλεν* pag. 146. 20. 2) *αὐτὴν*] *ταύτην* codd. — *πρὸς . . . ἀνεῖλεν* om. Gen.[a] 3) *νικήσασα*] *νικῆσαι* M., cf. pag. 146. 21. 9) *ἀνηγάγετο* Gen.[a] 10) *ὅτε*] Adert, *ὅτι* cod. 11) //Om. Gen.[a.b.] Lips. 13) *Hom. Il. T*, 16. 16) *Ἱππ.* supplevit Adertus. 17) //* Lips. *οὕτως . . . μῆλα — ἐπίτασιν τὸ ὡς — ἐπ' αὐτοῖς. — οὕτως*] H. M. P. Lips., *ὄντως* vulg. 19) //Gen.[a] 20) *δηλονότι* om. Gen.[a] 20) *ἀντὶ τ. ἥ.* om. Gen.[a] 24) //Hujus scholii in codd. duae recensiones habentur, altera in p. 3. M. Bar. Gen.[a], in quo ad Id. VIII inter Hypothesin et Triclinii scholium metricum legitur; altera in 4. 5. E. P. Q. Z. Can. Gen.[b] Vulc. Lectio vulgata auctore Calliergo plerumque priorem sequuta est, sed quaedam ex altera assumpsit. Itaque prior columna refert lectionem codicis Gen.[a], altera codicis Gen.[b], vulgatam vero lectionem quaecunque uncinis semirotundis carent. Reliquorum codicum lectiones diserte indicatae sunt, quaecunque innotuere. Col. I. 24) Lemma et *ἱστ.* om. Gen.[a]

ἱστορία. Νηλεὺς ὁ Τυροῦς καὶ Κρηθέως ἔχων θυγατέρα Πηρὼ οὐκ ἐδίδου αὐτήν τινι γυναῖκα, εἰ μὴ τῷ συντιθεμένῳ ἀγαγεῖν αὐτῷ τὰς Ἰφίκλου βοῦς

Μελάμπους δὲ θέλων τῷ οἰκείῳ ἀδελφῷ Βίαντι τὴν κόρην δοῦναι τὸν κίνδυνον ὑπέστη. συλληφθεὶς δὲ ὑπὸ τῶν βουκόλων τοῦ Ἰφίκλου [ἐδεσμεύθη ἤτοι] ἐν φυλακῇ ἐβλήθη. (*καὶ ἐκεῖ ὢν ἤκουσε λεγόντων τῶν σκωλήκων ἐλάχιστον εἶναι τὸ περιττεῦον τῆς δοκοῦ εἰς διάβρωσιν,* [*ὥστε τὴν οἰκίαν καταπεσεῖν·* Gen.[a]] *καὶ προμηνύσας τῷ Ἰφίκλῳ τὴν τοῦ δόμου πτῶσιν ἐθαυμάσθη ὑπ' αὐτοῦ.* p. Vat. Gen.[a] et fere M. Bar.) *καὶ ἤρετο αὐτὸν ὡς μάντιν, πῶς ἂν παῖδας ποιήσῃ. ἄτεκνος γὰρ ἦν ἐκ τοιαύτης αἰτίας.*

ὁ Τυροῦς καὶ Κρηθέως τὴν θυγατέρα Πηρὼ ἔφη δώσειν ἐκείνῳ γυναῖκα εἰς γάμον τῷ ἐξάγοντι τὰς βοῦς αὐτῷ ἀπὸ Ἰφίκλου. Z. Can. Gen.[b] et fere E. Vulc.) *ἐκ Φυλάκης. Βίας δὲ ὁ Μελάμποδος ἀδελφὸς ἤρα αὐτῆς σφόδρα.*

(*ὁ οὖν Μελάμπους ἐλθὼν εἰς τὴν Ἰφίκλου χώραν διὰ τὰς βοῦς ἐδεσμεύθη παρ' αὐτοῦ.* Q. Z. Gen.[b])

Vet. *Θαρσεῖν χρή*: *τοῦτο ὁ Κορύδων φησὶ παραμυθούμενος τὸν Βάττον, ἵνα μὴ ἀθυμῇ ἐπὶ τῇ τελευτῇ τῆς Ἀμαρυλλίδος.*

Vs. 42.

Rec. *Ἀνέλπιστοι δὲ θανόντες*: *ἀνέλπιστον ὃ οὐκ ἐλπίζει τις λαβεῖν ἢ κατορθῶσαι ἢ τοιοῦτό τι. ἀνέλπιστον καὶ τὸ ἐλπίδων ἐστερημένον, καθὸ λέγεται ἐνταῦθα τὸ ἀνέλπιστοι.*

Vs. 43.

Rec. *Χ᾿ ὠ Ζεὺς ἄλλοκα*: (*καὶ ὁ Ζεύς*· Lips.) *τὸν Δία λέγει τὸν αἴτιον τῶν ὑετῶν ἀντὶ τοῦ ἀέρος, ἐν ᾧ συνάγονται αἱ νεφέλαι.*

40) *Τοῦτό φησι διὰ τὸν θάνατον τῆς Ἀμαρυλλίδος.* k. 4. — *Ἕνεκα τῆς κατὰ πολὺ κακωτικῆς μοίρας* 1. 2. 7. 23., *ἥτις με ἔλαχεν, ἤγουν ἀπεκληρώθη.* 1. 2. 7. — *Ἐνήδρευσεν ἢ ἔλαχεν.* K. M.

41) *Θαρρεῖν, ἀγαθὰς ἔχειν ἐλπίδας* H. M. P. Lips., *εἰς ἑαυτόν.* P. — *Ἴσως εἰς τὸ ἐπιὸν ἔσται τὸ πρᾶγμα κρειττόνως.* 1. 2. H. M. Y. Lips.

43) *Ὁ οὐρανός.* k. *ὁ αἰθήρ.* P. — *Εὐδιεινός.* k. E. *ἀνέφελος.* H. M. Lips.

44) *Βάλλε κάτω, ἤγουν καταβίβασον.* H. M. Y. Lips. — *Τὰ μοσχάρια.* M.

---

2) *ἀπέσβης*] Gen.[a] Lips., *ἀπέσβας* vulg. 2) *τουτέστι* Gen.[a] 5) Schol. in Gen.[a] post schol. Vs. 42 legitur. 5) *τοῦ κ. κακωτικοῦ* Lips., *τῆς κακῆς μ.* Gen.[a], *τῆς καταπολὺ σκληροτάτης καὶ κακωτικῆς* H. M. Y. 6) *ἀπεκληρώσατο* Lips. 9) //k. Gen.[b] — *θαρσῆν* Gen.[b] 10) *τὸν Β.* om. Gen.[b] 10) *τῆς* om. k. 13) //Gen.[a] Lips., etiam hic c. lemm. 14) *ἢ* seqq. in Gen.[a] post schol. seq. leguntur. 15) *ἐλπίδων*] Gen.[a] Lips., *ἐλπίδος* vulg. 18) //Gen.[a] Lips. — *ἄλλοκα* om. Gen.[a] 19) *ἤγουν τὸν ἀέρα* N. 19) *συνάπτονται* E. N. — 21) *τοῦτό φ.* om. k. 22) *καθολικῆς* 23., *μοίρης* 1. 2. 7. 25) *κρεῖττον* 1. 2. 27) *εὐδιηνός* E.

Vs. 45.

Vet. *Τὸν θαλλὸν τρώγοντι*: θαλλὸς ἁπλῶς λέγεται πᾶν τὸ τεθηλός· κυρίως δὲ ὁ τῆς ἐλαίας βλαστός. — (Ἄλλως. *Τὸν θαλλὸν τρώγοντι*: θαλλὸν ἔλεγον οἱ ἀρχαῖοι πᾶν τὸ τεθηλός. Ἀρχίλοχος [δέ]·

ἔχουσα θαλλὸν μυρρίνης ἐτέρπετο

καὶ Ὅμηρος·

θαλλόν τ' ἐρίφοισι φορῆναι.

Ἀθηναῖοι δὲ κατ' ἐξοχὴν θαλλὸν τὴν ἐλαίαν φασί. k. 3. 4. 5. Can. Gen.[b.] Vulc.) — *Τὰ δύσσοα*: τὰ δυσδίωκτα ἀπὸ τοῦ δυσκόλως σεύεσθαι καὶ ὁρμᾶν [διὰ τὸ εἶναι πτωχά.] — (Ἡ *δύσοα* δι' ἑνὸς σ ἀντὶ τοῦ δυσώδη ἀπὸ τοῦ ἄω τὸ πνέω. 3.) — *Σίτθ' ὁ λέπαργος*: τὸ σίττα ἐπίφθεγμα βουκολικόν, ὅπερ λέγουσιν [οἱ βουκόλοι·] ὁμοίως καὶ τὸ ψίττα. (εἰώθασι δὲ λέγειν αὐτὸ οἱ· βουκόλοι διώκοντες τὰς βοῦς. k. 4. 5. Gen.[b.]) — *Ὁ λέπαργος*: ὁ λευκός, ἢ ὁ λευκόποκος ἢ ὁ λευκόπλευρος. ἀλλ' ὁ μὲν ἀπὸ τοῦ λέπας ἔχειν [καὶ τοῦ] ἀργόν, ὅ ἐστι λευκὸν ἔχειν τὸ δέρμα· (ὡς Ὅμηρος τοὺς κύνας ἀργοὺς λέγει ἀντὶ τοῦ λευκάς, ἢ ταχεῖς κατὰ ἀντίφρασιν· Vulc.) ὁ δὲ ἀπὸ τοῦ λευκὸς εἶναι κατὰ τὴν λαπάραν.

Rec. (*Θαλλὸς* λέγεται ἰδίως ὁ τῆς ἐλαίας κλάδος, θύρσος δὲ ἁπλῶς ὁ ἁπαλὸς κλάδος. E. M. N. Gen.[a.] Lips.) — (ΔΥΣΣ. τὰ δυσκόλως σωζόμενα διὰ τὸ εἶναι πτωχά. E.) —

45) Τὸν κλάδον. E. M. — Δυσδίωκτα. k. τὰ δυσκίνητα. C. τὰ κακῶς σωζόμενα. H. M. P. Lips. — Ὁ λευκός. k. ὁ ἔχων λέπας καὶ δέρμα λευκόν, ηγουν λιπαρόν· ὁ λευκός. M.

---

2) //Om. k. Gen.[a.b.] Lips. 3) ἄλλως om. k. Gen.[b], lemma ex 3. 4. 5. Can. Vulc. non allatum, *θαλλὸς* lemma in k., θαλὸν quater Gen.[b.] 4) πᾶν τὸ τεθ. ante θαλλὸν k. 5) δὲ om. k. Gen.[b.] 6) *Archil. fr.* 28. — μυρρίνης] k., μυρίνης rell. 8) *Hom. Od. P,* 224. 9) θαλλόν] add. k. 10) //k. Gen.[b.], in illo post schol. *Ὁ λέπαργος* l. 20. 11) δυσκόλου Gen.[b.] 11) σέβεσθαι k., σώζεσθαι E.[2.] 11) Circumscripta om. k. 11) πτωχαὶ Gen.[b.] et ante Brub. 12) δίσοα cod. 13) //k. 4. 5. Gen.[b.] Phav. — *σίτθ'* lemma in k., *σίτθα* 4. 5., *σίττα* Gen.[b.] 13) τὸ σίττα] Gen.[b.], om. k. 4. 5. vulg. 14) οἱ βουκόλοι om. k. 4. 5. Gen.[b.] 14) ὁμοίως καὶ τὸ om. 4. 5. Gen.[b.] — ψίττα ὁ λέπαργος Phav. sequente lemmate adhaerente. 15) βουκόλοι om. k. 15) ἀπωδιώκοντες 4. 5. Gen.[b.], ἀποδιώκοντος τὰς βοῦς post βουκολικόν 3.[1.] 16) //k. Gen.[b.] — *ὁ λέπ.*] Gen.[b.], ὁ om. k., λέπ. δὲ vulg. 16) ἤγουν ὁ λευκὸς ἢ λευκ. Gen.[b.] — ἢ om. k. 16) λευκόποκος] λευκοποίκιλος k. vulg. 16) ἢ ὁ λευκόπλευρος om. k. 17) καὶ τὸ Gen.[b.], om. k. 18) τὸ λευκὸν ἔχειν δέρμα Gen.[b.] 20) λευκὸς] k. Gen.[b.], λευκὸν vulg. 21) λέγεται ἰδίως] Gen.[a.] Lips., ἰδ. λέγ. vulg.

Ἢ *λέπαργος*: ὁ λευκὸς παρὰ τὸ ἔχειν λέπας ἀργόν, ἤγουν δέρμα λευκόν, ἢ ⟨εἶναι⟩ λευκὸν κατὰ τὴν λαπάραν.

Vs. 46.

Vet. *Κυμαίθα*: ὄνομα βοὸς ἢ αἰγὸς παρὰ τὴν κώμυθα· ἢ [παρὰ τὸ αἰθὴ καὶ τὸ κόμη] ἡ τὰς κόμας αἰθὰς ἔχουσα, τουτέστι ξανθάς· [ἢ ἡ ἐγκύμων.]

Vs. 48.

Vet. *Ἴδ' αὖ πάλιν*: ἰδοὺ πάλιν πρόσεισι τοῖς φυτοῖς. — (*Ἄδε ποθέρπει*: περισπαστέον· δεικτικῶς γάρ ποτε καὶ βαρύνεται κατὰ τὸ διάφορον. Gen.[b.])

Vs. 49.

Vet. *Εἴθ' ἦν μοι ῥοικόν*: ἀντὶ τοῦ καμπύλου. καὶ Ἀρχίλοχος·

ἀλλά μοι ῥοικός τις εἴη κατὰ κνήμην ἰδεῖν·

([ἤγουν εἴη βάτιος περὶ κνήμην. Gen.[b.]]) *λαγωβόλον* δὲ ξύλον, ᾧ διαφεύγοντες οἱ λαγωοὶ βάλλονται. ἢ ὅτι ῥάβδον οὖσαν ὀρθὴν ἐπεύχεται γενέσθαι καμπύλην, ἵνα μὴ ἔγκυον οὖσαν βλάψῃ τὴν βοῦν.

Rec. (*Ῥοικόν*: τὸ καμπύλον. γίνεται δὲ ἀπὸ τῆς ῥοιᾶς, δένδρου τινός, ὅτι οἱ ἀπὸ τούτου κλάδοι καμπύλοι εἰσὶ καὶ ὄζους ἔχοντες πλείστους. E. N.)

46) [*Σίττ'*:] ἄπιθι. P. — [*Κυμαίθα*:] πυρρά. k. — Ἄπελθε δηλονότι. M.

47) *Αὐτόθεν*. k. H. M. Lips. ἐντεῦθεν. E. F. — Ἐπίρρημα δεικτικὸν τὸ ἴδε. H. M. P. Y. Lips.

49) *Καμπύλον*. k. 4. ἢ τὸ ἀπὸ ῥοιᾶς ῥόπαλον. 4. τὸ ἐπικαμπές. E. N. — Τὸ ῥάβδιον. k. τὸ τοὺς λάγους βάλλον κορύνιον. M. εἶδος φυτοῦ. P. τὸ λαγωβόλον τὸ καμπύλον. Lips.

---

1) //Gen.[a.] omisso ὁ. 1) ἀργὸν om. Gen.[a.], qui ἤτοι. 4) //k. Gen.[b.] Phav. — ἢ αἰγὸς] 3. Gen.[b.] Vulc., καὶ αἰγὸς k. Phav. vulg. 4) παρὰ κόμυθα Gen.[b.], παρὰ τὸ Phav. 5) Circumscripta om. k. — αἴθη et αἴθας vulg., τοῦ κόμη Gen.[b.] 6) ἢ ἡ ἐγκ.] 4. 5., ἢ ἐγκ. Gen.[b.] vulg., om. k. 8) / k. — τοῖς φύλλοις ἢ τοῖς φυτοῖς k. 12) //Gen.[b.] — ἀντὶ τοῦ] 3. P. Gen.[b.], ῥοικὸν τὸ vulg. 12) καὶ] 3. P. Gen.[b.], ὡς καὶ E., om. vulg. 14) *Archil. fr.* 60. — κατὰ κν. ἰδ. om. E. 15) ἢ εἴη βάττος περὶ λίμνη cod. 15) Verba λαγωβόλον ... βάλλονται etiam in Gen.[a.] extant. — τὸ λαγ. Gen.[b.], δὲ om. Gen.[a.] 16) λαγ. ᾧ οἱ διαφ. λαγ. ξύλῳ (ξύλα Gen.[b.]) βάλλονται P. Gen.[b.] 17) καμπύλον Gen.[b.] 18) βλάβῃ τὸν νοῦν P. — 22) πυρὰ cod.

Vs. 50. 51.

Vet. *Θᾶσαι μ' ὦ Κορύδων*: παρεπιγραφὴ τὸ σχῆμα. κατὰ γὰρ τὸ σιωπώμενον ἀπερχόμενος ὁ Βάττος ἀπελάσαι τὴν δάμαλιν ὑπὸ ἀκάνθης ἐτύπη, καὶ δεῖται τοῦ Κορύδωνος ἐξελεῖν αὐτήν. διὸ καὶ πρὸς αὐτὸν ἀπέστρεψε τὸν λόγον καί φησι· θέασαί με πρὸς τοῦ Διός· ἄρτι γάρ με ἄκανθα ἐπάταξε παρὰ τὸ σφυρόν. — (Ἰστέον ὅτι κατὰ τὸ σιωπώμενον ἀπῆλθεν ὁ Βάττος διῶξαι τὰς βόας, καὶ ἀπερχόμενος ἐπάτησεν ἄκανθαν. P. Gen.[b.]) — *Ἀρμοῖ*: εἰ μὲν ψιλοῦται, τὸ ἀρτίως καὶ νεωστὶ σημαίνει· εἰ δὲ δασύνεται, τὸ ἡρμοσμένως. τὸ δὲ *βαθεῖαι* ἀντὶ τοῦ ὑπερμεγέθεις καὶ μετέωροι. — (*Ἁρμῷ*: — παρὰ τοῖς Συρακουσίοις διὰ τοῦ οι γράφεται. ἐκεῖνοι γὰρ ἁρμοῖ λέγουσι κατὰ συστολὴν τοῦ ω εἰς τὸ ο, ὡς παρὰ Καλλιμάχῳ·

ἁρμοῖ γὰρ Δαναῶν γῆ ὡς ἀπὸ βουγεέως.

σημαίνει τὸ ἀρτίως ἢ ἁρμοδίως·

ἁρμοῖ που κἀκείνῳ ἐπέτρεχε λεπτὸς ἴουλος.

οὕτω Θέων ὁ Ἀρτεμιδώρου. προστίθησι δέ, ὅτι τὸ ἀρμοῖ ψιλούμενον μὲν σημαίνει τὸ ἀρτίως, δασυνόμενον δὲ τὸ ἁρμοδίως. EtM. 144, 50.)

Vs. 52.

Vet. *Ταὶ ἀτρακτυλίδες ἐντί*: ἀτρακτυλὶς εἶδος [βοτάνης ἢ] ἀκάνθης. εἴρηται δὲ ἀπὸ τοῦ τὰς ἀγροικικὰς γυναῖ-

50) *Παρεπιγραφή.* M.

51) *Νεωστί, καὶ Αἰσχύλος· ἀρμοῖ πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους.* 4. *νεωστί.* k. *ἐπίρρημα. νεωστί, ἅμα.* M. P. *ἅμα.* Lips. — *Ὑπὸ τὸν ἀστράγαλον.* M. Lips. *ἢ εἰς τὸ πέλμα τοῦ ποδός.* M. — *Ὑπερμεγέθεις.* k. *λίαν δασεῖαι.* K. P. Lips. *μακραί.* E.

52) *Εἶδος ἀκάνθης.* k. *ἄκανθα οὕτως ὀνομαζομένη.* M.

---

2) //k. — *παρεπιγραφὴ*] conj. Duebnerus ex GlM., *ἀποστροφὴ* k. vulg. 3) *κατὰ γὰρ ... αὐτήν* om. k., ubi pergitur: *ἀπέστρεψε γὰρ τὸν λόγον πρὸς τὸν Κορύδωνα καί.* 9) //k. Gen.[b.] — *ἀρμοῖ*] k., *ἀρμοῖ δ' ὦδ' ἔπαξε* Gen.[b.], *ἀρμοῖ μ' ὦδ' ἐπάταξεν* Call. 9) *ἀρτίως καὶ* om. k., *καὶ νεωστὶ* om. Gen.[b.] 10) *ἢ* pro *εἰ* Gen.[b.] 10) *ἡρμοσμένον* k. 10) *τὸ δὲ* seqq. om. k. — *τὸ ὡς τὸ βαθῆναι* Gen.[b.] 11) *μετ. καὶ ὑπ.* Gen.[b.] 12) *διὰ τοῦ ι* vulg. 14) *Callim. fr.* 230. — *βουγενέως* D., *βουτενιως* M. De vera lectione cf. Schneidew. post Eustath. Prooem. Pind. p. 39. 16) *Callim. fr.* 44. — *ἐπέτρεχον* D. P., *ἐπέπρεπε* V.[b.] 17) *οὕτως* V.[b.], *οὗτος* M. — *Θέων ὁ Ἀρτεμιδώρου*] V.[b.] et Par. ap. Bast. ad Gregor. p. 368, *Θέων ὁ τοῦ Ἀρτεμιδώρου* Leid. ibid., *θεῶν ὅτε Ἀρτεμιδώρου* M., *θε) ὁ τοῦ ἀρτεμιδώρου* D., *θέλει ὁ Ἀρτεμίδωρος* vulg. 21) //k. sine lemm. et Gen.[b.], in quo desunt *ἐντὶ* et *ἀτρακτυλίς.* 21) *βοτ. ἢ* om. k., *ἢ ἀκ.* om. Gen.[b.] 22) *τοῦ* om. Gen.[b.], *τὰς* om. k. 22) *ἀγροικικὰς*] P. Gen.[b.], *ἀγροίκας* k., *ἀγροίκων* vulg. — 24) Gl. 4. etiam a Gaisf. inter Scholl. allata est. *Aesch. Prom.* 616. *ἄρμοι πέπανσται* 4.[1.]

κας ἀτράκτους ποιεῖν ἐξ αὐτῶν. ἔνιοι δὲ ἀτρακτυλίδας ⟨*εἰς*⟩ *τὰ ἀγριολάχανα συγκαταλέγουσι.*

Vs. 53.

Rec. (*Χασμώμενος*: *ἀποβλέπων, τὸν νοῦν ἔχων.* 1. 2. H. M. *Lips.)

Vs. 54.

Rec. *Ἔχω τέ μιν· ἅδε καὶ αὐτά*: *κρατῶ αὐτήν, τὴν ἄκανθαν δηλονότι. τὸ δὲ ἥδε ταὐτὸ δύναται τῷ ἴδε ἐπιρρήματι.*

Vet. (*Ἅδε καὶ αὐτά*: Gen.[b]) *ὁ καὶ περισσός, ὥσπερ καὶ παρ' Ὁμήρῳ·*

τῶν ἀμόθεν γε θεά, θύγατερ Διός, εἰπὲ καὶ ἡμῖν.

— *Ἄλλως. Ἐκβαλὼν τὴν ἄκανθαν δείκνυσι τῷ Βάττῳ καί φησιν· ἥδε καὶ αὐτή.*

Vs. 55.

Rec. *Ὀσσίχον ἐστὶ τὸ τύμμα καὶ ἁλίκον ἄνδρα*: *βαβαί, ὅσον ἐστὶ τὸ τὴν πληγὴν ποιοῦν. δεικτικῶς ἐμφαίνει τό τε μέγεθος τοῦ ἀνδρὸς καὶ τὴν σμικρότητα τῆς ἀκάνθης.*

Vet. (*Καὶ ἁλίκον ἄνδρα*: Gen.[b]) *τὸ ἡλίκον πρὸς τὸν ἄνδρα, ἵν' ᾖ· μικρὸν ὂν τὸ τύμμα ἡλίκον ἄνδρα, τουτέστι μέγαν ἢ ἀνδρεῖον, δαμάζει. ἢ τὸ ἡλίκον ἐπιρρηματικῶς, ἵν' ᾖ·* (*ὅσον τὸ τύμμα, καὶ* Gen.[b]) *ὁποίως δαμάζει τὸν ἄνδρα.* — (*Ὀσσίχον*: *ὅσον, ἡλίκον.* Hesych.)

53) *Βλέπων.* 5. *εἰς αὐτὴν τὸν νοῦν ἔχων.* M. — *Ἆρα βλέπεις αὐτήν.* P. Lips.

54) *Κρατῶ αὐτήν.* Lips. — [*Ἅδε*:] *γράφεται καὶ ἴδε.* 23. — *Περισσὸν τὸ καί.* k.

55) [*Ὀσσίχον*:] *μικρόν.* k. C. E. — *Τὸ πλῆγμα.* k. *ἡ πλῆξις.* C. *ἡ ἄκανθα ἡ πλήξασα.* E. N. — *Κατέβαλεν.* M. *συντρίβει.* P.

---

2) *συγκαταλέγουσι*] k., *φασὶ* vulg. 4) *ἤγουν ἀποβλέπων κεχηνώς* M. 7) //Lips. s. l. *κρατῶ αὐτήν*, in marg. *τὸ δὲ* seqq. 8) *ἥδε*] M. Y. Lips., *ἅδε* vulg. Ceterum illi *ταὐτὸν δύν. τὸ ἥδε.* 8) *τῷ*] M. Y. Lips. Reisk. seqq., *τὸ* vulg. 8) *ἐπιρρήματι*] add. M. Y. Lips. 10) //Gen.[b] — *περισσὸν ὃ καὶ* Gen.[b] 12) *Hom. Od. A*, 10. — *ἀμόθεν*] ante Heins., *ἀμόθεν* vulg. 13) //Gen.[b] — *ἄλλως. ἐκβ.*] Gen.[b], *ἐκβ. γὰρ* vulg. 13) *καὶ δεικνύων αὐτὴν τ. Β. φησίν* Gen.[b] 14) *ἥδε*] *ἅδε* vulg. 14) *αὕτη* ante Xyl. 16) //Lips. s. l. *βαβαί ... ποιοῦν*, rell. in marg. 19) //Gen.[b] 21) *μέγα* ante Heins., *ἄνδρα* pro *μέγαν* Gen.[b] 21) *ἢ ἄλλως· τὸ ἡλικὸν ἐπίρρημα* Gen[b] 21) *ἵν' ᾖ*] Gen.[b], *ἀντὶ τοῦ* vulg. 22) *ὅσον*] *ὀσσίχον* cod. 22) *τ. ἄ. δαμ.* Gen.[b] — 28) *πικρὸν* k.

Vs. 56.

Rec. Μὴ ἀνάλιπος: ἀνήλιπος ὁ ἀνυπόδητος. ἧλιψ γὰρ τὸ ὑπόδημα παρὰ τὸ ἑλίσσειν τὸν πόδα, ἐξ οὗ καὶ πέδιλον τὸ ὑπόδημα· ἀνήλιπος δὲ οἱονεὶ ὁ μὴ ἑλίσσων τὸν πόδα. — (Ἀνάλιπος: ὁ ἀνυπόδητος ἀπὸ τοῦ α στερητικοῦ καὶ τοῦ ἧλιψ, ὅ ἐστιν εἶδος ὑποδήματος. E.)

Vs. 57.

Vet. Ῥάμνοι τε καὶ ἀσπάλαθοι [κομόωντι]: (— γράφεται καὶ κάκτοι — k. 3. 4. 5. P. Gen.[b]) κομόωντι ἀντὶ τοῦ κομῶσιν, ἤτοι ἀκάνθας ἔχουσι· κόμαι γὰρ ῥάμνου καὶ ἀσπαλάθου αἱ ἄκανθαι. ἀσπάλαθοι δὲ εἶδος ἀκάνθης, ᾗ πληγέντες οἱ ἔλαφοι ἀποθνήσκουσιν. ἀσπάλαθος δὲ εἴρηται διὰ τὸ μὴ ῥαδίως ἀπὸ τῶν πληγέντων ἀποσπᾶσθαι, ἤτοι ἀφαιρεῖσθαι. — (Ἀσπάλαθος: εἶδος ἀκάνθης. εἴρηται παρὰ τὸ σπῶ σπάλαθος καὶ ἀσπάλαθος. οὕτως Ἀμάραντος εἰς τὸν Θεόκριτον. Etymm.)

Vs. 58. 59.

Rec. Εἶπ' ἄγε μοι Κορύδων, τὸ γερόντιον ἦ ῥ'

56) Ἀνυπόδητος. k. Lips.

57) [Ῥάμνοι:] τὰ κοινῶς ῥοπάκια. M. — [Ἀσπάλαθοι:] βοτάναι ἀκανθώδεις. M. τζυκνίδαι. P. — Κομῶσιν ἀντὶ τοῦ τρέφονται, αὔξονται. Lips.

---

2) //Gen.[a] et Phav. sine lemmate. 2) ἀνήλιπος ὁ] Gen.[a] et Phav., ἤγουν vulg. 2) ἀνυπόδετος Gen.[a], ὃς καὶ ἀνάλιπος Δωρικῶς addit Phav. 2) ἧλιψ ... πόδα vulgo post πέδιλον τὸ ὑπόδημα leguntur, unde in hunc locum transposui, om. Gen.[a] 4) ὑπόδυμα Gen.[a] Sequentia om. Phav. 8) //k. Gen.[b] — ῥάμνοι τε καὶ ἀσπ. lemma in P., ῥάμνοι καὶ ἀσπ. in k., θάμνοι καὶ ἀσπ. in 3. 4. 5., ῥάμνοι καὶ ἀσπ. θάμνοι καὶ ἀσπ. in Gen.[b], ῥάμνοι τε om. Call., κομόωντι om. k. 3. 4. 5. P. Gen.[b] 9) γὰρ pro γράφεται k. 9) κάκτοι] Wartonus, κάκτιοι 5. P., κάττιοι k., κάτιοι 4., κάτριοι 3., μάκτιοι Gen.[b] 9) κομοῶντι δὲ k., τὸ δὲ κομόωντι 3. 4. 5. P. Gen.[b] In k. verba ῥάμνοι ... κομοῶντι δὲ casu post αἱ ἄκανθαι l. 11 leguntur. 10) ἤτοι] add. Gen.[b] 10) θάμνου καὶ ἀσπάλαθα P., θάμνον καὶ ἀσπάλαθαι 5., θάμνοι καὶ ἀσπάλαθοι Gen.[b] 11) καὶ pro αἱ 5. 11) ἀσπάλαθοι] k. Gen.[b], -θος vulg. — δὲ om. k. 12) ᾧ pro ᾗ P. Gen.[b] 12) αἱ ἔλ. k. et ante Scult. 12) ἀσπάλαθοι k. 12) δὲ] add., εἴρηται om. k. Gen.[b] 13) ἀπὸ] k. P. Gen.[b], ὑπὸ vulg. 13) ἀποσπ. ἤτοι om. P. Gen.[b] In k. ex ultimis vocibus haec supersunt: πλ.. ..ᾶσθαι.. 14) EtG. 84, 24, ubi ἀσπάλαθρος bis et σπάλαθρος, EtM. 158, 30 sine εἴρηται δέ. 15) οὕτως seqq.] EtG. et Par. Sorb. (τὸ Θεόκριτος Par.), om. EtM. vulg. 18) //Lips. s. l. ἄγε εἰπέ μοι — τὸν ... Αἴγωνος — ἄρα ἀκμὴν περαίνει κείνην τὴν μελ. ὁ. ἔχουσαν — ἴσως τὴν ἐρωτικήν, et in marg. ἧς ἕνεκα seqq.

ἔτι μύλλει: *ἄγε εἰπέ μοι ὦ Κορύδων, τὸ γερόντιον — τὸν πατέρα λέγει τοῦ Αἴγωνος — ἆρα ἔτι ἐλαύνει, ἤγουν φιλεῖ, ἐκείνην τὴν ἐρωμένην αὐτοῦ τὴν μελαίνας ὀφρῦς ἔχουσαν, ἧς ἕνεκά ποτε ἐρωτικὸν πάθος ἐδέξατο.* — (*Ἐρωτίδα*: *ἤγουν τὴν ἐρωτικήν, ἧς ἕνεκά ποτε ἐρωτικὸν ἔσχε πάθος.* Gen.[a]) — (*Ἐρωτίδα*: *ἢ τὴν ἐρωμένην, ἢ καὶ ὡς ὄνομα κύριον.* E.)

Vet. (⟨*Γερόντιον*: *τὸν πατέρα λέγει τοῦ Αἴγωνος·*⟩ *οὐχ Ἑλληνικὸν δέ, ἀλλὰ ὑποκοριστικόν.* 3. 4. 5. Can. Gen.[b] Vulc.) — (*Μύλλει*: *ἀντὶ τοῦ φιλεῖ.* k. *μυλλὸν γὰρ τὸ διεστραμμένον, οἱ δὲ ἐρῶντες διεστραμμένοις τοῖς ὄμμασι βλέπουσι.* k. 3. 4. 5. Can. Gen.[b] Vulc. — *Ἄλλως. Γράφεται μύλλει, ἤγουν ἐπι..... αἰσχρῶς.* k.) — *Μύλλει*: *κάμπτει· ἀλλὰ καὶ ἐλαύνει καὶ περαίνει ἀπὸ τῶν ἀλούντων καὶ τῇ κώπῃ τοὺς μύλους ὠθούντων.* — (*Μύλλει*: *πλησιάζει.* Hesych.)

Vs. 60. 61.

Vet. *Ἀκμὰν ὦ δειλαῖε*: *οὐχ ὡς λοιδορῶν, ἀλλ' ὑποκοριζόμενος καὶ ὑποκρινόμενος τοῦτο λέγει.*

Rec. *Πρὸ ὀλίγου γὰρ αὐτὸν ἐπελθὼν καὶ πρὸς τὴν μάνδραν* [*ἢ μάκτραν ἢ βάκτραν — τριχῶς γὰρ φέρεται ἐν τοῖς ἀντιγράφοις* —] *κατελάμβανον, ὁπηνίκα ἐνήργει, τὴν μετ' αὐτῆς δηλονότι μίξιν.*

58) *Ὑποκοριστικόν.* k. — *Ἀκμήν.* 1. 2. E. M. Lips. — *Φιλεῖ, συνουσίαν ζητεῖ.* k. *συνουσιάζει.* 4. 5. 6. *περαίνει.* 1. 2. Lips. *ἀλήθει, ἤγουν συνουσιάζει, περαίνει.* E. F. M. N.

59) *Ἴσως τὴν ἐρωτικήν.* H. I. Y. Lips. — *Ἠράσθη.* k. E. F. M. *ἐρωτικῶς ἔσχεν.* P.

60) *Τουτέστι μέχρι τοῦ νῦν χρῆται τοῖς ἀφροδισίοις.* E. — *Πρώην, πρὸ ὀλίγου.* H. M. N. Lips.

3) *μέλανας* ante Heins. 7) In Vulc. haec et reliqua ad h. v. fere legi dicuntur ut in 3. 4. 5. Can., cf. infra ad lin. 12. 9) *μυλλὸν γὰρ*] *μύλλον δὲ* k., *καὶ μύλλον* (Gen.[b]), *καὶ μῦλλον* rell. Accentum corrigi jussit Duebnerus. 10) *οἱ δὲ ἐρῶντες*] *οἱ γὰρ γέροντες* codd. 10) *φιλοῦσι* pro *βλέπουσι* k. 12) Lacuna in k. humiditate nata. 12) //k. 3. 4. 5. Can. Gen.[b] Vulc., in quibus libris (excepto k.) ante *οὐχ Ἑλληνικὸν* lin. 7. legitur. — *ἢ ῥ' ἔτι μύλλει* Gen.[b] 12) *κάμπτει· ἀλλὰ καὶ*] k. 3. 4. 5. Can. Gen.[b] Vulc., *δὲ* vulg. 13) *καὶ περαίνει*] k., *ὠθεῖ, περαίνει* vulg., om. Gen.[b] 13) *ἀλούντων* ante Heins., cujus loco *ὠθούντων* Gen.[b] 13) *κόπῃ* ante Xyl., *κώμῃ καὶ* Gen.[b] 14) *μυέλους* k., *μύλλους* Gen.[b] 16) //k. sine *ἀκμάν.* 16) *λοιδορούμενος* 4. 5. 17) *ὑποκρινόμενος*] k. vulg., *ἀποκρ.* Reisk. seqq. — *τοῦτο λέγει* om. k. 18) //Lips. s. l. *πρώην ἤγουν πρὸ ὀλίγου — ἐπελθὼν — πρὸς — ὁπηνίκα*, et in marg. *τὴν . . . μίξιν*, quae signo ad suum locum s. l. referuntur. 18) *αὐτὸς* Kiessl. 20) *ἐνάργει* ante Xyl., *ἐνήργει τὴν μίξιν αὐτῆς* P. 21) *δηλοῖ* pro *δηλονότι* N.

Vet. Καὶ ποτὶ τὰν μάνδραν: τὴν τῶν προβάτων ὀρκάνην. γράφεται καὶ ποτὶ τὰν μάκτραν, ὅ ἐστι σκεῦος ξύλινον ἀβακοειδές, οὗ φυρᾶν εἰώθασιν. ὠνόμασται δὲ ἀπὸ τοῦ μάττειν [καὶ φυρᾶν] ἐν αὐτῇ τὰς μάζας.

Vs. 62. 63.

Vet. Φιλοῖφα τό τοι γένος: [ἤγουν ὁ] φιλῶν τὸ συνουσιάζειν, [φιλοσυνουσιαστά]· οἴφειν γὰρ τὸ συνουσιάζειν. οὕτω καὶ παρὰ Ἀλεξανδρεῦσι κόρυφος λέγεται ὁ ὡς κόρη οἰφώμενος. — Φιλοῖφα: οἰφεῖν τὸ συνουσιάζειν ἀπὸ τοῦ ὀπυίειν· ἔνθεν καὶ

οἰφόλις γυνή·

εἶτα

ἄριστα χωλὸς οἰφεῖ,

παροιμία, ἥν φασι διαδοθῆναι, ἐπεὶ οἱ χωλοὶ ἐν οἴκῳ καθεζόμενοι συνεχῶς ἀφροδισιάζουσιν. Οἱ δέ φασι τὴν παροιμίαν ἐντεῦθεν [ῥυῆναι ἤτοι] διαδοθῆναι. αἱ Ἀμαζόνες ἐπὰν ἄρρεν γεννήσωσι, χωλὸν αὐτὸ ποιοῦσιν, ἵνα μὴ ἀνδρειότερον

61) Ἡνίκα συνεκοιμάζετο. k.
62) Εὖ σοι γένοιτο. M. Lips. — Ὦ γερόντιον φιλοσυνουσιαστά. P. φιλοσυνουσιαστά. k. Lips. φίλε συνουσίας. K. πόρνε ἀπὸ τοῦ οἰφῶ τὸ συνουσιάζω. E.

---

1) //k. Gen.[b.] — μάνδρα lemma in k., μάνδραν in 3. 4. 5. 1) τὴν τ. πρ. ὀρκ. om. 3. 4. 5. Gen.[b.] 2) γράφεται καὶ ποτὶ] add. k. 3. 4. 5. Gen.[b.] 2) τὰν μάκτραν] τὰν βάκτραν k. 3., τὰ βάκτρα 4. 5. Gen.[b.], ἢ μάκτραν ἢ βάκτραν vulg. 2) ὅ ἐστι] k. Gen.[b.], ἥ ἐστι vulg. 3) ἀβ. οὗ φ. om. Gen.[b.] 3) ὠν. δὲ hoc loco om. k. Gen.[b.], contra in fine ὠνόμασται k., ὠνόμασθαι Gen.[b.] 4) μαλάττειν k., μάτην Gen.[b.] — καὶ φυρᾶν om. k. Gen.[b.] 4) αὐτῇ] k., αὐτῷ Gen.[b.], αὐταῖς vulg. 4) μαμάζας Gen.[b.] 6) //k. Gen.[b]. Phav. s. v. οἰφεῖν. — τό τοι γ. om. k. 6) ἤγουν ὁ om. k. Verba ante οἰφεῖν et γὰρ om. Phav., qui in fine addit καὶ ἀπὸ τοῦ οἰφεῖν φιλοίφης, ἤγ. ὁ φιλ. τ. συν. 7) φιλοσυν. om. k. Gen.[b.] Phav. 8) οὕτω ... συνουσιάζειν om. Gen.[b.] 8) κόρυφος] k., κόροιφος vulg., κόρσοιφος 3. 5. 8) ὁ ὡς κόρη] Duebnerus, ὡς κόρη k., ὁ κόρην vulg., τὸν ὡς κόρην οἰφώμενον EtM. 8) ἀφώμενος k. 9) //k. Gen.[b]. Phav. post Sch. praec. — φιλοῖφα] k., ἢ vulg. 9) ὀπυίειν] Duebnerus, ὀπιπεύειν k. vulg., ὀπιπτεύειν 4. 5. Can. Gen.[b.] Vulc. 10) ἔνθεν] Gaisf., ἔνθα k. vulg., ὅθεν 4. 5. Can. Gen.[b.] Vulc. 11) οἰφόλις] Stephanus in Thes., οἰφωλὴς vulg., οἰφηλὴς Gen.[b.], ἠφ. λ.. k., ubi γυνὴ non apparet. 12) εἶτα] εἴπερ k., ὅθεν καὶ vulg. 13) *Paroemiogr. I p.* 196. *II p.* 147. 308. — ἄριστος Gen.[b.] 14) παροιμία hoc loco k., ante ἄριστα vulg. 14) φησι k. 14) οἱ γὰρ χωλοὶ Gen.[b.] 14) καθήμενοι Gen.[b.] 15) ἀφροδιάζουσιν k. Gen.[b.] 15) ὅ φασιν Gen.[b.] Pro οἱ δέ φασι seqq. Phav. habet ἄλλοι δὲ ἄλλως λέγουσι. 15) ἐντ. τὴν παρ. k. Gen.[b.] 16) ῥυῆναι ἤτοι om. k. Gen.[b.] 16) αἱ γὰρ Gen.[b.] 17) αὐτὸν Gen.[b.] 17) ἵνα ... γένηται om. k. — 18) ἡ νίκη cod.

αὐτῶν γένηται, καὶ τούτοις ἀνδρωθεῖσι συνίασι. Σκυθῶν οὖν λεγόντων κάλλιον ἔχειν συνεῖναι αὐτὰς αὐτοῖς, ἐκεῖνά φασιν· ἄριστα χωλοὶ οἰφοῦσι. — [Ἢ Σατυρίσκοις:] τοὺς Πᾶνας πλείους φησὶν ὡς καὶ τοὺς Σειληνοὺς καὶ Σατύρους, ὡς Αἰσχύλος μὲν ἐν Γλαύκῳ, Σοφοκλῆς δὲ ἐν Ἀνδρομέδᾳ. οἱ Σάτυροι καὶ οἱ Πᾶνες εὐεπίφοροι πρὸς τὰς συνουσίας. ὅτι δὲ οἱ Σάτυροι τοιοῦτοι, δῆλον ἀπὸ τοῦ ὀνόματος· ἀπὸ γὰρ τῆς σάθης πεποίηται ὁ Σάτυρος· σάθη δὲ ἡ εἰς ἐπιθυμίαν ἐκπύρωσις. — Ἄλλως. Ἢ Σατυρίσκοις: ἀκρατεῖς οἱ Σάτυροι ἐρώτων. λέγεται δὲ παρὰ τὸ σάθη [— σάθη δὲ τὸ μόριον τοῦ ἀνδρός, ὅπερ καὶ πέος λέγεται —] (<σάθηρος> καὶ Σάτυρος. τοὺς Πᾶνας πλείους φησὶν ὡς καὶ τοὺς Σειληνοὺς καὶ τοὺς Σατύρους, ὡς Αἰσχύλος μὲν ἐν Γλαύκῳ, Σοφοκλῆς δὲ ἐν Ἀνδρομέδᾳ. ὅτι δὲ οἱ Σάτυροι καὶ οἱ Πᾶνες εὐεπίφοροι πρὸς τὰς συνουσίας κατάγυνοι ὄντες, καὶ Καλλίμαχός φησι· k. 4. 5. Gen.[b.] *„εἴ τι φημι ἐρημώθη ἄμηρος δύναται ἐμπεῖραι.“ περὶ γὰρ Σατύρων πρόδηλον.* 4. 5. *καὶ γὰρ τοὔνομα ἀπὸ τῆς σάθης λέγεται.* 4.) — *Κακοκνάμοισιν ἐρίσδει: ἐπειδὴ <ὡς> αἱ αἶγες ἔχουσι λασίους πόδας· ἢ ἀπὸ τῶν ὀρῶν τῶν κνημῶν κακοδέρμοις.*

Rec. (*Τὸ γένος σοι ἢ Σατυρίσκοις ἐρίζει, ἤγουν ἁμιλλᾶ-*

63) *τράγοις.* M. — *Κακὰ σκέλη ἔχουσιν.* E. *τὰς κνήμας ἔχουσι λεπράς.* M. *τοῖς κακοεράστοις.* P. — *Ἁμιλλᾶται καὶ ἐξισοῦται.* P. *ἁμιλλᾶται εἴδει.* M.

---

1) *αὐτὸς* pro *αὐτῶν* Gen.[b.] 1) *ταύταις ἀνδρωθὲν συνουσιάζοι* 3., *ἵνα τ. ἀ. σ.* p. (quibus significari videtur eadem codicis 3. lectio, *τούτων ἀνδρωθέντων συνουσιάζειν* Vulc., *ἀνδρειωθεῖσι συνιᾶσι* k. 2) *κάλλιον*] *καλὸν* vulg. 2) *ἔχειν*] add. k. 2) *αὐτὰς αὐτοῖς*] *αὐτὰς ἑαυτοῖς* vulg., *αὐτὰς αὐτοὺς* Gen.[b.], *αὐτοῖς αὐτὰς* k., cf. Eustath. 403, 8. *Σκυθῶν δὲ προκαλουμένων αὐτὰς αὐτοῖς συνοικεῖν.* 2) *ἐκεῖνά φασιν*] k. Gen.[b.], *ἐκεῖναι ἔφασαν* vulg. 3) *χωλὸς* Gen.[b.] 3) //Om. k. Gen.[a.b.] Lips. 3) *Πᾶνας πλείους φησὶν — Σατύρους*] *Σατύρους οἱ πλείονές φασιν — Πᾶνας* vulg. 9) //k. Gen.[b.] sine *ἄλλως. ἢ.* 10) Circumscripta desunt in k. 11) *λέγεται καὶ πέον* sine *ὅπερ* Gen.[b.] 11) *καὶ Σάτυρος*] *καὶ σατυρίσκους* 4. 5. Gen.[b.], *σατυρίσκους* k. 12) *πλείους*] k. pr., *οἱ πλ.* k. sup. 4. 5. Gen.[b.] 12) *φησίν*] *φασίν* codd. 12) *σειλινοὺς* 4. 5. Gen.[b.] 13) *αἰσχύλου* 4. 5. 14) *Ἀνδρομέδῃ* Gen.[b.] 14) *ὅτι οἱ* k. 14) *καὶ ἐπίφοροι* Gen.[b.] 15) *κατάγυνοι ὄντες*] L. Dindorf. in Thesaur. VII p. 100. D., *κάταγνοι ὄντες* 4. 5., *καταγνοίοντες* Gen.[b.], *καὶ ἄναγνοι ὄντες* k. 15) *καὶ Κ. φ.* om. k. 16) *ἐρημώθη … ἐμπεῖραι*] 5., *ἄμωρος ἐρημώθη δύνατο ἐν πείρᾳ* 4. 18) *ἀπὸ*] Geel., *ὑπὸ* cod. 19) //k. Gen.[b.] — *ἐρίσδει* om. k. 19) *ὡς*] add. Duebnerus. 19) *ἤγουν* pro *ἢ* k. Gen.[b.] 20) *ὀρῶν* ante Brub., *ὅρων* k. 20) *κνημῶν*] k. 3. 4. 5. Gen.[b.], *κρημνῶν* vulg. 20) *κακοδ.* om. 3. 4. 5. Gen.[b.] 21) *τὸ γένος σοι ἢ* om. Gen.[a.]

ται, ἀπὸ τοῦ πλησίον ἢ Πασὶ κακοκνήμοις. E. I. M. Y. Gen.[a] Lips. [*Σάτυροι*] *οὗτοι γὰρ ἐπίφοροι πρὸς τὰς συνουσίας.* Gen.[a])

Idyll. V.

Ἐπιγράφεται μὲν τὸ παρὸν εἰδύλλιον Αἰπολικὸν καὶ Ποιμενικόν· οἱ δὲ διαλεγόμενοι ἀλλήλοις εἰσὶ Κομάτας καὶ Λάκων. Δωρίδι. — (*Αἰπολικὸν καὶ Ποιμενικόν. δραματικόν.* C. D. F. K. M. N. Q. — *Θεοκρίτου Βουκολιασταὶ Κομάτας καὶ Λάκων.* M. — *Ὁ Κομάτας ὁ Λάκων, αἰπόλος ποιμήν.* Lips. — *Δραματικώτερον δέ ἐστι τὸ εἰδύλλιον. Ὁδοιπόρος ἐν Δωρίδι. Κομάτας καὶ Λάκων.* Gen.[b] *προλογίζει δὲ ὁ Κομάτας.* v. I. Gen.[b] — *Ἰστέον ὅτι καὶ ἐν τῷ παρόντι εἰδυλλίῳ Δωρίδι κέχρηται Θεόκριτος διαλέκτῳ.* K. M. P.)

(*Δημητρίου τοῦ Τρικλινίου. Τὸ παρὸν εἰδύλλιον σύγκειται καὶ αὐτὸ ἐκ στίχων δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων ρν', ὧν τελευταῖος· αἴ μή τυ φλάσαιμι, Μελάνθιος ἀντὶ Κομάτα.* M.)

Vs. 1.

Vel. [*Αἶγες ἐμὲ τῆνον τὸν ποιμένα τὸν συβαρίταν.*] (*Συβαρίταν: τὸν ἀπὸ Συβάρεως πόλεως. Σύβαρις δὲ καὶ Θουρία ἡ αὐτή. μετὰ γὰρ τὸ καθαιρεθῆναι ταύτην ὑπὸ Κροτωνιατῶν οἱ Ἀθηναῖοι ἐλθόντες ᾤκησάν τε ταύτην καὶ Θουρίαν προσηγόρευσαν ἀπό τινος κρήνης Θουρίας. Θεόκριτος δὲ διιστᾷ, καὶ ἄλλην τὴν Θουρίαν λέγει καὶ ἄλλην τὴν Σύβαριν. λέγει γὰρ παρακατιών·*

ἇδε τοι ἁ ποίμνα τῶ Θουρίω ἐστὶ Συβάρτα,
Εὐμάρα δὲ τὰς αἶγας ὁρῇς φίλε τῶ Συβαρίτα.

3.) — *Τὸν Συβαρίταν: Σύβαρις πόλις Ἰταλίας ἢ ἀπὸ οἰκιστοῦ τινὸς ἢ ἀπὸ Συβάρεως ποταμοῦ. νῦν δὲ* ⟨*Συβαρίτην*⟩

---

1) *πάνεσι* Lips. 11) Haec in I. post eam hypothesis partem leguntur, quae ibi in scholia ad Vs. 1. aberravit. — *δὲ ὁ* om. v. 19) Post hunc versum vulgo legitur pars hypothesis, vid. ad p. 15. 5, om. Gen.[a. b.] Lips. 26) Vs. 72. — *ἇδε τοι*] *ἅδε τοι* Wart., *ἁ δέ τοι* Kiessl. seqq. — *Θουριᾳ* Wart. (corr. Kiessl.) 28) //Gen.[b] hoc initio: *τὸν Συβ. ἢ ὄνομα πόλεως ἀπὸ οἰκ. τ. ἢ ἀ. Σ. ποταμοῦ. ἔστι δὲ αὐτὴ πόλις τῆς Ἰταλίας ἄποικος* (*τῶν Ἀθηναίων* add. Adertus) *νῦν καλουμένη Θούριον. τινὲς τὸ αὐτὸ Θούριον καὶ Συβαρίτην* (leg. *Σύβαριν* cum Aderto) *καλοῦσιν. λέγεται δὲ ὅτι ὑπὸ τῶν Κρ.* Gen.[b]

καλεῖ τὸν Θούριον, ταὐτὸν ὂν Θούριον καὶ Σύβαρις. λέγουσι γάρ, ὅτι ὑπὸ τῶν Κροτωνιατῶν καθῃρέθη ἡ Σύβαρις· ἐλθόντες δὲ οἱ Ἀθηναῖοι αὐτὴν ᾤκησαν καὶ τῇ πόλει μετήμειψαν τὸ ὄνομα, καλέσαντες αὐτὴν Θούριον ἀπὸ Θουρίου ποταμοῦ ἐκεῖσε ῥέοντος.

Rec. (*Αἰπολικὸν τὸ ἦθος. διαλέγεται ταῖς αἰξὶν ὡς λόγῳ χρωμέναις καὶ δυναμέναις συνιέναι ὅτι καὶ λέγει· αἶγες ἐμαί, τῆνον τὸν ποιμένα τὸν Συβαρίταν φεύγετε τὸν Λάκωνα.* 6. Gen.[a]) — (*Τὸν ποιμένα τὸν Συβαρίταν: τὸν ἀπὸ τῆς Συβάρεως. ἔστι δὲ ἡ Σύβαρις πόλις ἐν Ἰταλίᾳ, ἣ καὶ Θούριον λέγεται.* Gen.[a] Lips.) *Θούριος δὲ ὄνομα κύριον καὶ ὁ ὁρμητικός.* — (*Ἰστέον ὅτι αὕτη ἡ Σύβαρις καὶ Θούριον καλεῖται ἀπό τινος Νηρηΐδος Θουρίας.* Q.)

Vs. 2.

Vet. *Τὸν Λάκωνα: Λάκων ὄνομα κύριον· ἐκτείνει δὲ τὸ α διὰ τὸ μέτρον. εἰώθασι δὲ οἱ παλαιοὶ τοῖς δούλοις ὀνόματα τιθέναι ἀπὸ τῶν ἐθνῶν· Σύρον, Λυδόν, Καρίωνα. οὕτω καὶ τὸν Λάκωνα· Δωριεὺς γὰρ ἦν.*

Rec. *Τό μευ νάκος: ὅς μου τὸ νάκος* (*ἔκλεψε. νάκος δὲ τὸ τῆς αἰγὸς δέρμα.* Gen.[a] *Lips.) — (*Νάκος: ἡ τῶν προβάτων καὶ αἰγῶν δορά. λέγεται δὲ καὶ περὶ ἀρσενικοῦ καὶ θηλυκοῦ καὶ οὐδετέρου, ὥσπερ βλάβος καὶ βλάβη.* Gen.[a])

Vet. (*Νάκος χθές:* Gen.[b]) *Ζηνόδοτος τὸ κώδιον, τὸ μαρσύπιον. καὶ νάκος αἰγὸς δορὰν καὶ Ὅμηρος·*

νάκος ἕλετ' αἰγὸς ὀριτρόφου.

1) *Τὸν ὄντα ἐκ πόλεως Συβάρεως.* P.

2) [*Τό:*] *ὅστις* M. — *Αἰγείαν γοῦναν· νάκος γὰρ τὸ τῆς αἰγὸς δέρμα.* M.

---

1) *καλεῖ τὸν*] *καλεῖται* vulg. 1) *ταὐτὸ* Kiessl. 3) *ᾤκησαν*] Gen.[b] vulg., *ᾤκισαν* Reisk. seqq. 6) Schol. ex 6. cum lemmate *ΦΕΤ.* ad Vs. 2. affertur, in Gen.[a] Hypothesi adhaeret. 7) *καὶ χρωμέναις καὶ* Wart., *χρῆσθαι δυναμέναις καὶ* Gen.[a] 7) Verba Theocriti ex 6. non allata. 11) //*Θούριος δὲ* seqq. Gen.[a] Lips., qui sic pro vulg. *καὶ Θ.* 15) //Gen.[b] 16) *διὰ τ. μ.* om. Gen.[b] 16) *οἱ γὰρ παλαιοὶ ἐτίθεσαν τῶν δούλων τὰ ὀνόματα* P. Gen.[b] 17) *Λυδὸν*] *δοῦλον* Gen.[b], om. vulg. — *Καρύων* Gen.[b], ubi seqq. desunt. 19) //Gen.[a] *Lips. 19) *ἔκλ. νάκος δὲ* om. Lips. 20) Schol. in Gen.[a] legitur post *Λάκωνα* lin. 9. 23) //Gen.[b] 24) *κωδ. μαρσ.* Gen.[b] 24) *αἰγὸς δορὰν*] P. Gen.[b], *τὸ τῆς αἰγὸς δέρμα* vulg. ex SchRec. 25) *καὶ*] add. Gen.[b] — *Hom. Od.* Ξ, 530, ubi *νάκην ἕ. αἰ. ἐϋτρεφέος.*

καὶ Θεόκριτος ἐν τοῖς ἑξῆς αἰγός φησιν. (*Νάκος: κώδιον, ὃ μηλωτὴν καλοῦμεν.* p. 3.)

Vs. 3.

Vet. *Οὐκ ἀπὸ τᾶς κράνας σίττ' ἀμνίδες: σίττα, ψίττα ποιμενικά, αἰπολικὰ καὶ βουκολικὰ ἐπιφθέγματα· εἰσὶ δὲ ἐπιρρήματα. ἔλεγον δὲ ταῦτα διώκοντες.* — (*Σίττ' ἀμνίδες: παρακέλευσις, τουτέστιν ἀπόστητε. τὸ σίττα καὶ ψίττα βουκολικὸν ἐπίφθεγμα· εἰσὶ δὲ ἐπιρρήματα. τὸ δὲ ἀμνίδες προβάτια, μάλιστα δὲ τὰ μικρά. οὐκ ἐσορῆτε ἀντὶ τοῦ εἰσορᾶτε.* P. Gen.[b])

Rec. (*Οὐκ ἀπὸ τᾶς κράνας σίτ' ἀμνίδες:* Gen.[a]) *ἀποστήσεσθε ὤφειλεν εἰπεῖν ἢ φεύξεσθε ἤ τι τοιοῦτον· ὁ δὲ ταῦτα ἀφεὶς τῇ συνήθει φωνῇ τοῖς ἀμνοῖς, τῷ σίττα, χρῆται.*

Vet. *Ἔστι δὲ τοῦτο παρακέλευσις. ἀμνίδες τὰ μικρὰ προβάτια, οἱονεὶ ἀμενηνά.*

Vs. 4.

Rec. *Τόν μευ τὰν σύριγγα: τὸν τὴν σύριγγά μου πρὸ ὀλίγου κλέψαντα Κομάταν.*

Vs. 5.

Vet. *Δῶλε Συβάρτα: Δωρικῶς κατὰ τὴν γενικὴν ἀντὶ τοῦ Συβάρτου. δῶλε δὲ ἀντὶ τοῦ δοῦλε. δοῦλος δὲ καὶ οἰκέτης διαφέρει, ὥς φησι Χρύσιππος. οἰκέτης μὲν ὁ ἔτι ὑπὸ κτῆσιν ὤν, δοῦλος δὲ* <*καὶ*> *ὁ ἀπελεύθερος. Συβάρτα δὲ*

3) *Ἀποστρέψεσθε ὤφειλεν ἢ φεύξεσθε ἤ τι τοιοῦτον.* 1. *οὐκ ἀπέλθετε* M., *ἀπόστητε.* 2. — *Ἐπιφώνημα αἰπολικόν.* E. M.

5) [*Ποίαν:*] *τὴν ἐξαίρετον.* P.

---

4) //Om. Gen.[a.b.] Lips. 4) *περδίκα ἀγρίππα σίττα* p. 3. Phav. s. v. *Περδίκκα* (sic) et ante Heins., cf. ad Vs. 5. 5) *βουλικὰ* ante Brub. (recte Phav.) 7) *παρακ. τ. ἀπ.* in codd. post *εἰσορᾶτε* l. 10 leguntur, unde transposui. 7) *σίτθα* et *ψίτα* P. 12) //Gen.[a] Lips. — *ὤφειλεν*] *1. Gen.[a] Lips. vulg., *ὦφελεν* Kiessl. 12) *εἰπεῖν* om. *1. Gen.[a] Lips. 12) *ἀποφεύξεσθε* E. 13) *τῷ σίττα* om. Gen.[a] Lips. 14) //Om. Gen.[a.b.] Lips. 17) //*Lips. 20) //Gen.[b] 21) *δῶλε δὲ ἀ. τ. δ.* om. Gen.[b] 22) *ἐστιν* pro *ἔτι* Gen.[b] 23) *κτίσιν* ante Heins. 23) *Συβάρτα δὲ ὡς Περδίκκα Ἀγρίππα*] Heinsius Lectt. p. 323, *Συβάρτας δὲ ὡς Περδίκκας Ἀγρίππας* vulg., *Συβάρτας ὁ Ἀγρίππας Περδίκας* Gen.[b], *Περδίκας* etiam ante Heins. cf. ad Vs. 3. — 24) *ἀποστρέφεσθε* et *εἴ τι* cod.

ὡς Περδίκκα, Ἀγρίππα. ἔστι δὲ κατὰ μὲν τὸ ἀνάλογον Συβαρίτης, κατὰ δὲ Δωριεῖς Συβάρτης.

Vs. 6. 7.

Vet. Τί δ' οὐκέτι σὺν Κορύδωνι ἀρκεῖ τοι καλάμας αὐλόν: ὁ Κορύδων βουκόλος, οὗ πρόσθεν μέμνηται. ὁ δὲ νοῦς· τί δ' οὐκ ἀρκεῖ σοι, φησί, σὺν τῷ Κορύδωνι (ποππύζειν, ἤγουν Phav.) ἐν τῷ καλάμῳ φυσᾶν [καὶ συναυλεῖν αὐτῷ], (καὶ [διὰ τὸ ἀρκεῖν] αὐλεῖν ὡς οἱ παῖδες. P. Gen.[b.] Phav.) τοῦτο δὲ χλευαστικόν, ὅτι οὐδὲ αὐλεῖν οἶδεν, εἰ μὴ ποππύζειν καὶ μόνον. καλάμη δέ ἐστι τὸ [καταλειπόμενον ἢ] περιλειπόμενον ἐκ τοῦ θεριζομένου σίτου καλαμῶδες καὶ τῆς κριθῆς. ταύτην δὲ νεαρὰν οὖσαν ὑποτεμνόμενοι φυσῶσιν ἐν αὐτῇ καὶ αὐλίζουσι. — Ποππύζειν δὲ τὸ λεπτοτάτως φωνεῖν τινα φυσῶντα τὸν ἐκ τῆς καλάμης αὐλόν.

Rec. Ἄλλως. (Τί δ' οὐκ ἔτι σὺν Κορύδωνι: Gen.[a.]) τί δέ; οὐδαμῶς ἀρκεῖ σοι, ἤγουν ἱκανόν ἐστί σοι, αὐλὸν ἔχοντι ἀπὸ καλάμης, ἤτοι ἀπὸ καλαμαίας, ἐμπνεῖν αὐτῷ — τοῦτο γὰρ τὸ ποππύζειν — σὺν τῷ Κορύδωνι, τουτέστιν ὁμοίως τῷ Κορύδωνι.

Vs. 8.

Rec. Τάν μοι ἔδωκε Λύκων: πρὸς τὸ ποίαν ἀποτείνει ἡ ἀπάντησις. τὸ δὲ ὦ 'λεύθερε κατ' εἰρωνείαν εἴρηται.

6) [Κορύδωνι:] οὗτος ἦν ἄμουσος ποιμὴν καὶ δοῦλος. 23. M.
7) Μετὰ τοῦ αὐλοῦ. P. — [Ποππύσδεν:] δι' οὗ δηλοῖ τὸ κακῶς αὐλεῖν. 4. 5. συρίζειν. M.

---

2) καὶ pro κατὰ Gen.[b.] 4) //Gen.[b.] c. lemm. ἀρκεῖ τοι καλάμας αὐλόν et omisso, ut in P., initio ante ἀρκεῖ σοι, Phav. s. v. ποπίζειν inde ab τί δ' οὐκ ἀρκεῖ. 6) τί δ'] add. Phav. — μοι pro σοι P., τοι Gen.[b.] 6) τῷ Κορ.] P. Gen.[b.], Κορ. vulg. 7) ποπίζειν et καλάμην pro ἐν τῷ καλ. Phav. — φυσᾶν] Phav. et Gaisf., φυσσᾶν P. Gen.[b.] vulg. 7) καὶ συν. αὐ. om. P. Gen.[b.] Phav. 8) διὰ τὸ ἀρκεῖν om. Phav. 9) οὐκ οἶδεν αὐλεῖν, εἰ μὴ μόνον ποπ. Phav., οἶδεν .... καλαμῶδες om. P. 10) ποππύζειν] ποππύσδειν vulg., ποππίσδειν Gen.[b.], ποπίζειν Phav. 10) κάλαμον Gen.[b.] Pro καλάμη seqq. Phav. haec habet: τὴν δὲ καλάμην οἱ παῖδες νεαρὰν ἀποτεμνόμενοι φυσῶσι δι' αὐτῆς, ὃ δὴ νῦν ποπίζειν καλεῖ. 10) τὸ παραλειπόμεναν τοῦ σίτου Gen.[b] 12) ἀποτεμνόμενοι Gen.[b.] 13) φυσσῶσιν Gen.[b.] 13) Om. Gen.[a.b.] Lips. 15) //Gen.[a.] Lips. 16) ἤγουν ... ἤτοι in Gen.[a.] ad marg. suppleta. 17) ἤγουν superscr. τοι Lips. 18) σὺν τῷ] Gen.[a.] Lips., σὺν vulg. 21) //*Lips. πρὸς ... ἀπάντησις et κατ' εἰρωνείαν. — 23) Glossa ex 23. male ad δῶλε Vs. 5. affertur.

Vs. 10.

Vet. Οὐ δὲ γὰρ εὐμάρα τῷ δεσπότῃ: πρὸς ὑπερβολὴν τοῦτο ἔφη. λέγει δὲ μηδὲ αὐτὸν τὸν δεσπότην εὐμάρᾳ ἐπικεκοιμῆσθαι, ἤγουν δέρματι. — (Ἡ Εὐμάρᾳ: ἀντὶ τοῦ Εὐμάρει τοῦτο, 3. Gen.[b.], ἵν' ᾖ ὄνομα κύριον. 3.) — (Ἄλλως. Οὐδὲ ὁ δεσπότης ἔχει δέρμα τι πρὸς τὸ κοιμηθῆναι. Gen.[b.]) — Ἄλλως. Τὸ εὐμάρα δέρμα τι φασὶν εἶναι καὶ οὐ κύριον ὄνομα, ὥς τινες, ἵν' ᾖ· οὐδὲ γὰρ οὐδὲ τῷ δεσπότῃ τῷ σῷ εὐμάρα καὶ δέρμα τι ἦν ὥστε ἐνεύδειν. — (Οὐκ ἦν, φησίν, οὐδὲ τῷ δεσπότῃ σου ἐγκοιμᾶσθαι. Gregor. 72.)

Rec. (Ἦν τοι ἐνεύδειν: ἦν νάκος ὥστε εὕδειν, ἤγουν ἀναπαύεσθαι ἐν αὐτῷ. *E. *N. *Y. Gen.[a.] Lips.)

Vs. 13.

Vet. Βασκαίνων: ἀντὶ τοῦ φθονῶν, λυπούμενος (διότι τὸ δέρμα μοι ἐχαρίσατο Gen.[b.]). κυρίως δὲ βάσκανος ὁ ⟨τοῖς φάεσι, ἤγουν⟩ τοῖς ὀφθαλμοῖς καίνων καὶ φθείρων τὸ ὁραθὲν [ὑπ' αὐτοῦ ἢ] ὑπ' αὐτῶν.

Rec. (Λοίσθια: ἐπιρρηματικῶς ἀντὶ τοῦ τελευταῖον. *E. *I. *M. *P. *Y. Gen.[a.] *Lips.)

Vs. 14.

Vet. Οὔ μ' αὐτὸν τὸν Πᾶνα τὸν ἄκτιον: ἀντὶ τοῦ

9) Ἀπῆλθε M. Lips. ἀπῆλθε μετὰ τοῦ δέρματος. P.

11) Εὔμορφον. P.

12) Ταῖς Νηρηίσιν, ἢ ταῖς Μούσαις. E. N. — Κακότροπε. M. P. Lips. — Ἐδαμάζου. M. P. διερρέου. M. P. Lips. ἐφθείρου ὑπὸ φθόνου. Vim.

13) Ἐστερημένου τούτου. E. M. ἐγύμνωσας. 4. — Ἐποίησας. Lips.

---

2) //Gen.[b.] 3) ἔφησε sine τοῦτο Gen.[b.] 3) εὐμάρᾳ] Heins., εὐμάρα ante Xyl., qui Εὐμάρα, tum Εὐμάρᾳ Scult. et Ox. II, ΕΥΜΑΡΑ Reisk. seqq., om. Gen.[b.] „Εὐμάρα lineolam habet superscriptam, ut solent propria nomina, in cod. Vat. 11. (?)" Wart. 4) ᾖ om. 3. 5) Εὐμάρει τοῦτο] Εὐμαρίτου codd. 7) //Gen.[b.] hoc initio: ἄλλως. εὐμάρα τινές φασιν ὅτι δέρμα τί ἐστιν καὶ οὐκ ὄνομα. — εὐμάρα] ante Xyl. et Kiessl., εὐμάρᾳ vulg. — δέρμα τι] Brub. et ante Heins, δέρμά τι Call., δέρματι Bas. II. et vulg. post Heins. 8) γὰρ τῷ Gen.[b.] 9) καὶ δέρμα τι om. Gen.[b.], Εὐμάρᾳ κ. δ. τι ἦν ὥ. ἐνεύδειν, ἤγουν ἀναπαύεσθαι ἐν αὐτῷ I., εὕδειν ἐν ἐκείνῳ, ἤγουν ἀναπαύσασθαι M. P. 11) ὥστε ἐν αὐτῷ κοιμᾶσθαι ἢ ἀναπαύεσθαι E., ὥστε ἀναπαύεσθαι ἐπ' αὐτῷ N. Y. 14) //Gen.[b.] — Verba ex Gen.[b.] addita in cod. post δέρματι lin. 4. leguntur. 15) τὸ] τι cod. 15) Supplevit Duebnerus ex EtM. 190, 27. EtG. 105, 30. 16) σαίνων Gen.[b.] 17) ἢ ὑπ' αὐτῶν om. Gen.[b.] 18) ἐπιγραμματικῶς Gen.[a.] 21) //Gen.[b.]

τὸν κυνηγόν· ἐπακτῆρες γὰρ οἱ κυνηγοί, ὥς φησιν Ὀππιανός. ἤ, ὥς φησι Φιλοστέφανος, ὅτι Πανὸς ἱερὸν πλησίον Κράθιδος ποταμοῦ. τινὲς δὲ τὸν ὑπὸ ἁλιέων φασὶν ἐπὶ τῆς ἀκτῆς ἱδρυμένον· φησὶ δὲ καὶ Πίνδαρος τῶν ἁλιέων αὐτὸν φροντίζειν. — Ἢ τὸν περὶ τοὺς πετρώδεις αἰγιαλοὺς διάγοντα· ἢ τὸν κυνηγόν· ἢ Ἄκτιον κατά τινας τὸν Ἀττικόν. — (Ἄκτιον δὲ τὸν ἐπὶ τῆς ἀκτῆς ἱδρυμένον. 3. Q. ὁ γὰρ ναὸς τούτου ἐπὶ τοῦ αἰγιαλοῦ ἵδρυται. p. 3. Q.) — (Τὸν Πᾶνα τὸν ἄκτιον: οὗ ὁ ναὸς ἐπὶ τοῦ αἰγιαλοῦ ἵδρυται. Vat.) — (Ἄκτιον τὸν Πᾶνα Θεόκριτος εἴρηκεν. ἄκτιος ἢ ὁ θηρατήρ· καὶ γὰρ ἐπακτῆρες οἱ θηραταί. ἢ ὁ ἐπὶ ταῖς ἀκταῖς ὑπὸ τῶν ἁλιέων ἱδρυμένος· ἀγρευτὴς γὰρ ὁ θεός. ⟨ἢ ὁ Ἀττικός,⟩ ὁ ἐν Ἀθήναις τιμώμενος. EtM. 54, 27.) — (Οὐ μάτην δὲ τὸν Πᾶνα ὄμνυσιν. Gen.[b.]) εἰώθασι γὰρ οἱ ἐκ πτοίας τινὸς ἢ μανίας κατακρημνίζειν ἑαυτοὺς (μέλλοντες **** πάντα δέ εἰσι ταῦτα Πανὸς δείματα. 3. 5. Gen.[b.])

Vs. 15. 16.

Vet. Τὰν βαίταν: τὴν διφθέραν, τὴν σισύραν. — (Τὰν βαίταν ἐπέδυσα: ἤτοι τὴν διφθέραν. Gen.[b.]) Ἀττικῶς δὲ ταύτην καὶ σισύραν φασί· καὶ Ἀριστοφάνης·

ἐν πέντε σισύραις ἐγκεκορδυλημένος,

[βαίτας γὰρ λέγουσι] τὰ ἐκ κῳδίων συνερραμμένα περιβόλαια·

— 14) [Οὔ μ':] μά. Lips. — Τὸν ἐν ἀκταῖς διάγοντα. 23. M. τὸν Ἀττικόν. 23. M. Lips. τὸν ἐπὶ ταῖς ἀκταῖς πορευόμενον. C. οὗ τὸ ἱερὸν ἐν ἀκταῖς ἵδρυται. E. N. τὸν ἔχοντα ἱερὸν ἐν ταῖς ἀκταῖς. Vim.

15) Διφθέραν. Lips. γοῦναν. K. — Ἀφείλετο. M. ἔκλεψε. P. — [Καλαίθιδος:] υἱός. Lips. — [Ἢ:] εἰ τοῦτο ἐποίησα. Lips.

---

1) ὁ Ὀππ. Gen.[b.] 2) ὅτι] ἔστι vulg. 3) ὑπὸ ἁλιέων φασὶν] Ἀπόλλωνά φασι τὸν vulg. 5) //Om. Gen.[a.b.] Lips. 5) ἢ τὸν κυν.] ἤγουν τ. κ. vulg. 8) Haec Wart. inseruit post ποταμοῦ l. 3, om. Gaisf. 12) ὁ ἐν] D., ἐν vulg. 13) //Gen.[b.] Hoc schol. in codd. et vulg. legitur ante Κρᾶθις pag. 185. 7. — μάτην] Casaub., μὰ τὴν cod. 14) οἱ] add. Gen.[b.] 14) τινὸς] τινὲς vulg., om. Gen.[b.] 14) καὶ pro ἢ Gen.[b.] 15) μέλλοντες ex 3. 5. non affertur; sed in 3. similis lacuna esse dicitur. Hanc indicavit Casaubonus. 18) //Om. Gen.[a.b.] Lips. 19) //Gen.[b.] — Ἀττικῶς] Gen.[b.], Ἀττικοὶ vulg. 19) δὲ et καὶ om. Gen.[b.] 20) συσίραν ante Brub. (recte Phav. s. v. βαίταν). 21) *Arist. Nub.* 10. — ἐν om. et ἐγκεκορσ. Gen.[b.] 22) Verba βαίτας ... περιβόλαια vulgo leguntur post τὴν σισύραν lin. 18, in Gen.[b.], ubi desunt βαίτας γ. λ., post ἐπέδυσα, unde transposui. — βαίταν ante Reisk. — 24) ἀκτικὸν 23. M.

ἡμεῖς δ' αὐτὰ σισύρνιά φαμεν. — Τὰν βαίταν ἀπέδυσ' ὁ Καλαίθιδος: οἰκέτης δηλονότι ἢ υἱός. πότερον γὰρ οἰκέτης ἢ υἱὸς οὐ λέγει· διὸ οἱ μὲν δοῦλον, οἱ δὲ υἱόν φασιν. — Ἦ κατὰ τήνας: ἢ [εἰ τοῦτο ἐποίησα, ἢ] εἰ ἐπιορκοίην, ἄνωθεν ἀπὸ τῆς πέτρας ἐκείνης ὦ ἄνθρωπε εἰς μανίαν ἐμπεσὼν εἰς Κρᾶθιν τὸν ποταμὸν πηδήσαιμι [ἢ φθαροίμην· γράφεται γὰρ ἁλοίμην καὶ ὀλοίμην]. Κρᾶθις δὲ ποταμὸς περὶ Σύβαριν τῆς Σικελίας. Νυμφόδωρος δὲ καὶ Θεόφραστός φασι τοῦ Κράθιδος τὸ ὕδωρ ξανθίζειν. (ἢ ποταμὸς Κρότωνος οὗτος τῆς Ἰταλίας. Gen.[b]) ἡ δὲ κατὰ ἀντὶ τῆς ἀπό. — (Εἰς Κρᾶθιν ἁλοίμην: γράφουσιν αὐτό τινες καὶ ο, ἵν' ᾖ· οὐκ ἔλαβον αὐτήν· ἤ, εἰ ἀφεῖλον, φθαροίμην. Gen.[b])

Rec. [Ἄλλως· τὸ] Ἦ κατὰ τήνας: τὴν κατὰ τῷ ἁλοίμην δεῖ συνάπτειν. ποιητικῶς γὰρ διαιρεῖται τοῦ ῥήματος ἐν ταύτῃ τῇ σημασίᾳ, ὡς παρ' Ὁμήρῳ·

βῆ δὲ κατ' Οὐλύμποιο καρήνων [χωόμενος κῆρ].

παρὰ δὲ τῷ πεζῷ λόγῳ συνημμένη ἐστὶν ἀεὶ ἐν τοῖς τοιούτοις τῷ ῥήματι, ὡς παρὰ Φιλοστράτῳ· „ὁ δ' ὑπεκδὺς τῶν σπαργάνων ἤδη βαδίζει καὶ τοῦ Ὀλύμπου κάτεισιν.“ (ἔχει δὲ τὸ πᾶν οὕτως· ἤ, εἰ τοῦτο ἐποίησα, κατακρημνισθείην ἐκείνης τῆς πέτρας, ὦ ἄνθρωπε, εἰς τὸν Κρᾶθιν μανείς. ποταμὸς δέ ἐστιν ὁ Κρᾶθις περὶ τὴν Σύβαριν. Gen.[a]; Lips.)

16) Ἐκτραπεὶς τοῦ νοός. E. N. — Ποταμὸς Ἰταλίας. 4. 5. — Κατακρημνισθείην. E.

---

1) σισύρνια] L. Dindorf. in Thes., σισυρίνια vulg. 1) //Om. Gen.[a.b.] Lips. 3) //Gen.[b.], ubi hujus et sequentis scholii sedes et lemmata inter se permutata sunt. 4) ἢ εἰ ... ἢ om. Gen.[b.], cf. SchRec. lin. 20. 4) ἐπιορκεία Gen.[b.] 5) ἐκείνης ῥιφθείην εἰς τὸν Κρᾶτιν ποταμὸν reliquis ante Κρᾶθις omissis Gen.[b.] 7) γὰρ] ante Xyl., καὶ vulg. 7) Κρᾶτις δὲ καὶ Σύβαρις ποταμοὶ περὶ Σύβαριν. ὁ Νυμφ. καὶ Gen.[b.] — Ἰταλίας Toupio auctore Kiessl. seqq. 9) οὗτος δὲ Ἰτ. cod. 10) ἡ δὲ κατὰ ἀ. τ. ἀ. hoc loco Gen.[b.], vulgo post Σικελίας l. 8. 11) καὶ ο] καὶ ῆ cod., καὶ διὰ τοῦ ο Bergkius ZfAW. 1846 p. 470, qui vidit scholium ad v. l. ὀλοίμαν pertinere. 12) αὐτὴν ἢ εἰ] Adert. tac., αὐτὴ ἢ εἰς cod. 13) //Gen.[a.] Lips. Idem scholium usque ad κάτεισιν in Borb. legitur adjecto in marg. μ͵ν (α), i. e. Μανουὴλ Μοσχοπούλου. — τὸ om. Kiessl. — Lemma etiam Lips., ἢ om. Gen.[a.] 13) ἁλοίμην] Gen.[a.] Lips., ἁλοίμαν vulg. 14) διῄρηται Gen.[a.] 16) *Hom. Il. A*, 44. — χ. κῆρ om. Gen.[a.] Lips. 18) *Philostr. Imagg. I*, 26. 20) κατακρημνισθείην] Adert., -ησθείην codd. 21) κρατην Gen.[a.]

Vs. 17—19.

Rec. *Οὐ μὰν οὔτ' αὐτὰς τὰς λιμνάδας*: *οὐδαμῶς μὰ τὰς λιμνάδας αὐτὰς Νύμφας, ἤγουν τὰς ἀναστρεφομένας ἐν ταῖς λίμναις, αἵτινες ἐμοὶ προσηνεῖς εἶεν, οὐκ ἔκλεψεν ὁ Κομάτας τὴν σύριγγά σου λαθών.*

Vs. 21. 22.

Vet. *Ἐντὶ μὲν οὐδὲν ἱερόν*: *παροιμία ἐστὶν ἐπὶ τῶν μηδενὸς ἀξίων. φησὶ δὲ Κλέαρχος ἐν δευτέρῳ [τῶν] Παροιμιῶν, ὅτι Ἡρακλῆς ἰδὼν ἱδρυμένον τὸν Ἄδωνιν ἔφη· „οὐδὲν ἱερόν.“ οὐ γὰρ αὐτὸν ἄξιον τιμῆς καὶ ἱδρύσεως ἐδοκίμασεν.* — (*Ἄλλως. Ἔστι μὲν οὐδὲν μέγα, ὡς Ἀσκληπιάδης φησί.* 5. P. Can. Gen.[b.]) *Διονυσόδωρος δὲ μεταφορὰν εἶναί φησιν ἀπὸ τῶν ἱερῶν τῶν τιμωμένων, μηδὲν δὲ ἐχόντων ἱερὸν καὶ σεβασμοῦ ἄξιον.* — *Ἢ οὐδὲν ἱερόν*: (*ἤγουν* Q.) *οὐκ ἔστιν ἄξιος ἱδρύσεως καὶ τιμῆς ὁ τοιοῦτος*, (*ἤτοι οὐδὲν μέγα.* Q.) — *Ἄλλως. Ἡρακλῆς ἐλθὼν εἰς Δῖον πόλιν τῆς Μακεδονίας εἶδεν ἔκ τινος ἱεροῦ πολλοὺς ἐξιόντας. θέλων δὲ καὶ αὐτὸς εἰσελθεῖν καὶ προσκυνῆσαι ἀνέκρινεν*, [*ἤγουν ἠρώτησε*,] *τίνος εἴη τὸ ἱερόν. μαθὼν δὲ Ἀδώνιδος εἶναι ἔφη „οὐδὲν ἱερὸν“ ἀντὶ τοῦ οὐδενὸς ἄξιον· οὐδεὶς γὰρ θεῶν ὑπάρχει.*

17) [*Οὔ μ' ἄν*:] *περισσὸν τὸ ἄν.* E. — [*Οὔτ'*:] *οὔτι ἤγουν οὐδαμῶς.* 1. 2. Lips. — *Ἤγουν τὰς Νηρηΐδας.* 2. *τὰς θαλασσίους Νηρηΐδας.* E. N.

18) *Εἶεν, ὑπάρχοιεν.* 23. M. P.

19) [*Κομάτας*:] *ἤγουν ἐγώ.* M.

20) *Πάθη ἀναλάβοιμι.* M. P. Lips. *βαστάσαιμι.* E.

21. 22) *Εὐτελές μέν ἐστι.* E. — *Διακριθήσομαι καὶ τραγῳδήσω.* 5. *ᾄδων ἐρίσω, κοινόν.* 23. — *Ἕως οὗ ὁμολογήσεις.* 5.

---

2) //*Lips. *οὔτι ἤγουν οὐδαμῶς μὰ — ἐμοὶ προσηνεῖς — εἶεν — οὐκ* seqq. Ante Scult. hoc scholium legebatur post *ὑπάρχει* lin. 20. 7) //Gen.[b.], ubi *ἀντὶ* et om. *ἐστίν.* 8) *Κλέαρχος*] Zenob. V, 47 et Arsen. p. 395, *Κλέανδρος* vulg. et Apostol. XIII, 34., qui ex his scholiis hausit verba: *λέγεται δὲ ἐπὶ τῶν μηδ. ἀξ., ὥς φησι Κλ. ἐν δευτ. Παρ.* 8) *τῶν* om. Gen.[b.] Apost. 10) *καὶ* om. 5. P. Can. Gen.[b.] 10) *ἐδοκίμασεν*] 5. P. Can. Gen.[b.], *ἔκρινεν* vulg. 12) //Gen.[b.] — *Διονυσίδωρος* ante Brub. II. et vulg. post Scult. ante Reisk., *διονυσίδεως* P., *διονυσίδριον* Gen.[b.] 13) *ἱερέων* P. 13) *μηδὲν δὲ*] P., *μηδὲν* vulg., *ὃ μηδὲν* Gen.[b.] 13) *ἱερὸν*] Gen.[b.], ut conj. Hemsterh. et Geel., *ἱεροῦ* vulg. — *σεβασμῶν ἀξίων* P. 14) //Om. Gen.[a.b.] Lips. 16) //Gen.[b.] 16) *Διὸς* P. Z., *Διοσπόλις* Gen.[b.] 17) *καὶ θέλων προσκυνῆσαι* mediis omissis P. Gen.[b.] 18) *ἤγ. ἠρώτησε* et *τὸ ἱερὸν* om. P. Gen.[b.] 19) *Ἀδώνιδος* ante Brub. 20) *οἷον οὐδεὶς θεῶν* P. Z. Gen.[b.] — *ὑπάρχων* Z. — 21) Glossa ex 1. 2. male ad *οὐ μὰν* affertur.

Rec. *Ἀλλ' οὖν αἴκα λῇς ἔριφον θέμεν*: ἀντὶ τοῦ θεῖναι, ἤγουν κατάθου. τὸ αἴκα Δωρικῶς ἀεὶ ἀντὶ τοῦ ἐὰν κέχρηται, διὸ καὶ ὑποτάσσει. — (⟨*Οὐδὲν ἱερόν*:⟩ παροιμία ἐστὶν ἐπὶ τῶν μηδενὸς ἀξίων. M. Lips. παρείληπται δὲ ἀπὸ τοῦ τοιοῦδε τρόπου. M. Ἡρακλῆς ἐρχόμενος εἶδέ τινας φέροντας τὸ τοῦ Ἀδώνιδος ἄγαλμα ἐπὶ λιτανείᾳ καὶ ἔφη „*οὐδὲν ἱερόν*,“ ἀντὶ τοῦ „εὐτελοῦς δεῖσθε θεοῦ.“ 7. M.) — *Ἀλλά γέ τοι διαείσομαι*: ἀλλά σοι ᾄδων ἐρίσω (ἢ περὶ ᾠδῆς ἔριν στήσομαι E. N.), διακριθῶ, ἕως ἂν ἀπαγορεύσας τὴν ἧτταν ὁμολογήσῃς.

Vs. 23. 24.

Vet. *Ὗς ποκ' Ἀθαναίαν ἔριν εἴρισεν*· (ὗς ὢν πρὸς Ἀθηνᾶν ἐρίζεις. Q. Gen.[b]) παροιμία ἐστὶν ἐπὶ τῶν τοῖς κρείττοσιν ἀντιφεριζόντων. (τὸ δὲ ὗς ἐπὶ θηλυκοῦ. ⟨*Κεῖται*:⟩ εἰς πρόστιμον. Q.) — *Τὸν εὔβοτον ἀμνὸν ἔρειδε*: τὸν εὐτραφῆ· βόσις γὰρ ἡ τροφή, ὅθεν καὶ τὸ αἰγίβοτον καὶ ἱππόβοτον.

Rec. (*Ὗς ποκ' Ἀθηναίαν*: παροιμία ἐπὶ τῶν τοῖς κρείττοσι φιλονεικούντων. E. P. Y. Gen.[a] *Lips.) — *Ἔρειδε*: ἤγουν φέρων κατάθου. ἐρίζω ἐπὶ λόγων, ἐρείδω δὲ ἐπὶ πράγματος.

Vs. 25.

Rec. *Καὶ πῶς ὦ κίναδ' εὖ*: καὶ πῶς ὦ πανοῦργε καλῶς ταῦτα ἔσται ἐξ ἴσου μέτρου ἡμῖν; — (*Κίναδος* ὁ πανοῦργος. ἔστι δὲ ζῷον ἰδίως, ἡ ἀλώπηξ. Gen.[a])

24) *Εὐτραφῆ*. Lips. τὸν πιότατον. M.

25) *Πόρνε*, ἀναίσχυντε. M. κλέπτα. E. κίναδος ἀλώπηξ. Vim. — [*Ἐξ ἴσου*:] τοῦ μέτρου. P.

---

1) //*Lips. θεῖναι ἀντὶ τοῦ κατάθου. 4) ἐστὶν om. Lips., ubi haec in inter. marg. 7) //Gen.[a] sola ultima habet inde ab ἕως c. lemm. *ἔστε κἀπείπῃς*; *Lips. σοι ᾄδων ἐρίσω, ἓς ἂν ἀπαγ. seqq. 8) ἐρίσω] E. N. Lips. et Reisk. seqq., ἐρείσω vulg. 9) διακριθῶ] E. N. et ante Heins. nec non Reisk. seqq., διακρινῶ vulg. — ἓς pro ἕως Lips. 9) ἀπαγορεύσας] E. M. N., ἀπαγορεύσῃς vulg. 12) //Gen.[b] sine lemmate. 12) ὢν om. et ἐρίζειν Gen.[b] 13) δὲ pro ἐστὶν Gen.[b] 14) πρὸς κρείττονας post ἀντ. M. — ἀντιφεριζόντων] M., ἀντεριζόντων Q. vulg., φιλονεικούντων p. et Apostol. XVII, 73., cf. lin. 19. 15) εἰς πρ. glossam vocis κεῖται esse Duebnerus indicavit. 15) //Gen.[b], ubi desunt *ἔρειδε* et postea καί. 18) Schol. in Gen.[a] ante schol. Vs. 26. legitur. 19) //*Lips. φέρων κατάθου. 20) ἐρίζω seqq. vulgo post ἀντεριζόντων lin. 14. leguntur (om. Q. Gen.[b]), unde Reiskius transposuit. 23) //*Lips. πανοῦργε — ἔσται seqq.

Vet. (Ὦ κιναδεῦ: Gen.[b.]) οἱ Σικελιῶται [γὰρ] τὴν ἀλώπεκα κίναδον προσαγορεύουσιν· (ἔστι δὲ ἀντὶ τοῦ πανοῦργε· P. Gen.[b.]) τοιοῦτον γὰρ τὸ ζῶον [πανοῦργον]. κίναιδος δὲ παρὰ τὸ κινεῖσθαι ἐν αἰδοῖ [ἢ ἀναιδῶς, ἢ παρὰ τὸ κινεῖσθαι ἐν δόλῳ].

Vs. 26. 27.

Rec. Τίς τρίχας ἀντ' ἐρίων ἐποκίξατο: ἀντὶ τοῦ ἔκειρε, πόκους ἐποιήσατο· τίς γάρ ποτε ἔκειρε ἀντὶ ἐρίων τρίχας; τρίχες γὰρ αἱ παχεῖαι καὶ τεταμέναι ὡς αἱ τῆς αἰγός, ἔρια δὲ τὰ λεπτὰ καὶ οὖλα ὡς τὰ τῶν προβάτων. — (Παροιμία ἐστίν· τίς ἀντὶ τοῦ ἀρνοῦ ἔριφον ἔλαβεν; Q.)

Vet. (Ἐποκίξατο: ἀντὶ τοῦ ἔκειρε τρίχας ἀντὶ ἐρίων. Gen.[b.]) — Ἢ τοῦτό φησιν, ὅτι αὐτὸς μὲν ἄρνα κατατίθεται, ἐκεῖνος δὲ ἔριφον, ὅστις οὐ ποκίζεται. — [Τίς δὲ παρεύσας αἰγὸς πρωτοτόκοιο κακὰν κύνα βούλετ' ἀμέλγειν: ἢ δήλετ' ἀμέλγειν — γράφεται γὰρ καὶ οὕτω — Δωρικῶς ἀντὶ τοῦ βούλεται κατά τινας.] — (Κακὰν κύνα: λιμηράν. Gen.[b.] κύνα δὲ τὸ πρόβατον εἶπεν, ἴσως ἐκφαυλίζων αὐτό. Q. Gen.[b.] τὸ δὲ δήλεται ἀντὶ τοῦ βούλεται· οὕτω γὰρ οἱ Δωριεῖς φασί. Gen.[b.])

Vs. 28—30.

Rec. Ὅς τις νικασεῖ τὸν πλατίον (ὡς τὺ πεποίθεις Gen.[a.]): ἤγουν ἐκεῖνος ταῦτα ποιεῖ, ὅστις πέποιθε νικήσειν τὸν πλησίον, καθὰ σὺ πέποιθας. ἀπὸ τοῦ πέποιθα πεποίθω ἐνεστώς, ὡς ἀπὸ τοῦ δέδοικα δεδοίκω.

26) Ποκάρια ἐποίησε. 5. πόκους ἐποίησε. Lips. ἔκειρε, πόκον ἐλογίσατο. E. — [Ἐπήξατο:] γράφεται ἐποκίξατο, ἤγουν πόκους ἐποίησεν. 1.

27) Ἤτοι νέας, πολυγάλακτος. 5. ἤγουν ἣν ἡ μήτηρ αὐτῆς πρώτην ἔτεκεν. M. P. Y. Lips. — [Κύνα:] γεγηρακυῖαν. 5. — [Δήλετ':] βούλεται. 5. Lips. βούλεται, θέλει· Δωρικόν. E. N.

---

1) Gen.[b.] et sine lemmate Gen.[a.] — οἱ Σικ. τὴν ἀλ. οὕτως φασὶν P. Gen.[b.] et c. lemm. Κιναδεῦ Cant., Σικελιῶται δὲ κινάδιον καλλοῦσι τὴν ἀλ. παρὰ mediis omissis Gen.[a.] 3) πανοῦργον om. P. Gen.[b.] 3) κίναιδος] P. Gen.[b.], κίναδος vulg. 4) γὰρ pro δὲ P., κιν. δὲ ἡ ἀλώπηξ εἴρηται παρὰ Gen.[b.] 7) //Gen.[a.] Lips. Desunt in utroque verba ἀντὶ ... τρίχας, nisi quod hic s. l. πόκους ἐποίησε. 12) ἀντὶ τοῦ ἐρίων cod. 13) //Gen.[b.] 14) //Om. Gen.[a.b.] Lips. 18) λιμηρὰν] Adert., λυμιρὰν cod. 18) δὲ om. Q. 22) //Gen.[a.] Lips. — νικάσειν Gen.[a.] 23) ἤγουν om. Gen.[a.] Lips. 25) καὶ pro ὡς Lips.

Vet. Ἄλλως. (Ὅστις νικάσειν τὸν πλάτιον: Gen.[b.]) ὅστις νικήσειν τὸν πλησίον διαφερόντως ἐπαγγέλλεται, καὶ θελήσει ποιεῖν [ἢ εἰπεῖν] τοῦτο, ὡς ἀντ' αἰγὸς κύνα ἀμέλγειν, οἷον καὶ σὺ νῦν νικήσειν φῂς τὸν τοσοῦτον ἐν ἡδυφωνίᾳ σου διαφέροντα, ὅσον τέττιγες σφηκῶν. — Σφὰξ βομβέων: ὁ σφήξ, φησί, σὺ ἐμοῦ κατ' ἐναντίον, τοῦ τέττιγος, τολμᾷς βομβεῖν.

Rec. (ΣΦΑΞ: παροιμία ἐπὶ τῶν ἐλαττόνων ἐριζόντων πρὸς κρείττονας. M.) — Ἀλλὰ γὰρ οὗτοι ὤριφος ἰσοπαλής: ἀλλὰ οὐδαμῶς ὅὕριφος, ὁ ἔριφος οὗτος, ἐν ἴσῃ μοίρᾳ, οὐκ ἰσαξιοῦται τῷ ἀμνῷ· ἀλλὰ ἰδοὺ τίθημι τράγον. τὸ γὰρ ἰσοπαλὴς ἴσος ἐν κλήρῳ· πάλος γὰρ ὁ κλῆρος. ἢ ἐκ τοῦ πάλη.

Vs. 31.

Vet. Μὴ σπεῦδ'· οὐ γάρ τοι πυρὶ θάλπεαι: (μὴ ἐπείγου ὥσπερ ὑπὸ φλογὸς καιόμενος. Gen.[b.]) παροιμία ἐστὶν ἐπὶ τῶν διά τι σπευδομένων· μὴ σπούδαζε, οὐ γὰρ ἐπὶ πυρὸς βέβηκας. (τὸ δὲ ⟨οὐ⟩ πυρὶ θάλπεαι ἀντὶ τοῦ οὐκ ἐπὶ πυρὶ βέβλησαι. Gen.[b.])

Rec. (Μὴ σπεῦδε· οὐ γάρ τοι: Gen.[a.]) σπεύδω ἐγὼ ἀμεταβάτως, ἐπισπεύδω δὲ ἕτερον. — Ἅδιον ἀσῇ: ἤγουν ἡδέως μᾶλλον ᾄσῃ.

Vs. 32.

Rec. Τᾶδ' ὑπὸ τὰν κότινον: ὧδε ἐλθὼν καὶ καθίσας ὑπὸ τὴν ἀγριελαίαν καὶ τὰ δένδρα ταῦτα. [τὸ τᾶδε ἐν ἄλ-

29) Ἀμούσως ἠχῶν. M.
30) Ἴσος, δοκεῖ δηλονότι. E. — [Οὗτος:] κεῖται. M. ὦ φίλε. E.
31) [Σπεῦδ':] ἀμεταβάτως ἐνταῦθα· ἔστι γὰρ καὶ σπεύδω ἕτερον ἀντὶ τοῦ ἐπισπεύδω. E. — Ὑπὸ πυρὸς φλέγῃ. M. Lips. Vim.

---

1) //Gen.[b.] 2) καὶ] ἢ Gen.[b.], ἢ ὅστις vulg. 3) ἢ εἰπεῖν om. Gen.[b.] 3) ὡς — ἀμέλγειν] ὃς — ἀμέλγει vulg. — ἀντ'] ante Heins., ἀντὶ vulg. 4) νῦν] add. Gen.[b.] 4) φησὶ Gen.[b.] 5) //Om. Gen.[a.b.] Lips. 9) //*Lips. οὐδαμῶς οὕριφος ὁ ἔριφος — ἐν ἴσῃ μοίρᾳ — ἰδού. 10) ὅὕριφος] ante Xyl., οὕριφος Lips., ὤριφος vulg. 11) ἰσαξιοῦται] Toup., ἀξιοῦται vulg. 15) //Gen.[b.] c. lemm. μὴ σπεῦδε· οὐ γάρ τι. 16) ἐστιν .... σπευδομένων om. Gen.[b.] 17) σπεῦδε pro σπούδαζε Gen.[b.] 18) οὐκ ἐπὶ] οὐ ἔτι cod., οὐκ ἐν conj. Duebn. 20) //Gen.[a.] Lips. 21) //*Lips. ἡδύτερον ᾄσῃ ἀντὶ τοῦ ἡδέως μᾶλλον. 22) ᾄσῃ] Lips., ἀσῇ vulg. 24) //Gen.[a.] *Lips. — τῇδ' Gen.[a.] 25) Circumscripta om. Gen.[a.] Lips.

λοις ἀντιγράφοις γράφεται τεῖνδε, ἀντὶ τοῦ ἐνταῦθα Δωρικῶς.]

Vs. 33. 34.

Rec. *Ψυχρὸν ὕδωρ τηνεί: ἀντὶ τοῦ αὐτοῦ καταρρεῖ ψυχρὸν ὕδωρ· ἐνταῦθα ἐκπεφυκυῖά ἐστι βοτάνη καὶ ἥδε ἡ στιβάς, ἥ ἐστιν εἶδος βοτάνης.* [*τὸ τηνεὶ ἐν ἄλλοις γράφεται* ⟨*τουτί,*⟩ *ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ἐνταῦθα.*] — *Καὶ ἀκρίδες: καὶ ἀκρίδες ἐνταῦθα λαλοῦσιν.*

Vet. (*Χ᾽ ἁ στιβάς: στιβάδα λέγει νῦν τὴν βοτάνην· κυρίως δὲ στιβὰς ἡ στρωμνή. τὸ δὲ ἇδε* [*λαλεῦντι*] *τροπῇ Δωρικῇ τοῦ ω εἰς α.* Gen.[b]) — (*Ποία ἡ βοτάνη, στιβὰς δὲ ἡ ἐπὶ τῆς γῆς στρωμνή· τὸ δὲ ἇδε ἀντὶ τοῦ ὧδε Δωρικῶς τροπῇ τοῦ ω εἰς α. Ἀκρίδες λέγονται τὰ πωλία τὰ καθήμενα εἰς τὰ ἄκρα τῶν δένδρων καταχρηστικῶς· κυρίως γὰρ αὐτὰ τὰ ἄκρα τῶν δένδρων.* p. 3.)

Vs. 35—37.

Rec. *Ἀλλ᾽ οὔτι σπεύδω: οὐδαμῶς σπουδάζω, μεγάλως δὲ ἀλγῶ, εἰ σύ με τολμᾷς ἀτρέπτοις τοῖς ὄμμασι προσβλέπειν, ὅντινά ποτε ἐδίδασκον ἐγώ, ᾄδειν δηλονότι, ἔτι παῖδα ὄντα.*

Vet. *Ὃν ποκ᾽ ἐόντα παῖδ᾽ ἔτι: ταῦτά φησιν ἐπὶ τῷ τὴν χάριν εἰς ἀμέλειαν αὐτῷ ἀπεληλυθέναι,* ⟨*ἣν ὤφειλε*⟩ *παρ᾽ αὐτοῦ διδαχθείς, ὡς καὶ προκαλεῖσθαι αὐτὸν εἰς ἅμιλλαν.*

Rec. *Ἴδ᾽ ἁ χάρις εἰς τί ποθέρπει: θέασαι, εἰς τί προσέρπει, ἀντὶ τοῦ τελευτᾷ, ἡ χάρις, ἡ ὀφειλομένη μοι δηλονότι.*

33) [*Τουτί:*] *ἐνταῦθα ἢ τοῦτο.* 5.
37) [*Ἔτ᾽:*] *ἀκμήν.* M. — [*Ποθέρπει:*] *ἔρχεται.* E. M.

---

4) //*Lips. *ἀντὶ ... καταρρεῖ — ἐνταῦθα ... βοτάνη — εἶδος βοτάνης ἡ στιβάς.* 8) //*Lips. *ἐντ. λαλ.* 12) *δὲ ἐπὶ* p. 12) *ἐστρωμένη* 3. 12) *ἇδε*] Duebn., *ᾆδε* codd. 14) *κυρίως δὲ* 3. 17) //Gen.[a] sola ultima tenet *ὅντινα* seqq., quibus lemma praefixum *ὅν ποκ᾽ ἐόντα*; *Lips. *οὐδαμῶς — μεγάλως — ἀλγῶ — σὺ — τολμᾷς — τοῖς ὀρθοῖς ἤγουν ἀτρέπτοις προσβλέπειν*, tum in marg. *ὅντινα* seqq. 21) //Gen.[b] c. lemm. *ποκ᾽ ἐόντα.* 21) *τῷ* om. Gen.[b] 22) *ἀμέλειαν* et *ἀπεληλ.*] *ἅμιλλαν* et *συνεληλ.* vulg. 23) *διδαχθεὶς*] 3. 5. P. Gen.[b], *διδαχθέντα* vulg., *διδαχθέντι* Reisk. seqq. 23) *προκαλεῖσθαι*] (Gen.[b]) et Reisk. seqq., *προσκαλεῖσθαι* 3. 5. et ante Heins., *προσκαλεῖται* vulg. 24) //Gen.[a] Lips., uterque c. lemm. *ἴδ᾽ ἁ χάρις.* 25) *ἀντὶ τοῦ*] E. Gen.[a] Lips., *καὶ* vulg.

Vs. 38.

Vet. **Θρέψαι καὶ λυκαδεῖς**: ἐκθρέψειεν ἄν τις καὶ λύκων ἐκγόνους καὶ κύνας ἐπὶ τῇ λύμῃ τῇ αὐτοῦ, ὡς κἀγὼ τοῦτον ἐδίδαξα ἐπὶ ἀχαριστίᾳ. ἔστι δὲ τὸ τοῦ Ἰσοκράτους· „κακοὺς ποιῶν εὖ.“ — **Θρέψαι κύνας**: (παροιμία [δέ ἐστιν] ἀπὸ [τοῦ] Ἀκταίωνος τοῦ ὑπὸ τῶν ἰδίων κυνῶν ἀναιρεθέντος· τάσσεται δὲ ἐπὶ τῶν ἀχαριστούντων τοῖς εὐεργέταις. p. 3. 5. P. Gen.[b.] Vulc. οὗτος γάρ, ὥς φασιν, τὴν Ἄρτεμιν ἰδὼν γυμνήν, ἐκείνη αἰδεσθεῖσα λύσσαν τοῖς κυσὶν ἐμβάλλει, κἀκεῖνον κατέφαγον. 3. 5. P. Q. Gen.[b.])

Rec. (**Θρέψαι καὶ λυκιδεῖς** Gen.[a.]): παροιμία ἐπὶ τῶν κατ' αὐτῶν ποιούντων τι. — ⟨**Θρέψαι κύνας**:⟩ παροιμία ἀπὸ Ἀκταίωνος τοῦ ὑπὸ τῶν ἰδίων κυνῶν βρωθέντος. τάσσεται δὲ ἐπὶ [τῶν ἀχαρίστων τοῖς εὐεργέταις, ἤτοι] τῶν μὴ ὁμολογούντων χάριν τοῖς εὐεργέταις.

Vs. 40.

Vet. **Ἀνδρίον**: ἀνδράριον ὑποκοριστικῶς. ἀνθρωπάριον. [ἢ] δυσγενὲς καὶ ἀνελεύθερον.

Rec. (*ΑΠΡΕΠΕΣ*: ἐξουδενωμένον καὶ εὐτελές. *1. *2. M. P. *Lips.) — **Αὔτως** δὲ οὕτως, ἤγουν ἐν οὐδεμιᾷ χρείᾳ, μάτην.

38) Ἔκγονα λύκων. Lips. λύκου παῖδας. K.
40) Ἀγενές. M. ἀναιδές. E. — Ἀνθρώπιον. M. — Καὶ οὕτως, ὡς δυσχυρίζῃ δηλονότι διδάξαι με. E.

---

2) //Gen.[b.] c. lemm. θρέψαι λυκιδεῖς. 3) ἐγγόνα P. 3) ἐπὶ λύμῃ Gen.[b.] 4) ἀριστείᾳ pro ἀχαριστίᾳ P. Gen.[b.] 4) τὸ τοῦ] τοῦτο vulg., τοῦ P. — Ἰσοκράτους] Duebnerus, Σωκράτους vulg., σώματος P. 5) Verba θρέψαι κύνας vulg. antecedenti scholio adhaerebant; Reisk. seqq. pro lemmate eorum posuerunt, quae vulgo sequuntur lin. 11. — Verba παροιμία .... εὐεργέταις in Q. partim extant. 5) δέ ἐστιν et τοῦ om. Gen.[b.] 6) βροθέντος Gen.[b.] 7) τοῖς εὐεργ. deest in P. Vulc. 9) εἶδε et ἐκείνης δ' αἰδεσθείσης Q. 10) βάλλει Gen.[b.] — Post κατέφαγον in Q.[a.] sequuntur τάσσεται κτλ. 11) //Om. Gen.[a.] praeter lemma et Gen.[b.] Lips. In M. verba καὶ ἐπὶ τῶν ... τι in fine sequentis scholii posita. — ἐπὶ] M. et Reisk. seqq., ἀπὸ vulg. 12) κατ' αὐτῶν] M. vulg., καθ' αὐτῶν Reisk. seqq. 12) //Gen.[a.] Lips., ex quibus accessit παροιμία. 13) Ἀκτέωνος Lips. 13) τῶν ἰδίων] M. Gen.[a.] Lips., ἰδίων vulg. 14) Circumscripta om. Gen.[a.] Lips., ex SchVet. addita. 17) //Om. Gen.[a.b.] Lips. 19) καὶ om. *1. *2., unde haec glossa male ad φθονερὸν relata. 20) //*Lips. οὕτως ἐν οὐδ. χρ. Ex M. P. scholium praecedenti adhaerens affertur, ut desint αὔτως δέ, in P. etiam οὕτως. 20) ἤγουν] M. Lips., om. P. vulg. — οὐδεμιᾷ] P. Lips. et ante Xyl., οὐδεμίᾳ M. vulg. — χρήσει P. 21) μάτην om. M. P. Lips.

Vs. 41. 42.

Rec. Ἐπύγιζον: πυγμαῖς ἔτυπτον, ἔκρουον. ἄτοπον δὲ τοῦτο φανερῶς εἰπεῖν. — Ἢ ἐπέραινον, ἐβάτευον· (ἢ ἀντὶ τοῦ πυγμὴν ἐδίδουν, ἢ ἀντὶ τοῦ κατὰ τὴν πυγὴν ἠσέλγαινον. E.) σὺ δὲ ἤλγεις· αἱ δὲ αἶγες ἐβληχῶντο, ἀντὶ τοῦ ἐμηκῶντο βιαζόμεναι ὑπὸ τῶν τράγων — τὸ βληχᾶσθαι γὰρ ἐπὶ τῶν προβάτων λέγεται — καὶ ὁ τράγος αὐτὰς ὤχευεν.

Vet. (Τὺ δ' ἄλγες: Gen.[b.] ἀντὶ τοῦ ἐδόκεις μὲν ἀλγεῖν, μᾶλλον δὲ ἡδύνου· καὶ γὰρ ἴδιον τοῦτο τῶν συνουσιαζομένων ἐστίν. Q. Gen.[b.])

Vs. 43.

Vet. Μὴ βάθιον τήνω πυγίσματος: μὴ βαθυτέρου τύχῃς τάφου τοῦ πυγίσματος, οὗ φῄς με εἰργάσθαι, σὺ δὲ ταφείης, ὡς ἐγὼ πεπύγισμαι. (Ἄλλως. Ἤτοι οὐκ ἔδωκάς μοι πυγίσματα, μηδὲ ταφείης ὦ κυρτέ. P. Gen.[b.]) — Ἄλλως. (Πυγίσματος: Gen.[b.]) μὴ ταφείης, ἀντὶ τοῦ γαμηθείης, βαθύτερον σὺ τοῦ πρὸς ἐμὲ ἐκ σοῦ πυγίσματος, ὡς σὺ λέγεις. ἀρνεῖται δὲ διὰ τούτου. καὶ Ἀριστοφάνης δὲ ἐν Βατράχοις φησὶ περὶ τοῦ Κλέωνος, πρὸς τὸ κρυπτόμενον καὶ ἔνδον νοούμενον,

ἐν ταῖς ταφαῖς τίλλεσθαι.

ἤγουν ἐν καιρῷ συνουσιασμοῦ τὰς τρίχας ἐκτίλλειν τῆς πυγῆς.

Rec. Ἄλλως. Εἴθε μὴ ἐν βαθυτέρῳ τάφῳ ταφείης ἐκείνου τοῦ πυγίσματος ὑβέ, ἤγουν συγκεκαμμένε τὸν τράχηλον,

42) Ἐπέβαινεν, ὤχευεν. M.
43) [Ὑβέ:] κυρτέ. 5. 6. [Οἰφέ:] ἤγουν πόρνε· οἰφὸς γὰρ καὶ τὸ αἰδοῖον. 23. K. M.

---

2) //Om. Gen.[a.b.] Lips. 3) //Gen.[a.] sola habet κατεβληχῶντο: ἀντὶ τοῦ ἐμηκῶντο ... λέγεται; Lips. s. l. ἐπέραινον — ἤλγεις — αἱ δὲ αἶγες, tum in marg. ἀντὶ τοῦ ... λέγεται, postremo s. l. ὤχευεν. 5) ἀντὶ τοῦ] Gen.[a.] Lips., ἤγουν vulg. 6) βιαζ. ὑ. τ. τρ. om. Gen.[a.] Lips. 6) ἐπὶ τῶν] Gen.[a.] Lips., ἐπὶ vulg. 7) τράγων pro προβάτων. P. 8) Schol. in Gen.[b.] legitur post schol. Vs. 54 Στασῶ. 8) με pro μὲν Gen.[b.] 9) γὰρ om. Q. 12) //Gen.[b.] 13) εἴργεσθαι Gen.[b.] et vulg. ante Reisk., εἴργεσθε P., — σὺ δὲ] Geel., τὸ δὲ vulg. 16) //Gen.[b.] post schol. Vs. 41 Τὺ δ' ἄλγες, ubi vide. — μὴ] add. P. Gen.[b.], ut voluit Geel. 17) πυγ. ἐκ σοῦ Gen.[b.] 18) *Aristoph. Ran.* 423. — ἐν] P. Gen.[b.] et ante Ox. II, om. vulg. 19) πρὸς τὸ] Gen.[b.] Reisk. seqq, περὶ το vulg. 19) καὶ τὸ ἔνδον P.[1.] (τοὔνδον P.[2.]), καὶ τοὶ ἔ. Gen.[b.] 22) ἢ pro ἤγουν Gen.[b.] 23) //Gen.[a.] Lips. — 26) Ex 23. lemma ὑβέ positum. ἠφε pro οἰφὸς et γὰρ τὸ 23.

κυρτέ. — (*Γράφεται οἰφέ. οἰφὸς τὸ αἰδοῖον, ὅθεν ὁ φιλοίφας ἄνω εἴρηται.* T.)

Vet. [*Τὸ δὲ ὑβὸς ἀπὸ τοῦ κυφός. ἀποβολῇ τοῦ κ καὶ τροπῇ τοῦ φ εἰς β. ὕβωσις καὶ λόρδωσις πάθη. λόρδωσις γάρ ἐστι τὸ ἔμπροσθεν, ὕβωσις τὸ κατὰ τὴν κεφαλὴν πρὸ τῆς ῥάχεως πάθος. κύρτωσις δὲ τὸ μέσον τῆς ῥάχεως.*]

Vs. 44.

Rec. *Καὶ ὕστατα βωκολιαξεῖς:* *καὶ τελευταῖον τῇ βουκολικῇ ᾠδῇ χρήσῃ ἐρίζων.*

Vs. 45—49.

Rec. *Οὐχ ἕρψομαι τηνεί:* *οὐκ ἐλεύσομαι εἰς αὐτὸ τὸ μέρος.* *Τουτεὶ δρύες:* *ἐνταῦθα δρύες, ἐνταῦθα κύπειρος, ἐνταῦθα καλῶς βομβοῦσιν ἐν τοῖς σίμβλοις μέλισσαι. ἐνθάδε εἰσὶ δύο πηγαὶ ὕδωρ ψυχρὸν βλύζουσαι, αἱ δὲ ὄρνιθες ἐπὶ τῷ δένδρῳ λιγυρὸν ᾄδουσι· καὶ ἡ σκιὰ οὐδαμῶς ὁμοία* (*τῇ σκιᾷ* Lips.) *τῇ ὑπαρχούσῃ παρὰ σοί· καὶ ἡ πίτυς δὲ ἀπὸ τοῦ ὕψους στροβίλους ἀφίησιν.* — (*ΤΟΥΤΙ: τουτάκις ἐπὶ χρόνου, τουτὶ ἐπὶ τόπου.* Q.) — (*ΔΕΝΔΡΩι: δένδρον καὶ δένδρεον ποιητικῶς. Ὅμηρος·*

δενδρέῳ ἐφεζόμενοι.

καὶ δένδρος, ἡ δοτικὴ δένδρει. 6.)

Vet. (*Τηνεί: ἐκεῖσε ἢ εἰς ἐκεῖνον τὸν τόπον ἢ οἶκον.* 3.

44) *Τραγῳδήσεις βουκολικῶς.* E.

45) [*Τουτῶ:*] *ἐνταῦθα.* v. [*Τουτί:*] *ἐνταῦθα, ἤγουν εἰς τὸν ἡμέτερον τόπον.* E. *εἰς τοῦτο τὸ μέρος.* M. — *Ἡ κοινῶς κύπερις.* M.

46) *Ἀντὶ τοῦ ἐν τοῖς σίμβλοις, ἐκ τοῦ περιεχομένου τὸ περιέχον.* M.

47) *Αἱ δὲ καθήμεναι ἐπὶ τῶν δένδρων.* E.

48) [*Ὄρνιχες:*] *ὄρνιθες Αἰολικόν.* E. — *Λιγυρὸν ᾄδουσι.* 5. 6.

49) *Ῥίπτει ἢ κρούει.* E. — *Στροβίλους.* M. Lips. *τὰ κοινῶς κωκωνάρια.* Vat. M. *κῶνος ὁ τῆς πίτυος καρπός.* K.

---

1) *κυρτέ* om. Gen.[a] Lips. 3) //Om. Gen.[a.b.] Lips., ex EtM. 774, 8 sumptum. 5) *κατὰ*] EtM., unde reponi jussit Bast. ad Greg. p. 285, *μετὰ* vulg. ut in EtM. codex D. 8) //*Lips. 11) //*Lips. *οὐκ ἐλ.* — *ἀντὶ τοῦ εἰς αὐτὸ τὸ μ.* — *ἐνταῦθα* ter — *ἀντὶ τοῦ ἐν τοῖς σίμβλοις* — *ἐνθάδε* ... *ᾄδουσι* — *οὐδαμῶς* — *τῇ σκιᾷ* ... *σοὶ* — *στροβίλους.* 12) *ἐνταῦθα κύπ., ἐνταῦθα*] Lips., *ὧδε* bis vulg. 15) *τοῖς δένδροις* 2.[1.2.], *τῶν δένδρων* 2.[2.] (?) 20) *Hom. Il.* Γ, 152. 21) *δένδρος — δένδρει*] *δένδρεος — δένδρεϊ* cod. 22) *Τηνεὶ τουτῶ δρύες: ἐκεῖσε ἐνταῦθα ἢ κτλ.* Gen.[b.] (ex 3. lemma non affertur), unde sequens scholium finxi. Manarunt ex glossis. 22) *καὶ οἶκον* Gen.[b.] — 29) *κωνάρια* Vat., qui 23. esse videtur.

Gen.[b.] — *Τουτῶ δρύες*: ἐνταῦθα. Gen.[b.]) — (*Κώνοις*: στροβίλοις κυρίως, καταχρηστικῶς δὲ τοῖς καρποῖς. 3. 5. Gen.[b.])

Vs. 51.

Rec. *Ὕπνω μαλακώτερα*: μαλακὸν τὸ χαῦνον καὶ ὑπεῖκον, ᾧ ἐναντίον τὸ σκληρὸν καὶ ἀνένδοτον. λέγεται δὲ μαλακὰ ἔρια καὶ κηρὸς καὶ τὰ τοιαῦτα· ὁ δὲ ὕπνος οὐ κατὰ ταὐτὰ λέγεται μαλακός, ἀλλ' ὡς μαλακοποιός. — (Ὅμηρος·

μαλακῷ δεδμημένοι ὕπνῳ,

ὅθεν εἴληφεν *ὕπνω μαλακώτερα*. 6.)

Vet. (*Ὕμνω μαλακώτερα*: τὸ μαλακώτερα τοῦ ὕπνου ἐν καιρῷ· τοιοῦτον γὰρ τὸ χρῆμα ὁ ὕπνος. Gen.[b.])

Vs. 53. 54.

Vet. (*Λευκοῖο γάλακτος*: οὐχ ὡς μέλαν ὄν τὶ γάλα, τοῦτό φησι λευκόν, ἵν' ᾖ κατὰ διαφορὰν ἐκείνου· ἀλλ' ὡς φύσει παντὸς λευκοῦ γάλακτος· ἐπίθετον γὰρ τοῦτο αὐτοῦ ἐστιν, ὥσπερ καὶ τὸ **** [Αἰθίοπας φύσει ὄντας ἀμαυροὺς καὶ ὀνομαστὶ μὲν ἄλλως καλούμενον ἕνα ἕκαστον αὐτῶν αἰθίοπας φαμέν.] 3. 5. L. P. Gen.[b.]) — *Στασῶ δὲ καί*: πάρισον. ἔλαιον ἐκτίθησι ταῖς Νύμφαις· αὗται γὰρ ἐκθρέψασαι τὸν Ἀρισταῖον ἐδίδαξαν τὴν τοῦ ἐλαίου ἐργασίαν καὶ μέλιτος, ὥς φησιν Ἀριστοτέλης.

50) *Δορὰς ἀρνῶν*. 2. Lips. Vim. *ἀρνῶν δοράς*. M. P. — *Μαλλούς*. E. *μαλλία*. P. *ἐκ περιουσίας*. 5. E. — *Ἐνταῦθα*. M. Lips.
51) *Ὥστε ὑπνῶσαι*. E. N. *ἅτινα κατεργάζονται ὕπνου περισσότερον*. P. — *Αἱ τῶν τράγων δοραί*. M. *αἱ δὲ δοραὶ τῶν τράγων*. Lips. *τὰ δέρματα τῶν τράγων*. E.
53) *Γεμίσω, θήσω*. E. N. — *Κισσύβιον*. 23. M. — [*Γάλακτος*:] *πεπληρωμένον*. Lips.
54) *Στήσω δὲ καὶ ἄλλον κρατῆρα ἡδέος ἐλαίου πλήρη*. M. P. Y. Lips.

---

4) //Gen.[a.] Lips. sine lemmate. 5) *καὶ ἀνένδοτον*] add. 1. 2. 6. 7. 23. E. I. M. Y. Gen.[a.] Lips. 8) *Hom. Il.* *K*, 2. 10) Schol. cum sequente in Gen.[b.] legitur post Schol. Vs. 43 lin. 16, ubi vide. 10) *τὸ μ. τοῦ ὕ. ἐν κ.*] *τὰ μ. ἐν κ. τοῦ ὕ.* cod. 13) *τὶ*] Duebn., om. P. Gen.[b.], *τὸ* rell. 14) *τοῦτο*] *οὕτω* codd. 15) *φύσει*] L. P. Gen.[b.], *φησὶ* 3. 5. 16) *καὶ τὸ*] 5. L. P. Gen.[b.], *καὶ τοὺς* 3. 18) //Gen.[b] — *στασῶ δὲ καί*] *στασῶ δὲ κρητῆρα* Gen.[b.] Call. 19) *πάρισον*] *παρόσον* vulg. 19) *ἐκθρέψασθαι* Gen.[b.] 20) *Ἀριστέα* Vulc., *Ἀριστῆα* 3. 5. P. Vulc., *ἀριστῆρα* Gen.[b.] — 23) *ἐκ περ.* ex 5. male ad *ἀρνακ.* afferuntur.

Rec. Ἵστημι, ὁ μέλλων στήσω καὶ Δωρικῶς στασῶ· οἱ γὰρ Δωριεῖς τοὺς μέλλοντας περισπῶσιν. — (Στασῶ δὲ κρητῆρα: Gen.[a]) ἱστᾶν [δὲ] τὸ ζυγοστατεῖν καὶ τὸ ὀρθὸν τιθέναι τι· ἐνταῦθα δὲ κατὰ τὸ δεύτερον (σημαινόμενον E. Gen.[a]).

Vs. 56.

Rec. Καὶ γλάχων' ἀνθεῦσαν: βλήχων εἶδος βοτάνης, τὸ κοινῶς βλησκούνιον.

Vs. 58.

Vet. Γαυλὸς τῷ Πανί: γαυλοὶ ἀγγεῖα χυτροειδῆ γαλακτοδόχα, ἐν οἷς πήσσουσι τὸ γάλα, παρὸ καὶ εἴρηται πλεονασμῷ τοῦ υ, ἅτινα καὶ ἀμολγέας καλοῦσιν. — (Ἄλλως. Γαῦλος εἶδος πλοίου· γαυλὸς ἀγγεῖον. L. Gen.[b])

Rec. Στήσω τῷ Πανὶ ὀκτὼ μὲν γαυλοὺς γάλακτος, πεπληρωμένους δηλονότι. — (Γαυλοὶ λέγονται τὰ ξύλινα ἀγγεῖα, ἐν οἷς τὸ γάλα ἀμέλγουσι. *1. *2. *7. *8. E. M. N. Y. Gen.[a] Lips. Vim. — Γαυλὸς ἀπὸ τοῦ γλάπτω τὸ κοιλαίνω. Q.)

Vs. 59.

Vet. Ὀκτὼ δὲ σκαφίδας [πλέα κηρία]: σκαφίδες ἀγγεῖα, εἰς ἃ κατετίθεσαν τὰς μελικηρίδας. τὸ δὲ ⟨μέλι-

55) Ἐὰν δὲ καὶ σὺ ἔλθῃς. E. M. P. Lips. — Βοτάνη οὕτω καλουμένη ἐοικυῖα πτέρῳ. M.

56) Τὴν κοινῶς λεγομένην βλισκούνιν. 23. γλάχων τὸ βλισκούνιν. 5. L. — Ὑποκείσεται. M. P. Lips. ἀντὶ τοῦ ὑποστρώματα εἶεν τῶν χιμαιρῶν, ἤτοι τῶν αἰγῶν, τὰ δέρματα. L. ὑποστρωθήσεται ὑποκάτω σου. E. N.

57) Τῶν ἀρνείων δερμάτων τῶν παρὰ σοὶ καταπολὺ μαλακώτερα. M. P. Y. Lips. — [Τετράκις:] καταπολύ. N.

58) Ἀγγεῖα ποιμενικά. 5. γούτλους. M. κούτλους. C. E. L.

59) Κηρία ἐχούσας μέλιτος πεπληρωμένα. M. P. Lips. ἤγουν κηρόμελι. M. P.

---

1) //Om. Gen.[a.b.] Lips. 3) //Gen.[a.] Lips. sine δέ. 3) ὀρθῶς E. 4) τιθέναι τι] 1. 2. 23. E. I. M. Lips., τι τιθέσθαι Gen.[a.], τιθέναι vulg. 4) δὲ] add. E. I. M. Gen.[a.] 4) κατὰ] add. 1. 2. 23. E. I. M. Gen.[a.] Lips. 7) //*Lips. τὸ κοινῶς βλ. 8) βλησκούνιον] cod. Par. teste Bastio ad Greg. p. 40 (i. e. E.), βληχώνιον Lips. vulg., cf. Gl. 10) //Gen.[b] c. lemm. ὀκτὼ μὲν γαυλὼς omisso γαυλοί. 11) πέσσουσι P. 14) Om. Gen.[a. b.] Lips. 15) γαυλοὶ λ. τὰ om. Vim. 19) //Gen.[b.] sine πλέα κηρία, unde additamenta accesserunt. — 23) βλισκούνην 23., γλάχος et βλισκούνιον 5.

τος⟩ πλέα (κηρί' ἐχοίσας) ἀντὶ τοῦ (κηρία μέλιτος) πλήρη (ὄντα), ἐν ᾧ εἰσι μελικηρίδες.

Vs. 60.

Rec. (*Ἐξ αὐτοῦ μοι ἔριζε καὶ ἐξ αὐτοῦ βουκολιάζου. βουκολιάζω δέ ἐστι τὸ κατὰ βουκόλους ᾄδω.* M.)

Vs. 61.

Vet. *Τὰν σαυτοῦ πατέων: γῆν δηλονότι ἢ χώραν. τοῦτο ἐκ τῆς παροιμίας· Σπάρταν ἔλαχες, Σπάρταν κόσμει.*

Vs. 64.

Rec. *Βοστρύσομες: ἀντὶ τοῦ καλέσομεν.*

Vs. 65.

Vet. *Ξυλοχίσδεται: ξυλεύεται, ξύλα τέμνων συνάγει. ἔστι δὲ καὶ παροιμία·*

δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται.

Rec. (*Ξυλοχίζω τὸ τὸν ξύλοχον τέμνω. ξύλοχος δέ ἐστι τὸ σύστημα τὸ ἐκ δρυῶν.* G.)

60) *Ἀπ' αὐτοῦ τοῦ μέρους.* L. *ἀπαυτόθι.* E. — *Τῇ βουκολικῇ ᾠδῇ χρῶ.* M. P. Lips. *τραγῳδει βουκολικῶς.* E.

61) *Παροιμία· ἐπὶ τῆς οἰκείας χώρας βεβηκώς.* L. *ἀντὶ τοῦ ἐπὶ τῆς οἰκείας χώρας ἑστώς.* E. N.

62) *Περισσὸν τὸ ποτέ.* M. Lips.

63) *Οὐδαμῶς.* M. Lips. — *Προσδέομαι. χρείαν ἔχω.* C. M. P. Lips. *ἐν χρείᾳ εἰμὶ ἐκείνου.* E. *χρῄζω.* L.

64) *Τὸν τὰς δρῦς κόπτοντα.* M. P. *τὸν ὑλοτόμον.* M. P. Lips. — [*Βωστρήσομες:*] *φωνήσομεν.* L. *βοῶντες καλέσωμεν.* L. *βοήσωμεν, καλέσωμεν. διὰ τὸ μέτρον μικρὸν ἐγράφη τὸ σο.* M. *καλέσομεν.* Lips.

65) *Τέμνει.* L. *τέμνων συνάγει.* Lips. *ξύλα σχίζει.* K.

---

4) *βουκολιάζου* seqq. etiam *7. *23. 7) //Om. Gen.[a.b.] Lips. 8) *τοῦτο δὲ* Kiessl. 11) //*Lips. *καλέσομεν.* 13) //Gen.[b.] Phav. — *ξύλευται* et *τέμνει* Gen.[b.] 15) *Paroemiogr. I p.* 394. *II p.* 158. 372. — *πεσούσης*] L. P. (Gen.[b.]) Paroem. et Kiessl. auctore Wartono, *παρούσης* vulg. — 23) *δέομαι* Lips. 29) GlK. pertinet ad sphalma *ξυλοσχίδεται*, quod est in M.

Vs. 66.

Rec. Βοστρέομεν: ὁριστικὸν ἀντὶ ὑποτακτικοῦ, καὶ γράφεται διὰ τοῦ ο μικροῦ, τοῦτο δὲ διὰ τὸ μέτρον.

Vs. 67—69.

Rec. Ἄμμες γὰρ ἐρίσδομεν: ἤγουν ἡμῖν δὲ ἔρις γέγονεν, ὁπότερος ἦν κρείττων κατὰ τὴν ᾠδὴν τὴν βουκολικήν. — Ἢ ἐρίζοντες πειρώμεθα γνῶναι, ὅστις ἐστὶ κρείττων βουκολικῶν μελῶν ἐργάτης. — Τὺ δ' ὦ φίλε μήτ' ἐμὲ Μόρσων: σὺ δὲ ὦ φίλε Μόρσων μήτε πρὸς χάριν ἐμὲ κρίνῃς [ὁμιλήσας καὶ παρὰ τὸ δίκαιον τὴν νίκην χαρίσῃ]· μήτ' οὖν σύγε τούτῳ βοηθήσῃς κατὰ χάριν.

Vet. Ἢ· (Σὺ δ' ὦ φίλε: Gen.[b.] σὺ δὲ ὦ φίλε Μόρσων μή μοι πρὸς χάριν ὁμιλήσῃς καὶ παρὰ τὸ δίκαιον τὴν νίκην χαρίσῃ· L. P. Gen.[b.]) μήτε μὴν περιίδῃς ἀδικούμενον.

Vs. 72. 73.

Rec. Ἁδέ τοι ἁ ποίμνα: περισσὸς ὁ τοι. — (Συβάρτα: τοῦ ἀπὸ τῆς Συβάρεως. *H. *P. Gen.[a.] πρῶτον Σύβαρις· ὕστερον δὲ ἡ αὐτὴ ἀνακτισθεῖσα Θούριον ὠνομάσθη ἀπό τινος Θουρίου ἀνοικιστοῦ. 6. 23. M. Gen.[a.])

66) [Βωστρέομες:] φωνῶμεν. E. διὰ τὸ μέτρον συστέλλεται τὸ ο. M. διὰ τὸ μέτρον σμικρύνεται. Q. — Φίλε. M. — Μικρὸν ἀντὶ τοῦ ὀλίγον. P. Y. Lips.

68) Βουκολικῶν μελῶν ἐργάτης. I. τραγῳδός. E. L.

69) Κατὰ χάριν. P. Lips. ἕνεκα χάριτος, ἀντὶ τοῦ ποιήσεις χάριν. P. — [Χαρίξῃ:] ἐν χάριτι κρίνῃς. E.

70) [Κομάτα:] ἤγουν ἐμοί. H. L. M. P. Lips.

71) [Τὸ πλέον:] τῆς κρίσεως δηλονότι. L. — Δώσῃς. K. M. νέμῃς. H. P. νείμῃς. Lips. νέμῃς, ἐνδώσῃς. Stop. — [Τῷδε:] τῷ Λάκωνι. H. M. — Χαρίσῃ ἀντὶ τοῦ χάριν ποιήσεις. H. M. P. Lips.

72) Σοί, ἢ περισσὸν τὸ τοι. M. — Περισσὴ ἡ ἁ. P. — Τοῦ ἀπὸ Θουρίου ὄντος πόλεως. M.

73) [Συβαρίτα:] τοῦ ἀπὸ τῆς Συβάρεως. Lips.

---

2) //*Lips. ὁριστ. ἀ. ὑποτ. 5) //Om. Gen.[a.b.] Lips. 6) κατὰ] add. 23. — τὴν βουκ.] M. et ante Xyl., τὴν om. vulg. 7) //*Lips. sine ὅστις ἐστί. 8) //Om. Gen.[a.b.] Lips. 12) ὦ Μόρσων Gen.[b.] 14) //Gen.[b.] — περιίδῃς] Toup., παρίδῃς Gen.[b.] vulg. 16) //*Lips. — τοι] Lips., τοὶ vulg. 17) ἀπὸ τοῦ sine priore τοῦ Gen.[a.] 19) ἀνακτιστοῦ 23. — 26) ἤγ. ἐμοὶ ex L. ad τῷδε Vs. 71 afferuntur. 29) ποιήσῃ H. M. P.

Vet. (Ὁρῇς φίλε τῷ Συβαρίτα: τὴν Θουρίαν ταυτήν φασιν εἶναι τῇ Συβάρει· ἄλλοι ἑτέραν καὶ ἑτέραν. L. P. Gen.[b.])

Vs. 74.

Vet. Μή τυ τὶς ἠρώτα ποττῶ Διός: τοῦτο ὁ Λάκων φησὶν ἀγανακτῶν ἐπὶ τῷ προπετεῖ καὶ περιέργῳ τῆς γλώττης.

Vs. 77.

Rec. Φιλοκέρτομος: λοιδοριῶν φίλος.

Vs. 78. 79.

Vet. Εἶα λέγ' εἴ τι λέγεις: ἔτι καὶ νῦν τοῖς δι' ὄχλου τινὶ γινομένοις εἰώθαμεν τοῦτο λέγειν· ἄνες ποτε τὸν ἄνθρωπον. λέγει δὲ τοῦτον τὸν ξένον τὸν παρακληθέντα κρῖναι.

Rec. Ἄλλως. Ἄγε λέγε, εἴ τι λέγεις, καὶ τὸν ξένον ἄφες ζῶντα αὖθις, ἀπελθεῖν δηλονότι, ὁμοῦ ἀντὶ τοῦ ἐπαναστρέψαι, εἰς τὴν ἑαυτοῦ πόλιν. — (⟨Εἰρωνικῶς·⟩ τὸ γὰρ εἰς πόλιν ἄφες τὸν ξένον ζῶντα ταὐτόν ἐστιν ὡσεὶ ἔλεγεν· ἀπολέσεται σὲ ἀκούων. 6.) — Ὦ Παιάν: ἐπὶ ἀγανακτήσεως ἐνταῦθα ἡ ἐπίκλησις.

Vet. Καὶ τὸν ξένον ἐς πόλιν αὖθις ζῶντα ἄφες: τουτέστιν ἵνα μὴ ὑπὸ τοῦ μέλους, ὥσπερ ὑπὸ τῶν Σειρήνων κρατηθεὶς ἀπόληται. τοῦτο δὲ εἰρωνικῶς φησιν. — Ἄλλως. (Ζῶντ' ἄφες: Gen.[b.]) Τοῦτό φησι, θέλων σκῶψαι αὐτὸν

75) Κακοτροπώτατε. H. M. P. Lips.
76) Κατ' εἰρωνείαν· μωρέ, λάλε. H. — [Οὗτος:] σύ. H. M. πρὸς τὸν κριτήν. E.
77) Οὐδαμῶς. M. P. Lips. — Φιλόψογος, φιλολοίδορος. N.
78) Λέξεις. H. P. — [Πόλιν:] τὴν ἰδίαν. M.

---

1) Schol. in Gen.[b.] post sequens legitur. 1) θεωρίαν L.[3.] 1) ταυτὴν] ταύτην codd. 2) τῷ Συβάρτᾳ L.[3.] 5) //Gen.[b.] cum falso lemmate τῷ Θουρίῳ. et τὴν τοῦ pro τοῦτο. 6) ἐπὶ] add. 3. 5. L. P. Gen.[b.] 6) παρέργῳ L. P. Gen.[b.] et vulg. ante Reisk. 8) //Om. Gen.[a.b.] Lips. 10) //Gen.[b.] 11) τινὶ] Hemsterh., τινὸς vulg., γενομ. Gaisf. 13) //Gen.[a.] Lips. — εἶα λέγ' pro ἄγε λέγε Gen.[a.] 14) αὖθις om. Lips., ἀπ. δηλ. αὖθις ἤγουν ἐπαν. E. 14) ὁμοῦ vulgo male ad praecedentia trahitur. 15) Haec a Wart. seqq. in SchVet. post εἰρωνικῶς φησὶν l. 21 inserta erant. 16) ἔλεγεν· ἀπολέσεται] ἔλεγε· γελάσεται cod. 17) //*Lips. 19) Om. Gen.[a.b.] Lips. 21) ἀπόληται] p., ἀπόλληται l. (?), ἀπόλλυται vulg. 21) //Gen.[b.] post schol. Vs. 98.

τὸν αἰπόλον, ὡς ἀηδές τι μέλλει λέξαι, καὶ ἴσως ἂν ἐκ τῆς ἀηδίας καὶ ὁ Μόρσων ἡμιθνὴς γενήσεται, ἢ καὶ τέλος θάνῃ. ἢ ζῶντ' ἄφες *ἀντὶ τοῦ ταχύν, ἀπὸ τοῦ ζέω. τοὺς γὰρ ταχεῖς ζέοντας καὶ θερμοὺς λέγουσι. ταῦτα δέ φησιν ὁ Λάκων ὡς διαλεγομένου τοῦ αἰπόλου τῷ Μόρσωνι.*

Vs. 80—82.

Vet. Ταὶ Μῶσαί με φιλεῦντι: *ἄρχεται τῆς ᾠδῆς ὁ Κομάτας, καί φησιν αὐτὸν μᾶλλον ἢ τὸν Δάφνιν ὑπὸ τῶν Μουσῶν φιλεῖσθαι.* — (Καὶ γὰρ αἶμ' Ἀπόλλων: Gen.[b.]) *εἶτα ὁ Λάκων λέγει· καὶ γὰρ ἐμὲ ὁ Ἀπόλλων φιλεῖ.*

Rec. Μέγα: *ἀντὶ τοῦ μεγάλως καὶ κατὰ πολύ.*

Vs. 83.

Rec. Τὰ δὲ Κάρνεα καὶ δὴ ἐφέρπει: *ἐπέρχεται, παραγίνεται.*

Vet. Κάρνεα *δὲ ἑορτὴ Ἀπόλλωνος Καρνείου ἀπό τινος Κάρνου. οὗτος δὲ ὁ Κάρνος μάντις ὢν εἶπε τοῖς Ἡρακλείδαις, ἄσημα τούτοις μαντευόμενος· ὅντινα ἐκτραπεὶς τὸν*

79) *Μὴ ὑπὸ τῆς σῆς εὐμουσίας νεκρωθῇ ὡς ὑπὸ Σειρήνων· τοῦτο δὲ κατ' εἰρωνείαν.* M. *ἀντὶ τοῦ ἀνενόχλητον.* E. — [Ὦ Παιάν:] *ἐκπληκτικόν.* H. L. M. — *Λάλος.* M. *φλυαρός.* C. — *Ὑπάρχεις, εἶ.* M. *ἀντὶ τοῦ εἶ.* Lips.

80) *Τὸν ᾠδικώτατον.* E. M. *τὸν κοινῶς τραγῳδητήν.* 2. E. M. Lips. *τὸν κοινῶς τραγῳδόν.* 1. P.

81) *Αἶγας μήπω τετοκυίας.* H. M. P. Y. Lips. — *Πρώην ἢ πρὸ ὀλίγου.* H. M. P. Lips. — Τὸ ποκ' *περισσόν.* H. M. Lips.

82) [Γάρ:] *δή.* M. P. Lips. — *Μέγαν, εὐτραφῆ.* H. M. Y. Lips.

---

1) *μέλλει λέξαι*] 5., *μέλλων λέξαι* Gen.[b.], *μέλη εἰλέξαι* 3., *μέλος ἔλεξεν* vulg. 2) *ἡμιθανὴς* Gen.[b.] 7) //Gen.[b.] sine με φιλ. 7) *ἀρχὴ τ. ᾠ. Κομάτας, φησὶ δὲ αὐτὸν ὑ. τ. Μ. φιλ. ἢ τὸν Δάφνην* Gen.[b.] 10) //Gen.[b.], unde *λέγει* accessit. 10) *γὰρ* om. Gen.[b.] 11) //*Lips. *μεγάλως ἀντὶ τοῦ καταπολύ.* — *μέγα* vulg. cum praecedentibus jungitur. 13) //*Lips. *ἀντὶ τοῦ ἐπέρχεται, ἤγουν παραγίνεται.* 15) //Gen.[a.], ubi scholia de Carneis extant hoc ordine: 1) tertium, 2) secundum, 3) primum, 4) quartum. Primum etiam in L. P. post secundum legitur. Eadem scholia Eudocia Viol. p. 251 servavit vulgari ordine sub titulo *περὶ Καρνέων ἑορτῆς τοῦ Ἀπόλλωνος.* 16) *ἢ μᾶλλον οὗτος ὁ Κ.* omissis prioribus L. P. Gen.[a.], verba ante *Κάρνος* om. Eudoc. 16) *Κάρνις* L. P. — *μάντις τις ὢν* Eudoc. 16) *εἶπε*] E. F. L. N. P. Gen.[a.] Vulc. Eudoc., *εἵπετο* vulg. 17) *εὔσημα* p. H. 17) *ἐκτραπεὶς τὸν*] *ἐκτραπεὶς* vulg., *ἔκτραπον* 4. H., om. P. Cau. Gen.[a.] — 25) *ποτε* pro *ποκ'* Lips. 26) *μέγα* Lips.

*οἰωνὸν εἷς τις τῶν Ἡρακλειδῶν, Ἱππότης ὄνομα, λόγχῃ βαλὼν ἀπέκτεινε. δι᾽ ὃν λοιμὸς ἐπεκράτησε *** τὴν Πελοπόννησον. ἀπελθόντες δὲ ἔλαβον χρησμὸν ἐξ Ἀπόλλωνος Κάρνειον τιμῆσαι Ἀπόλλωνα· καὶ τοῦτο ποιήσαντες ἐπαύσαντο τοῦ λοιμοῦ. ταύτην οὖν τὴν ἑορτὴν (Κάρνεα καλουμένην* Eudoc. *μέχρι τοῦ παρόντος* L. P. Can. Gen.[a] Vulc.) *καὶ οὗτοι καὶ οἱ μετοικήσαντες ἐκ Πελοποννήσου εἰς ἑτέρας πόλεις ἀεὶ τὸ λοιπὸν ἐπετέλουν. — Ἄλλως. Κάρνεα, ἑορτὴ Δωρικὴ τελουμένη Καρνείῳ Ἀπόλλωνι κατὰ τὴν Πελοπόννησον, ἀπὸ Κάρνου μάντεως, ὃς ἔχρησε τοῖς Ἡρακλείδαις. ἀπ᾽ αὐτοῦ δὲ Κάρνειον Ἀπόλλωνα προσαγορεύουσιν. ἡ δὲ ἱστορία παρὰ Θεοπόμπῳ· ὅτι τὸν αὐτὸν ὡς Δία καὶ Ἡγήτορα καλοῦσιν Ἀργεῖοι διὰ τὸ [Κάρνειον] ἡγήσασθαι τοῦ στρατοῦ. τὸν οὖν Κάρνον οἱ Ἡρακλεῖδαι ἀπέκτειναν ἀπερχόμενοι εἰς Πελοπόννησον ὑπολαβόντες κατάσκοπον εἶναι τοῦ στρατεύματος, ὃν ὕστερον ἐτίμησαν ὑπὸ λοιμοῦ φθειρόμενοι. — Ἄλλως.* (*Τὰ δὲ Κάρνεα*: Gen.[a]) *Πράξιλλα μὲν ἀπὸ Καρνείου φησὶν ὠνομάσθαι τοῦ Διὸς καὶ Εὐρώπης υἱοῦ, ὃς ἦν ἐρώμενος τῷ Ἀπόλλωνι· Ἀλκμὰν δὲ ἀπὸ Καρνέου τινος Τρωικοῦ.* ([*ἄλλοι*

83) *Ἤγουν ἑορτὴ τῶν Καρνέων, ἥτις ἐτελεῖτο παρὰ τοῖς Σικ⟨ελιώταις⟩.* 5. *ἑορτὴ τοῦ Διός.* C. *ἡ ἑορτὴ αὐτοῦ τοῦ Ἀπόλλωνος.* Lips. — *Ἐγγίζει.* 5. *ἐπέρχεται, τουτέστι παραγίνεται.* M. Y.

---

1) *οἰωνὸν*] *υἱῶνι* 4., *υἱῶν* H., om. vulg. 1) *εἷς τις*] L. P. Can. Gen.[a], *εἷς* vulg., *τις* 4., om. H. 1) *Ἱππότα* P. — *ὄνομα*] 1. 4. 5. H. L. Gen.[a], *τοὔνομα* vulg. 2) *ἐπεκράτησε τὴν Π.*] 5. L. P. Can. Gen.[a] Vulc., *ἀπεκράτησε τὴν Π.* 4., *ἐγίνετο* (*ἐγένετο* Eudoc.) *ἐν τῇ Πελοποννήσῳ* vulg. 3) *ἀπελθόντες δὲ*] L. P. Gen.[a], *καὶ ἀπ.* vulg. 3) *κρανεῖον* L. P. Gen.[a] 5) *δὲ* pro *οὖν* 4. 6) *οὗτοι* om. Eudoc. 7) *καὶ οἱ*] L. P., *οἱ* Gen.[a] vulg. 8) *ἀεὶ τὸ λοιπὸν*] *διὰ τὸν λοιμὸν* vulg., *διὰ λοιμὸν* Gen.[a], *εἰς τὸ λοιπὸν* Geelius. 8) *ἐπιτελοῦσι* L. P. Gen.[a] Vulc. 8) //Gen.[a] — *Δωρικῶς* L. P. Gen.[a] 9) *τῷ κρανίῳ* L. P. Gen.[a] 10) *Κράνου* et *ἔφησε* L. P. Can. Gen.[a] 10) *ἀπὸ δ᾽ αὐτοῦ* P. Gen.[a], *ἐξ αὐτοῦ* Vulc. 11) *Κράνειον* L. Gen.[a], *Κράνιον* P. 12) *θεοπέμπτῳ* 5. — *Theopomp. fr.* 171. 12) *ὡς*] *καὶ* vulg. 13) *οἱ Ἀργεῖοι* Gen.[a] 13) *Κάρνειον*] *Κρανεῖον* 5. L. P. Can. Gen.[a], *Κάρνον* vulg., *τὸν Κάρνον* Eudoc. 13) *τὸν οὖν Κάρνον*] 3. 4. 5. L. P. Can. Gen.[a] (sed hi tres *Κράνον*), *ὃν* vulg. 14) *ἀπερχόμενοι*] Duebnerus, *ἀπερχόμενον* vulg. 16) *λιμοῦ* 4. 5. P. 16) *φθειρόμενον* 5. P. 17) //Gen.[a] — *Πράξιλλα*] conj. Wart. et Hemsterh., *Πραξίλλας* 3. 4. L. N.[2], *Πραξίλας* E. Gen.[a] vulg., *ὁ δὲ Πραξίλας* sine *ἄλλως* Eudoc., *Πραξιλᾶς* Reisk. seqq., *Πραξήλος* P.[3], *Παξήλος* P.[2.4], *ὡς ὁ μὲν Π. φησὶ* E. 17) *Καρνίου* E. L. Gen.[a], *Καρίνου* N.[2] 18) *ὀνομάσθαι* Eudoc. et ante Xyl. 19) *Ἀλκάμαν* 5.[1] 6.[2] (?), *ὁ δὲ Ἀλκμὰν* E.[2] N.[2] 19) *Καρνέου*] 3. 4. Eudoc. et fere codd., *Καρνίου* P. Ox. II., *Καρανέου* Gen.[a] 19) *τοῦ υἱοῦ Δήμητρας* pro *Τρωικοῦ* E.[3] F.[3] N.[3] (*τοῦ* om. N.[2], *Δήμητρος* E.[2] N.[2]) — 22) *παραγίνεται*] *παράκειται* codd.

δέ φασιν ἀπὸ τοῦ τὸν Ἀπόλλω Κάρνιον ὠνομάσθαι ὡς μαντικόν. Κάρνος γάρ τις μαντικώτατος ἦν. E. F. N.[1]]) *Δημήτριος δὲ ἀπὸ τοῦ κρᾶναι, ὅ ἐστι τελέσαι. φησὶ γὰρ ὡς ὁ Μενέλαος στρατεύσας εἰς Ἴλιον ηὔξατο τιμῆσαι αὐτόν, ἐὰν κράνῃ. — Ἄλλως. Κάρνεα: ἑορτή ἐστι Διὸς Καρνεῖα ὀνομαζομένη. παρ' Ἕλλησι δὲ τελεῖται διὰ τὸ τὸν δούρειον ἵππον ἐκ κρανείου εἶναι ξύλου.*

Vs. 84. 85.

Rec. Καί μ' ἁ παῖς ποθορεῦσα: καί με ἡ παῖς ὁρῶσα. τὴν ἐρωμένην αὐτοῦ Ἀλκίππην λέγει. τὸ δὲ ὁρεῦσα Αἰολικόν. — Πλὰν δύο, τὰς λοιπὰς διδυματόκος: τὰ ἀπὸ τοῦ τίκτειν συγκείμενα (ὀνόματα E.), *εἰ μὲν προπαροξύνεται, πάθος δηλοῖ, εἰ δὲ παροξύνεται ἐνέργειαν, ὡς καὶ τὰ παρὰ τὸ κτείνειν καὶ τρέφειν. οἷον πρωτότοκος ὁ πρῶτος τεχθείς, (ξιφόκτονος ὁ ξίφει κτανθείς, παιδότροφος ὁ ὑπὸ παίδων τρεφόμενος,* E. I.) *διδυματόκος αἴξ ἡ δίδυμα τετοκυῖα. δοκεῖ δὲ τὸ διδυματόκος ἀπὸ τοῦ διδυμοτόκος γίνεσθαι τροπῇ τοῦ ο εἰς η, εἶτα τοῦ η εἰς α, διὸ καὶ μακρὸν ἔχει τὸ α. — (Διδυματόκος: Αἰολικῆς διαλέκτου. διδυματόκους καὶ ἐκβολῇ τοῦ υ διδυματόκος, ὡς Πίνδαρος·*

ἀκέρδεια λέλογχε θαμινὰ κακηγόρος. 6.)

Vet. (Ποθορεῦσα: Αἰολικόν· ὤφειλε γὰρ ωσα διὰ τὸ εἶναι τῆς δευτέρας συζυγίας. Gen.[b])

84) [*Πλὰν δύο:*] *ἄνευ δύο.* L. *διδυματόκων δηλονότι αἰγῶν τὰς ὑπολοίπους πάσας.* M. P. Lips. — [*Διδυματόκος:*] *ἐκβάλλεται τὸ υ διὰ τὸ μέτρον.* M.

85) *Ἡ Ἀλκίππη· αὕτη γάρ ἐστιν ἡ ἐρωμένη τοῦ Κομάτα.* 5. L. — *Ὤικτειρε γὰρ ἰδοῦσα.* L.

---

1) *ἀπὸ Κάρνου τινός, ὃς μαντικώτατος ἦν, τὸν Ἀπ. Κάρνιον ὠνομάσθαι ὡς μαντικὸν* pro *ἀπὸ τοῦ* seqq. N.[2] 3) *κρᾶναι*] Gen.[a] Eudoc., *κράναι* 3. 4. L. P., *κραῖναι* ante Xyl., *κραίναι* vulg., *κραῖναι* Kiessl. 3) *τελειῶσαι* 4. 4) *τιμᾶσαι* Gen.[a] 5) *κράνῃ*] *κραίνῃ* vulg. et Eudoc., *κραῖνῃ* ante Xyl., *κραήνῃ* P., *κρηήνῃ* 4. 5. L. Gen.[a], *κρήνῃ* Can. 5) //Gen.[a], ubi *τὰ δὲ Κ. ἐστιν ἑορτή. — ἄλλοι δέ φασιν ὅτι Κάρνεα ἑορτὴ* Eudoc. 5) *Καρνία* Gen.[a], *κράνειον* 3. 5. 6) *θούριον* L. Gen.[a] 7) *κρανείου*] L. Gen.[a], *καρνείου* vulg., *καρνείου δένδρου* Q. 9) //Lips. litteris fere evanidis; scriptum fuisse videtur *τὴν Ἀλκίππην λέγει τὴν ἐρωμένην αὐτοῦ.* 11) //Gen.[a] c. lemm. *διδυμ.* et Lips. 14) *κτείνειν καὶ*] E. I. Gen.[a] Lips., *τίκτειν καὶ* vulg., om. Reisk. seqq. 21) *Pind. Ol.* 1, 53. 22) *γὰρ ὤφησα διὰ τὸ η τῆς* cod. — 24) *πλὴν* ante *διδυμ.* M. P. 27) *ἡ* om. 5.

Vs. 86. 87.

Vet. *Φεῦ. φεῦ. Λάκων τοι*: τὸ φεῦ ἐπὶ θαύματος (κεῖται. Gen.[b])

Rec. *Τὸ δὲ τοι περισσόν.*

Vet. *Ταλάρως*: τοὺς καλαθίσκους, ἐν οἷς τυροῦσι τὸ γάλα. — *Ἐν ἄνθεσιν*: ἐν τῷ ἄνθει τῆς ἡλικίας χαίρει. τοῦτο δὲ εἶπεν ὡς ὄντος αὐτοῦ παιδεραστοῦ. — Ἄλλως. Τὸ μὲν ἔξω· τοῖς ἄνθεσι τοῦ τυροῦ τὸν παῖδα τοῖς χείλεσι παραχρίει. τὸ δὲ ἔσω· ἐν τοῖς ἀνθώδεσι τόποις τὸν ἄνηβον (παῖδα μολύνει ἀντὶ τοῦ βινεῖ. Gen.[b])

Rec. (*Καὶ τὸν ἄναβον*: Gen.[a]) καὶ τὸν μικρὸν ἔτι καὶ ἀτελῆ παῖδα, τὸν Κρατίδαν δηλονότι, ἐν βοτάναις μολύνει, [βινεῖ]. — (*Μολύνει*: ἐπὶ συνουσίας νοητέον. 6.) — (*ΤΟΝ ΑΝΑΒΟΝ*: τοῦτο δισσῶς. κατὰ μὲν τὸ φαινόμενον ἔστιν ἡ σύνταξις οὕτω· καὶ τὸν ἄναβον παῖδα, ἤγουν τὸν Κρατίδαν, μολύνει καὶ χρίει, κατὰ τὰ χείλη δηλονότι, ἐν τοῖς ἄνθεσι τοῦ τυροῦ, τουτέστι παρέχει αὐτῷ τυρόν, ἤγουν τρώγειν. κατὰ δὲ τὸ νοούμενον οὕτω· καὶ τὸν ἄναβον παῖδα ἐν τοῖς ἄνθεσι καὶ ἐν τοῖς γενείοις μολύνει, ἀντὶ τοῦ συνουσιάζει. ἢ καὶ οὕτως· καὶ τὸν ἄναβον παῖδα μολύνει ἐν τοῖς ἄνθεσι καὶ ἐν τοῖς ἀνθώδεσι τόποις. H. Q.)

Vs. 88.

Vet. *Βάλλει καὶ μάλοισι*: πειρᾶταί με εἰς ἔρωτα ὑπαγαγέσθαι. τὸ γὰρ μήλοις βάλλειν ἐπὶ τούτου ἔτασσον.

Rec. *Ἁ Κλεαρίστα*: ἡ τοῦ Κλεαρίστου θυγάτηρ Ἀλκίππη, ἡ ἐρωμένη αὐτῷ.

86) Ὡς σμικρύνων τὸν τοῦ Κομάτα λόγον λέγει τοῦτο. E. — [*Λάκων*:] ἤγουν ἐγώ. E. M. — *Καλαθίσκους*. Lips. *τυροβόλια*. C. — *Ἄντικρυς*. M.

87) *Ἀνήλικον*. K. M. — *Αἰσχρῶς μίγνυται τούτῳ*. K. M. *μιαίνει ἀσελγῶς*. E. N.

88) *Τὸ ἑξῆς· βάλλει καὶ τὸν αἰπόλον μήλοις ἡ τοῦ Κλεαρίστου θυγάτηρ, ἤγουν ἡ Ἀλκίππη*. Y. Lips. — *Ἤγουν ἐμέ*. M.

2) //Gen.[b], ubi ἐπὶ θαύματι omissis *Λάκων* ... *φεῦ*. 4) //*Lips. sine δέ. — τοι] Lips., τοὶ vulg. 5) //Gen.[b], ubi ταλάρους δέ. 5) τυροῦται Gen.[b] 6) //Gen.[b] sine τῷ. 7) παιδαράστης Gen.[b] 7) //Gen.[b] 9) ἔσωθεν Gen.[b] 11) //Gen.[a] *Lips., ex quibus prius καὶ accessit. 11) ἔτι om. Gen.[a] 12) Κρατίδα Gen.[a] 12) ἐν βοτάναις] add. E. M. Y. Gen.[a] Lips. 12) βινεῖ om. Gen.[a] Lips., quod ex SchVet. adscitum. 14) διssῶς μὲν κατὰ Q. 23) //Gen.[b] — με] Gen.[b] vulg., τε Reisk. seqq. 23) ἐπαγαγέσθαι Gen.[b] 24) τὸ μῆλον βάλλει Gen.[b] 24) τούτου] τούτοις vulg. 25) //*Lips. ἡ τοῦ Κλ. θ. ἤγουν ἡ Ἀλκίππη.

Vs. 89.

Rec. Τὰς αἶγας παρελῶντα: ⟨παρὰ μὲν Ὁμήρῳ⟩ παρήλασεν ἀντὶ τοῦ παρέδραμεν, ἤγουν ἐνίκησεν [ἐμὲ ἡ Ἀλκίππη]· ἐνταῦθα δὲ τὸ παρελῶντα ἐπὶ τοῦ παρακολουθεῖν καὶ ἐλαύνειν λέγεται. — Καὶ ἀδύ τι ποππυλιάσδει: καὶ ἡδύν τινα συριγμὸν συρίττει.

Vs. 90. 91.

Rec. Κἠμὲ γὰρ ὁ Κρατίδας τὸν ποιμένα λεῖος ὑπαντῶν ἐκμαίνει: καὶ ἐμὲ δὴ ὁ Κρατίδας τὸν πρόβατα νέμοντα ἀγένειος ὑπαντῶν εἰς μανίαν ἔρωτος ἐμβάλλει. — (Οὕτω τὸ ἐντελές· λεῖος τὸ γένειον. καὶ λειοπώγων ὁ ἀγένειος. 6.)

Vet. (ΕΚΜΑΙΝΕΙ: ἐρᾷ· τὸ πολὺ δὲ τοῦ ἔρωτος δηλοῖ διὰ τοῦ ἐκμαίνει. 4. 5.)

Vs. 92:

Rec. Ἀλλ' οὐ σύμβλητ' ἐστὶ κυνόσβατος οὐδ' ἀνεμώνα: ἤγουν συγκρίνεσθαι δυνάμενά εἰσιν.

Vet. Ἡ συγκρίσεως ἄξια. λέγει δὲ τὴν διαφορὰν τῆς θηλείας ἀπὸ τοῦ ἄρρενος. — Κυνόσβατος: φυτάριόν ἐστιν ὅμοιον ῥοιδίῳ ἔχον τὸν καρπόν. ἔστι δὲ μεταξὺ θάμνου καὶ δέν-

89) Γλυκὺ συρίζει· ⟨ποππύζειν γὰρ⟩ τὸ πεπιεσμένοις τοῖς χείλεσιν ἦχον ἀποτελεῖν. ἡδύν τινα συρισμὸν συρίττει. 6. 23.

90) Ὁ ἐρώμενός μου ὁ Εὐμήδης. K. — Ὁμαλός, ὡραῖος, ἢ ἀγένειος. K. M. — Συναντῶν. M.

91) Τουτέστιν ἀνάπτεσθαι ποιεῖ με ὑπὸ τοῦ ἔρωτος. L. ἐκ τῆς ἐπιθυμίας ὡς μαινόμενον ποιεῖ. K. — Στίλβουσα, τρυφερά, δασεῖα. H. M. τρυφερά. Lips. — Παρὰ τὸν τραχηλὸν αὐτοῦ. H. M. Lips. — Κινεῖται τρίχα. 4. τὰς τρίχας. C. κόμη. H. M. Lips.

---

2) //Gen.[a] Lips. — παρελθόντα Gen.[a] 2) παρήλασεν ἀντὶ τοῦ] Lips. et sine παρήλ. Gen.[a], ἤγουν παρήλασε καὶ vulg. 3) ἢ pro ἤγουν Lips. 3) ἐμὲ ἡ Ἀ. om. Gen.[a] Lips. 4) ἐντ. δὲ τὸ παρ.] Gen.[a] Lips., τὸ δὲ παρ. ἐντ. vulg. 5) //*Lips. 5) ἡδὺ ante Heins. 6) συριγμὸν] 1. Lips., συρισμὸν vulg. 6) συρίττει] Lips., συρίττοι 1., συρίζει vulg. 8) //*Lips. ἀγένειος — εἰς μανίαν ἔρ. ἐμβ. 9) δὲ pro δὴ Reisk. seqq. 14) διὰ τὸ codd. 16) //*Lips. συγκρ. δυν. 18) //Om. Gen.[a.b.] Lips. 19) //Gen.[b.] Phav. — κυνόσβατος: φυτάριόν ἐστιν] Phav., κυν. φύτρον Gen.[b.], φυτάριον δὲ ὁ κυν. ἐστιν vulg. — *Theophr. H.*Pl. III*, 18, 4. 20) ῥοιδίῳ] ῥόδῳ vulg., τῷ τῆς ῥόας Theophr., τῇ ῥοιᾷ Athen. II, 70. D. ex Theophr. 20) ἔτι δὲ Gen.[b.] — 21) πεπιεσμένοις] Duebn., -νον codd. 22) συρίττειν codd.

δρων, παρόμοιον ταῖς ῥοιαῖς [ἢ ταῖς ῥοδέαις], ⟨τὸ δὲ φύλλον⟩ ἀκανθῶδες, ὥς φησι Θεόφραστος. ἔστι δὲ ὁ κυνάκανθος. — *Οὐδ' ἀνεμώνα*: ἀνεμώνη ἄνθος ἄοδμον, ὅ φασιν ἀναδοθῆναι ἐκ τοῦ αἵματος τοῦ Ἀδώνιδος. — Ἄλλως. (*Οὐδ' ἀναιμόνα*: Gen.[b]) τὴν ἀνεμώνην Νίκανδρός φησιν ἐκ τοῦ Ἀδώνιδος αἵματος φυῆναι. Κρατεύας δὲ [ἢ Κρατίδης κατά τινας] δύο φησὶν εἶναι τὰς ἀνεμώνας, τὴν μὲν ἄνθος ἔχουσαν μέλαν, τὴν δὲ φοινίκεον. Σωσίβιος δὲ τὰς ἀνεμώνας παρὰ Λάκωσι φαινίδας καλεῖσθαί φησι. — (*Πρὸς ῥόδα*: Gen.[b]) ῥόδον [δὲ] παρὰ τὸ θᾶττον ἀπορρεῖν· ῥοῶδες γάρ ἐστιν, ἤτοι συντόμως φθειρόμενον. — *Τῶν ἄνδηρα παρ' αἱμασιαῖσι*: ὧντινων, δηλονότι τοῦ κυνοσβάτου καὶ τῆς ἀνεμώνης, ἄνδηρα, ἤγουν ἄνθη, ἐν ταῖς αἱμασιαῖς εἰσίν. ἢ κυρίως ἄνδηρα τὸν ἔνυγρον τόπον καὶ τὰ τῶν ποταμῶν ἀναχώματα γίνωσκε. — *Ἄνδηρα* νῦν [τὰ ἄνθη ἢ] τὰ ἄκρα· τῶν γὰρ ῥόδων τὰ ἄκρα καὶ πρωτεύοντα φύονται ταῖς αἱμασιαῖς. κυρίως δὲ ἄνδηρα τὰ ἐπάνω τῶν ὀχετῶν τῶν ὑγρῶν, ἤτοι

92) Ἡνωμένα, ὅμοια. K. M. συμπαραβαλλόμενα. L. — [*Κυνόσβατος*:] ἄγριον ῥόδον, ἡ κυνάκανθος καλουμένη. 5. ἡ λεγομένη κυνάκανθα. M. εἶδος βοτάνης, ἣ τοὺς κύνας παρορμᾷ. K. — [*Ἀνεμώνα*:] ἡ λαγωνίς. L. ὁ πετεινὸς καλούμενος, ὅς ἐστι βοτάνη, ἤγουν κουτζουνάδα. 5. ἡ κοινῶς λεγομένη κουτζουνάδα. K. M.

93) [*Ῥόδα*:] τὰ κοινῶς λεγόμενα τριαντάφυλλα. K. — Ὧν, τῶν κυνοσβάτων δηλονότι καὶ τῶν ἀνεμωνῶν. Lips. τὰ ἄνθη τῶν εἰρημένων βοτανῶν. K. M. ἀντὶ τοῦ τὰ ἄνθη. Lips. κλάδοι. C. — Τοῖς φραγμοῖς. E. M. Lips. — Ἀνθεῖ, βλαστάνει. M. Y. ἀνθεῖ. Lips.

---

1) ἢ ταῖς ῥοδέαις om. Gen.[b] Vulc. — τὸ δὲ φύλλον suppleta ex Theophr. et Athen. — ὥς φησι seqq. om. Phav. 3) //Om. Gen.[a.b.] Lips. 3) ἀνεμώνα ante Scult. 3) ἄνοδμον p. 5) //Gen.[b.] 6) ῥυῆναι Gen.[b.] 6) Κρατέας Phav. s. v. ἀνεμώνη. — Κρατίδας δὲ δύο φησίν, τὴν μὲν Gen.[b.] 9) φανίδας Phav. 10) //Gen.[b.] sine δέ. 11) συντόμως φθ. 4., φθ. συντόμως Gen.[b.], συντ. om. vulg. 11) //Om. Gen.[a.b.] Lips. 12) τοῦ ... ἀνεμώνης] p., τῶν κυνοσβάτων καὶ τῶν ἀνεμώνων vulg. (ἀνεμωνῶν primus Gailius). 13) ἢ κυρίως seqq. vulgo et apud Phav. s. v. ἄνδηρα post sequens scholium leguntur, unde transposui. — ἢ τὸν ἔνυδρον Phav. 14) ἀναχώματα] Koehlerus, ἀναχωρήματα vulg. 15) γίνωσκε om. Phav. 15) //Gen.[b.], ubi τὸ ἄνδειρα νῦν ἀντὶ τοῦ ἄκρα. 15) τῶν γὰρ ... αἱμασιαῖς vulg. scholii extrema sunt, unde auctore Geelio transposui. Phav. sic: ἄνδηρα τὰ ἐν ταῖς αἱμασιαῖς ἄνθη. τῶν γὰρ ῥόδων .... αἱμασιαῖς. παρὰ δὲ Θεοκρίτῳ τὰ ἄνθη ἢ τὰ ἄκρα. κυρίως δὲ ἄνδηρα γίνωσκε ... διερὰ εἶναι. 16) φαίνονται Vulc., φύονται ἢ φαίνονται Gen.[b.] 17) ἄνδειρα Gen.[b.] — 25) ἀντὶ τ. τ. ἄ. in Lips. super πρὸς ῥόδα scripta, quum potius ad ἄνδηρα pertineant.

τὰ χείλη τοῦ ποταμοῦ, παρὰ τὸ ἄνω εἶναι τῶν διερῶν (τουτέστι τῶν διύγρων. Gen.[b])

Rec. (Κυνόσβατος εἶδος βοτάνης, ἧς τὸ ἄνθος ῥόδῳ ἔοικεν. M.) — (Ἢ ῥόδον ἀπὸ τοῦ ἀπορρεῖν ἢ ῥέειν θᾶττον τὴν ὀδμὴν αὐτοῦ. Q.) — (Ἄνδηρα λέγεται τὰ χείλη τοῦ ποταμοῦ· ἐνταῦθα δὲ αἱ κάλυκες, ἤγουν τὰ ἄνθη. Gen.[a])

Vs. 94. 95.

Vet. Οὐ δὲ γὰρ οὐδ' ἀκύλοις: ταῖς τοῦ πρίνου βαλάνοις· ἄκυλος γὰρ ὁ τοῦ πρίνου καρπός. αἱ μὲν γὰρ ἄκυλοι λεπτόσαρκοι, φησί, καὶ σκληραὶ [ἢ ξηραί]· αἱ δέ, ὀριμαλίδες δηλονότι, ἡδεῖαι. φησὶν οὖν, ὅτι ὁ μὲν Κρατίδας μελιχρός, ἡ δὲ Κλεαρίστη ἀηδής. — Ὀρομαλίδες δὲ τὰ ἄγρια μῆλα, [ἢ τὰ ἐν ὄρει μῆλα]. Ἀσκληπιάδης δὲ ὁμομαλίδες γράφει. ἔστι δὲ τὰ συνακμάζοντα <τοῖς μήλοις σῦκα, ὥσπερ ἀμάσυκα τὰ συνακμάζοντα> τοῖς σύκοις μῆλα. — Αἱ δὲ μελιχραί: τινὲς οὕτως ἑρμηνεύουσιν· αἱ μὲν ἔχουσι λεπτὸν λέπυρον· αἱ δὲ μελιχραί, ἤγουν χροιὰν ἔχουσαι μέλιτος, κιτρινοειδεῖς. ὁ δὲ καρπὸς τοῦ πρίνου κοκκοειδής ἐστι. ποιεῖ

94) Τοῖς πρινοκόκκοις συγκρινόμενα. 5. τὰ πρινοκόκκια. L. ταῖς βαλάνοις τοῦ πρίνου. E. H. M. ἢ ὁ καρπὸς αὐτοῦ. H. — Ὀρομηλίδες, ἀγριόμηλα, σύμβλητ' ἐστὶ δηλονότι. L. τὰ ἐν ὄρεσι μῆλα, συγκρίνεσθαι δηλονότι εἰσὶν ἄξια. E. — [Αἱ μέν:] ἤγουν αἱ ἄκυλοι. H. M. Y. Lips.

95) Φλοιόν. 5. H. M. Lips. πῶμα, σκέπασμα, οἱονεὶ λέπιον. K. — Ἤγουν αἱ ὀριμαλίδες. Lips. — Ἀσθενεῖς. 4. κιρραὶ ἢ ἡδεῖαι. 5.

---

1) εἶναι τῶν διερῶν] Gen.[b], διερῶν εἶναι ante Heins., διερὸν εἶναι vulg., διερὰ εἶναι Phav. 4) Haec Gailius attulit tanquam pro ῥόδον δὲ seqq. p. 204. 10. in Q. lecta. 8) //Gen.[b] sine οὐ δὲ γάρ. 8) τοῖς Gen.[b] et ante Heins. 9) οἱ μὲν Gen.[b] 10) φασι καὶ ξηραὶ Gen.[b] 10) ὀριμ. δηλ. om. Gen.[b] 11) φησὶ μὲν οὖν Gen.[b] 11) μελιχρός] μελίχρους vulg. 12) ἀηδής] Gen.[b], ἀειδής vulg. 12) //Gen.[b] Phav. — ὀρομαλίδες] ante Xyl., ὀρομαλίδας Phav., ὀριμαλίδες vulg., ὀρυμαλίδες Gen.[b] — δὲ om. Gen.[b] Phav. 12) ἄγρια] Gen.[b], ὄρια ante Xyl. et Phav., ὄρεια vulg. et Gregor. 76. 13) ἢ τὰ ἐν ὄ. μ. om. Gen.[b], cf. SchRec. 13) ὁμομαλίδες] ὠμομηλίδες Gen.[b], διὰ τοῦ ω μεγάλου vulg. 14) λέγει pro γράφει Gen.[b] 15) //Gen.[b] post schol. Vs. 99 τὰν πέλλαν. 17) λέπτυρον Gen.[b] 17) ἔχουσαι] P. Gen.[b], ἔχουσι vulg. 17) κιτρινοειδής Gen.[b] 18) κρίνου P. Gen.[b] 18) κοκκοειδής] κροκοειδής vulg. — 20) βοτάναις H. (?) — τῶν πρίνων E. 21) συμβλητέον δηλ. cod., quae verba male ad ἔχοντι relata erant. Ceterum cf. Phav. ὀρομηλίς: τὸ ἀγριόμηλον. 22) ἤγ. αἱ ἄκ. ex H. M. Y. male ante ἁρμόδιαι p. 206. 4. afferuntur.

οὖν ὁ *Λάκων τὴν μὲν Κλεαρίσταν κιτρινοειδῆ καὶ οἱονεὶ ἄμορφον, τὸν δὲ Κρατίδαν κοκκοειδῆ καὶ οἱονεὶ εὔμορφον.*

Rec. (*Οὐδὲ γὰρ* Vat. *ταῖς βαλάνοις τοῦ πρίνου* <*ὀριμηλίδες, ἤγουν*> *τὰ ἐν ὄρει μῆλα*, *Lips. *ἁρμόδιαί εἰσι δηλονότι συγκρίνεσθαι.* 6. *H. *M. *Y. *Lips.) — (*Ἄκυλος τὸ πρινοβάλανον· ὀριμαλὶς δὲ τὸ ἄγριον μῆλον.* 6.)

Vs. 96.

Rec. *Κἠγὼ μὲν δωσῶ τᾷ παρθένῳ αὐτίκα φάσσαν: καὶ ἐγώ, φησί, δώσω τῇ παρθένῳ* (*ἤγουν τῇ* Lips.) *Ἀλκίππῃ αὐτίκα φάσσαν. τὴν ταχυτῆτα θέλει δηλοῦν τὸ αὐτίκα. ἐπεὶ ἄλλως πῶς αὐτίκα δώσει, ἣν οὔπω ἀπὸ τῆς ἀρκεύθου καθεῖλεν;*

Vet. *Φάσσα δὲ ὄνομα ὀρνέου. Ἀλέξανδρος δέ φησιν ὁ Μύνδιος, ὅτι ἡ μὲν φάσσα ὑποκυάνεον ἔχει τὴν κεφαλὴν καὶ μᾶλλόν γε ἐμπόρφυρον, τῶν τε ὀφθαλμῶν λευκῶν ὄντων τὸ ἐν αὐτοῖς μέλαν στρογγύλον ἔχει.*

Vs. 97.

Vet. *Ἐκ τᾶς ἀρκεύθω: ἄρκευθος ὄνομα δένδρου ἀκάρπου. φησὶ γὰρ ὁ Θεόφραστος, ὅτι τῶν ἀγρίων ἐστὶν ἐλάτη, πεύκη, ἄρκευθος, μίλος, θυία καὶ ἣν Ἀρκάδες καλοῦσι φελλόδρυν.* (*ταῦτα ὀνόματα δένδρων.* Gen.[b.]) — (*Ἄρκευθος εἶδος φυτοῦ ἀκανθώδους.* 3.)

Rec. (*Ἄρκευθός ἐστιν ἡ λεγομένη ὀξυάκανθα.* Gen.[a.])

96) *Τῇ Κλεαρίστῃ.* Vat. L. *τῇ Καλλιόπῃ δηλονότι.* E.

97) *Καταβιβάσας.* H. M. P. Lips. — *Ἐπικάθηται τοῖς ὠοῖς.* E. H. M. Lips.

---

1) *Κλεαρίσταν*] P. Gen.[b.], *-ην* vulg. 2) *κοκκοειδῆ καὶ οἱονεὶ*] P. Gen.[b.], *κροκοειδῆ καὶ οἷον* vulg. 3) *οὐδὲ γὰρ*] *οὐδ' ἄρ'* Wart. post lemma *ΟΥΔ.* tanquam ante *ἁρμόδια*, om. Gaisf. 3) *τοῖς* cod., cf. Gl. 4) *ἁρμόδια* 6. 6) *ὀρμαλὶς* Wart., quod correxit Kiessl. 8) //Gen.[a.] sola ultima habet *τὴν ταχ.* seqq. c. lemm. *αὐτίκα φάσσαν*. Lips. s. l. *καὶ ἐγὼ δώσω — ἤγουν τῇ Ἀ.*, tum in marg. *τὴν ταχ.* seqq. 11) *οὕτω* Gen.[a.] 13) //Gen.[b.] sine priore *δέ*. 14) *μύνδυος* ante Brub., *Μύνδης* Gen.[b.], *μάνδαν* Vulc. 14) *ὅτι οἱ μὲν* Gen.[b.] 18) //Gen.[b.], ubi *ἀρκεύθου* omissis *ἄρκευθος ὄν. δ. ἀκ.* 19) *Theophr. H. Pl. I*, 9, 3. 19) *ἀρίστων* pro *ἀγρίων* 3. 20) *μίλος*] *μίλος* Theophr., *μειλία* 3. 5. Gen.[b.] Vulc., *μελία* vulg., *σμίλαξ* Kiessl. auctore Reinesio. 20) *θυία*] ex Theophr. auctore Reinesio Kiessl., *οἶα* Gen.[b.] vulg. 20) *ἣν Ἀρκάδες*] ex Theophr. auctore Reinesio Kiessl., *ἡ ναρύκα* Vulc., *ἡ ναρύκα ἣν* Gen.[b.], *ἀναρύκα ἣν* vulg. 20) *φελλόδρυν*] Kiessl., *φέλλοδρυν* vulg., *μέλλοδρυν* 4., *μέλοδρυν* 3., *κελλοδρυν* Gen.[b.], *κελλόδραν* Vulc. 23) *ὀξυάκανθα*] Adert., *ὀξυακανθέα* cod. — 24) *Κλεαρίστᾳ* Vat.

Vs. 98. 99.

Vet. (*Ὁππόκα πλεξῶ*: ἐνταῦθα ⟨μὲν τὸ πείκειν ἐπὶ τοῦ κείρειν⟩ καὶ ποκάζειν· ἐτίθεσαν ⟨δὲ καὶ⟩ ἐπὶ τοῦ ξαίνειν. P. Gen.[b]) — *Τὰν ὄϊν τὰν πέλλαν*: τὴν μέλαιναν. τὴν γὰρ τοῦ σώματος ἐπιφάνειαν, ὅτε ὑφ' αἵματος μελανθῇ, πελίδνωμα καλοῦμεν. — *Ἤ τὰν πέλλαν*: σκοτεινήν, μέλαιναν, πορφυρᾶν· τὴν γοῦν τοῦ σώματος ἐπιφάνειαν, ἡνίκ' ἂν δι' ὑποδρομὴν αἵματος μελαίνηται, πελίωμα [ἢ πελίδνωμα] καλοῦσιν, ὃ τῇ Ἀφροδίτῃ συμβεβηκέναι φησὶν Ὅμηρος·

μελαίνετο δὲ χρόα καλόν.

Rec. *Ὁππόταν πέξω*: πείκειν κυρίως τὸ ξαίνειν· ἐνταῦθα δὲ τὸ κείρειν, ὡς καὶ παρ' Ἡσιόδῳ·

ἠμὲν ὄϊς πείκειν ἠδ' εὔφρονα καρπὸν ἀμᾶσθαι.

— Τὸ δὲ *ἐς χλαῖναν* ἀντὶ τοῦ εἰς τὸ ἐργάζεσθαι χλαῖναν. — (Πέκω τὸ τὰς ὄϊς κείρω. ὅθεν καὶ πόκος τὸ κεκαρμένον σύστημα τῶν τριχῶν. πόκον πέξω εἰς χλαῖναν, ἀντὶ τοῦ κερῶ ἔρια, ἵνα ποιήσω χλαῖναν. 7. 23. M.)

Vs. 100. 101.

Vet. *Σίττ' ἀπὸ τᾶς κοτίνω*: τοῦτο μεταξὺ τῆς ᾠδῆς ἐπεφώνησε πρὸς τὰς αἶγας· ἀναχωρεῖτε τῆς ἀγριελαίας.

98) *Ποκάριον.* K. M. — *Ἐπειδὰν κείρω.* H. M. P. Lips. *κουρεύσω.* C.

99) *Τὴν προβατίναν.* K. L. — *Τὴν μέλαιναν.* L. pr. Lips. *τὴν λευκήν.* L. rec. *τὴν μαύρην.* C. — *Τῷ Εὐμήδῃ τῷ υἱῷ τοῦ Κρατίδου.* K.

100) *Ἐπιφώνημα αἰπολικόν.* M. — *Αἱ αἶγες ἀπέλθετε.* H. M.

101) *Κατωφερές.* M. — *Ἐπανάστημα τῆς γῆς.* M. — *Εἶδος φυτοῦ, ἡ κοινῶς μεριχέα.* M.

---

2) *ἐνταῦθα*] *ἐντεῦθεν* codd. 3) *καὶ ποκάζειν*] *καὶ πόκα* P., *ὁππόκα* Gen.[b] — *ἐπὶ τοῦ*] Duebn., *ἐπὶ τὸ* P., *ἀντὶ τοῦ* Gen.[b] — *ξαίνειν*] Adert., *ξέειν* codd. 4) //Om. Gen.[a.b.] Lips. 6) //Gen.[b] — *τὰν πέλλαν*] Gen.[b] vulg., *τὴν π.* Kiessl. 7) *ἡνίκ' ἂν*] 4. P. Gen.[b] et Gregorii cod. c., *ἡνίκα ἂν* Gregor. 105., *ἡνίκα* vulg. 8) *ἐπιδρομὴν* Vulc., *ὑπερβολὴν* 3. 8) *πελίωμα*] sine *ἢ πελίδνωμα* 4. 5. P. Can. Gen.[b] Vulc. Greg., *πέλλαμα* vulg., *πέλλωμα* Reisk. 9) *συμβέβηκε καὶ Ὅμ.* 3. 4. 5. P. Gen.[b]

10) *Hom. Il.* E, 354. — *μελαίνεται* 5. P. Gen.[b] 11) //Gen.[a], ubi *ὁππόκα*, et Lips. 13) *Hes. Op.* 773. — *ἠμὲν — ἠδ'*] ante Heins., qui *ἢ μὲν — ἠδ'*, tum *Ἠ μὲν — ἠδ'* Ox. II. seqq., *ἡ μὲν — ἡ δ'* (Gen.[a] ?) Kiessl., *ἢ μὲν — ἠδ'* Lips. — *ἄφρονα* H. 14) //*Lips. *εἰς τὸ ἐργάσασθαι χλ. — ἐπιτήδειον δηλονότι εἰς τὸ ἐργάσασθαι* E. N. 15) *κειρόμενον* M. 16) *πόκον οὖν πεξῶ* M. 19) //Gen.[b] c. lemm. *ὧδε νέμεσθε.* 20) *τῆς*] Gen.[b] et ante Heins., *ἀπὸ τῆς* vulg.

Rec. (Σῖττ' ἀπὸ τᾶς κοτίνω: Gen.[a] ἀπόστητε ἀπὸ τῆς ἀγριελαίας· τὸ σίττα ἔχει τὴν δύναμιν τοῦ ἀπόστητε. E. H. M. N. P. Y. Gen.[a] Lips.) — Ὧδε νέμεσθε: ἐνταῦθα ἐλθοῦσαι βόσκεσθε, εἰς τὸν ἀνεστηκότα τοῦτον τόπον καὶ κατάντη, ἤγουν ὀξύν, [ἅτε καὶ] ὅπου αἱ μυρῖκαι.

Vs. 102. 103.

Vet. Οὐκ ἀπὸ τᾶς δρυός: ἀπόστητε, φησίν, ἀπὸ τῆς δρυός, καὶ κατὰ τοῦτο τὸ μέρος βόσκεσθε τῆς Ἰταλίας, ἔνθα τὸ ὄρος ὁ Φάλαρος πρὸς ἀνατολὰς κείμενον. Ἀσκληπιάδης δέ φησι χωρίον τὸ νῦν καλούμενον Φάλερον. ἔστι δὲ ὄνομα ὄρους εἰς ἀνατολὰς κειμένου. — Φάλαρος: λέγει τὸν λευκὸν κριόν. φαλὸν γὰρ τὸ λευκόν, καὶ Ὅμηρος κύματα φαληριόωντα λέγει τὰ λευκαινόμενα. — (Φάλαρος: ὁ φολιδωτὸς κριός, ἢ τὸ ὄρος τῆς Ἰταλίας. L.)

Rec. Τὸ δὲ τουτεὶ ἐπιρρηματικῶς ἀντὶ τοῦ ἐνταῦθα.

Vet. Ὁ Κώναρος: Κώναρος διὰ τὸ κέρατα περιφερῆ καὶ τραχέα ἔχειν ὡς κώνους, ἤγουν στροβίλους. — (Ὁ Κώναρος: ἤγουν ὁ κριός, παρὰ τὸ κέρατα ἔχειν κωνοειδῆ. 3. Gen.[a]) — Κιναίθα: ἡ πρὸς τὸ κινεῖσθαι διάπυρος, ἤγουν ταχεῖα, ὡς παρὰ τὸ κινῶ καὶ τὸ αἴθω τὸ καίω. — Ἄλλως. Κιναίθα: τοῦτο τῆς αἰγός ἐστιν ὄνομα. τινὲς δὲ τὴν εὐκίνητον ἀκούουσιν. [αἰθὸν γὰρ τὸ πυρῶδες.] αἴθει γὰρ ἐν κινήσει ⟨ὡς⟩ τὸ πῦρ. ὅθεν Ὅμηρος τοὺς λέοντας αἴθωνάς φησιν.

102) Ὄνομα κριοῦ. C. H. M. P. Y. Lips. — Ἀποστάντες δηλονότι. H. M. P. Lips. ἀποστήσεσθε. N.

103) Πρὸς τὰς ἀνατολὰς τετραμμένοι. E. K. M. Y. Lips. — [Ὡς:] ὅπου. L. ὥσπερ. K. — Λευκὸς ἢ ὁ φολιδωτός. 4. — Ἤγουν ὁ κριὸς ὁ λευκός. Lips.

---

3) //Gen.[a] inde ab εἰς τὸν c. lemm. τοῦτο γεώλοφον, *Lips. ἐλθοῦσαι seqq. 4) τόπον] 2. 23. Gen.[a] Lips., λόφον vulg. 5) ἅτε καὶ om. 2. 23. Gen.[a] Lips. 5) μυρῖκαι] 2. 23. Gen.[a] Lips., μυρσίναι vulg. 7) //Gen.[b], ubi in lemm. τῆς. 9) Ἀσκλ. δέ φ. χ.] 4. 5. Gen.[b], καὶ Ἀσκλ. χ. τοῦτό φησι vulg. 10) Φάλερον] 4. 5. Gen.[b], Φάλαρον vulg. 11) κειμένου] 5. Gen.[b], κείμενον vulg. ante Kiessl. 11) //Gen.[a] post scholia ὁ Κώναρος et Κιναίθα, vid. ad l. 17. — Φάλαρος: λέγει] Gen.[a], ἄλλοι δὲ φάλαρον λέγουσι vulg. 12) *Hom. Il. N*, 799. 15) //*Lips. ἐπιρρ. ἀ. τ. ἐ., ubi textus τουτί. 16) //Gen.[b], ubi διὰ τοῦ sine altero Κώναρος. 17) στροβίλους] Gen.[b] Amstel. Gaisf., στροβύλους vulg. 17) Hoc et sequens scholium in Gen.[a] extant post schol. σκίλλα Vs. 121. Ibi ἤγουν om., ἀπὸ τοῦ — κανοειδῆ. 19) Gen.[a] 19) ἤγ. ἡ ταχεῖα Gen.[a] 20) τὸ καίω om. Gen.[a] 20) //Gen.[b], ubi Κυναίθα. 22) αἶθον Call. (corr. Bas. II.) 22) αἴθει] Geel., δαίει vulg.

Rec. (Ἔχει οὕτως ἡ σύνταξις· ὦ οὗτος καὶ σὺ ὁ Κώναρος καὶ ἡ Κιναίθα, οὐκ ἀπὸ τῆς δρυὸς γενήσεσθε; τουτεὶ καὶ ἐνταῦθα βόσκεσθε πρὸς τὰς ἀνατολάς, ὡς καὶ ὅπου ἐστὶν ὁ Φάλαρος. Q.)

Vs. 105.

Vet. Ἔργον Πραξιτέλευς: ἀντὶ τοῦ εἰπεῖν θαυμάσιον λέγει τὸ ὄνομα τοῦ τεχνίτου ὡς ἐξάκουστον. δύο δέ φασι Πραξιτέλεις, τὸν μὲν ἀρχαιότερον ἀνδριαντοποιόν, τὸν δὲ νεώτερον ἀγαλματοποιόν. οὗτος δὲ ἦν ἐπὶ Δημητρίου τοῦ βασιλέως· περὶ οὗ φησὶν ὁ Θεόκριτος. — (Τᾷ παιδὶ δέ, τῇ Ἀλκίππῃ. p.)

Rec. (Τοιοῦτον οἷον ἂν ὁ Πραξιτέλης εἰργάσατο. 1. 6. 23. E. M. N. P. Gen.[a] *Lips. — Πραξιτέλες: συνεστάλη τὸ υ διὰ τὸ μέτρον. M.)

Vs. 106. 107.

Vet. (Ὃν λύκος ἄγχει: κυρίως ἐπὶ τοῦ ζῴου ἀκουστέον, ἢ ἐπὶ τοῦ ἱμάντος τοῦ περιδεδεμένου τοῖς τραχήλοις τῶν κυνῶν. 3. 5. Gen.[b])— (Λύκος ἄγχει: πνίγει καὶ ῥέγχειν ποιεῖ ἐν τῇ φροντίδι τοῦ φυλάσσειν τὰ θρέμματα. δοκεῖ δὲ ⟨Φιλοποίμνιος⟩ ὄνομα εἶναι κυνός. Gen.[b])

Rec. Κύων φιλοποίμνιος: ἐν τῇ ποίμνῃ φιλῶν ἀνα-

104) Τὸ γαλακτοδόχον ἀγγεῖον. κοῦτλος. M. — Ἀπὸ κυπαρίσσου κατεσκευασμένος. E. M. P. Lips. — [Κρητήρ:] κισσύβιον. M.

105) [Ἔργον Πραξιτέλευς:] οὗτος ἑρμογλύφος ἦν ἄριστος. M. ἤγουν θαυμαστόν. L. — Τῇ Καλλιόπῃ. E.

107) Κρατίδᾳ. 5. τῷ ἐρωμένῳ μου Κρατίδᾳ. M. — Κυνηγετεῖν. M.

---

4) Ad Vs. 104 in N. legitur scholium Suidae debitum: γαυλὸς ὀξυτόνως ἀγγεῖον ποιμ. ὃ δ. τ. γ., γαῦλος δὲ προπερισπώμενον ὁ εὐαπάτητος ... ἄκατος. 6) //Gen.[b], ubi verba ἀντὶ δὲ τοῦ ... τεχνίτου scholii extrema sunt, omissa autem ὡς ἐξ. δύο δέ φ. Πρ. Scholii initium ante δύο etiam in Gen.[a] extat post schol. Vs. 103. Φάλαρος, ubi vide. 6) θαυμαστὸν Gen.[b] 8) ἀρχαῖον ἀνδρὶ ἀνδριαντ. Gen.[b]. 9) Δημ. βασ. et φησὶ Θ. Gen.[b] 10) Haec a Gaisf. male ad τῷ παιδὶ Vs. 107 relata. 12) Haec in Gen.[a] post ἐξάκουστον lin. 7. leguntur. — ἤγουν τοιοῦτον E. M. N. P. Gen.[a] — 16) Ὃν λύκος ἄγχει] κύων φιλοποίμνιος codd. Scholium ad lectionem ὃν λύκος pertinere Duebnerus intellexit. 17) τῷ ἵμαντι τοῦ περιδέσμου codd. (παραδέσμου Gen.[b]) 18) λύκως cod. 18) πνίγει] νικᾷ cod. — ῥεγχεὶν cod. 20) Φιλοποίμνιος supplevit Adertus. 21) //Gen.[a] sola ultima habet τὸ διώκειν λέγεται seqq. c. lemm. τὰ θηρία πάντα διώκειν post sch. seq., *Lips. ἐν τῇ π. φ. α. — πνίγει — ὥστε seqq.

στρέφεσθαι, ὃς λύκον πνίγει, ὃν δίδωμι τῷ παιδὶ ὥστε ἀπελαύνειν πάντα τὰ θηρία. λέγεται τὸ διώκειν καὶ ἐπὶ τοῦ ἀγρεύειν καὶ αἱρεῖν. — (*Ὃν τῷ παιδὶ δίδωμι: ἰστέον ὅτι δίδωμι λέγει ἀντὶ τοῦ δώσω· ἐπὶ γὰρ τῶν ἀναμφιβόλων ὑποσχέσεων ἐνεστῶτες καὶ παρεληλυθότες ἀντὶ τοῦ μέλλοντος τίθενται.* Gen.[a])

Vs. 109.

Rec. [*Ἐντὶ γὰρ ἆβαι: τετραχῶς καὶ τοῦτο γράφεται ἐν τοῖς παρ' ἡμῖν ἀντιγράφοις· οἷον*] *ἆβαι ἀντὶ τοῦ ἡβῶσαι καὶ ἀκμάζουσαι.*

Vet. [*Καὶ*] *αὖαι, ἤγουν ξηραί·* (*γράφεται*) *καὶ ἆξαι. ἐν τοῖς ἀγγείοις γὰρ ἐπειδάν τι καταλειφθῇ ξηρανθέν,* [*ἐξάλλεται· ἢ τὸ καταλειφθὲν ἐν τοῖς ἀγγείοις*] *ἆζα λέγεται.* [*γράφεται καὶ ἐντὶ γὰρ αὖται· καὶ λέγει ἀντὶ τοῦ μόναι.*]

Vs. 110. 111.

Vet. *Τοὶ τέττιγες ὁρῆτε τὸν αἰπόλον: οὕτω φησίν· ὡς ὁρᾶτε τὸν αἰπόλον παρερεθίζοντά με εἰς ἅμιλλαν, οὕτω καὶ ὑμεῖς ἐρεθίζετε* [*ἤγουν διεγείρετε τοὺς καλαμευτάς, ἀντὶ τοῦ*] *τοὺς θεριστὰς εἰς ἐργασίαν* [*ᾄδοντες δηλονότι*].

Rec. (*Οὕτω καὶ ὑμεῖς, ᾄδοντες δηλονότι, διεγείρετε τοὺς*

108) *Τὸν ἡμέτερον ἀντὶ τοῦ τὸν ἐμόν.* C. E. M. P. Lips.

109) *Βλάψητε.* M. P. Lips. — [*Ἀμπέλος:*] *διὰ τὸ μέτρον ἐξεβλήθη τὸ ν.* M. — [*Αὖαι:*] *πέπειροι, τουτέστιν ὥριμοι καὶ ὅσον εἰκὸς θερμανθεῖσαι τῷ ἡλίῳ.* 5. *πέπειροι, ὥριμοι, ἕτοιμοι πρὸς τὴν τρυγήν.* L. — [*Ἄβαι:*] *ἡλικίαι.* P.

110) *Τὸν Κομάταν.* M. — *Διεγείρω πρὸς ᾠδήν.* M. *διεγείρω.* Lips.

111) *Δήν.* K. — [*Καλαμευτάς:*] *τοὺς θεριστάς, τοὺς τὴν τοῦ σίτου καλάμην κόπτοντας.* M. *ζωΰφιά τινα, ἅτινα φθείρουσι τὸν καρπὸν τοῦ σίτου καὶ τῆς ἐλαίας καὶ ἄλλους τινὰς καρπούς.* K.

---

1) *ἀπελαύνειν*] 5. (?) P. Lips., *ἐλαύνειν* vulg. 2) *καὶ ἐπὶ*] 2. 5. (?) 6. 7. 23. Gen.[a] Lips., *ἐπὶ* vulg. 6) *τίθενται*] Adert., *τίθεται* cod. 8) //* Lips. *ἀντὶ τ. ἡβ. καὶ ἀκμ.* Circumscripta sunt Calliergi, qui ex SchVet. et SchRec. unum scholium consarcinavit. 11) //Gen.[b] c. lemm. *ἐντὶ γὰρ αὖαι,* omissis *καὶ* et *ἤγουν.* 11) *γράφεται*] add. Gen.[b], ubi *ἆξαι.* 12) *ἐξάλεται* reliquis omissis Gen.[b] Et *ἐξάλλεται* ex *ἆζα λέγεται* corruptum esse verbisque *ἢ τὸ* seqq. priorum correctionem contineri Geelius intellexerat. 14) *αὖται* ante Heins. 16) // Gen.[b] sine *τοὶ τέττ.* 17) *παρεθίζοντα* Gen.[b] et ante Heins. 18) Circumscripta om. Gen.[b], quae ex SchRec. assumpta sunt.

θεριστάς. *1. *2. Lips.) — *Τὸ δὲ θὴν ἀντὶ τοῦ ἐπιπολύ, ἢ ἀντὶ τοῦ δή.*

Vs. 112.

Rec. *Μισέω τὰς δασικέρκος ἀλώπεκας: τὰς ἐχούσας δασείας τὰς οὐράς, αἵτινες* (*εἰς τὰς τοῦ Μίκωνος ἀμπέλους* *Y. Gen.[a] Lips.) *παραγενόμεναι κατὰ τὰ πρὸς ἑσπέραν ῥαγολογοῦσιν αὐτὰς* (*ἤγουν τὰς ῥᾶγας τῶν βοτρύων ἐσθίουσι.* M. Gen.[a])

Vet. (*Τὰς δασυκέρκους:* Gen.[b]) *τὰς ἐχούσας οὐρὰς πολυτρίχους, πλήρεις τριχῶν· κέρκος γὰρ ἡ οὐρά.* — *Ῥαγίζοντι: ἀντὶ τοῦ τὰς ῥᾶγας ἀναλέγουσι.* (*ἢ οὕτως ῥᾶγας Ἀττικῶς διὰ τοῦ α, ἢ ⟨ῥῶγας.⟩* Gen.[b]). *δι᾽ ἀλληγορίας ὁ Κομάτας φησίν, ὅτι ὁ Λάκων ἐν τοῖς Μίκωνος [ἀμπέλοις δηλονότι, ἀεὶ παραγενόμενος κατὰ τὰ πρὸς ἑσπέραν ἢ καὶ] κατὰ πᾶσαν ἑσπέραν [ῥαγολογεῖ αὐτάς, ἀντὶ τοῦ] πορευόμενος περαίνεται.* — (*Ῥαγίζοντι: τὰς ῥᾶγας ἀποτρώγουσι.* Gen.[b]) — *Ἄλλως.* (*Μισέω τὰς δασυκέρκος:* Gen.[b]) *τινὲς οὕτω κατὰ τὸ ἔσω νοούμενον λέγουσι· μισῶ τοὺς ἄνδρας τοὺς ἐνήλικας καὶ δασυπύγους, οἳ φοιτῶντες διὰ τῆς νυκτὸς τὰ τοῦ Μίκωνος ῥαγίζοντι, ἤγουν [ῥαγολογοῦσιν,] ἐσθίουσι, δηλονότι ὑπ᾽ αὐτοῦ βινούμενοι. ἀλώπηξι δὲ εἴκασε τοὺς τοιούτους ὡς*

112) [*Δασυκέρκος:*] *διὰ τὸ μέτρον ἐξεβλήθη τὸ υ.* M. — [*Τὰ Μίκωνος:*] *ἀμπελόφυτον τόπον, τὰς ἀμπέλους.* 5. *τὰ ἀμπελόφυτα τοῦ Μίκωνος.* L. *τὰ κτήματα, ἤγουν τὰς ἀμπέλους.* M. *εἰς τὰς τοῦ Μίκωνος ἀμπέλους.* Y.

---

1) //*Lips. *δή.* 4) //Gen.[a] hujus scholii duas partes habet novis lemmatis instructas: 1) *αἳ τὰ Μίκωνος: εἰς τὰς τ. Μ. ἀμπέλους καὶ κτήματα,* 2) *ῥαγίζοντι: ῥωγολογοῦσιν* seqq. *Lips. *τὰς ἐχούσας οὐρὰς δασείας — εἰς τὰ τοῦ Μήκωνος — παραγενόμεναι ... αὐτάς.* Calliergus his quaedam ex SchVet. petita interseruit, quae separavimus, vid. infra. 5) *εἰς τὰ τοῦ Μήκ.* sine *ἀμπέλους* Lips., *καὶ κτήματα* addit Gen.[a] 6) *τὰ κατὰ πρὸς* Lips. 7) *ῥάγας* M., *ῥόγας* Gen.[a] 7) *σιτῶν* pro *τῶν* Gen.[a] 9) //Gen.[b] Hoc schol. vulgo post *οὐράς* l. 5. insertum; *τὰς πολ. τὰς ἐχ. οὐρὰς* Gen.[b] 10) //Gen.[b] — *ῥαγίζοντι .... ἀναλ.* vulg. post *ἑσπέραν* l. 6. leguntur, *ῥαγίζοντι ἀντὶ τοῦ* om. Gen.[b], in quo *τὰς ῥάγας* tanquam lemma scriptum. 11) *ῥάγας* Gen.[b] vulg., et item in seqq. 11) *ἀναλέγοντι* Gen.[b] 11) *ἢ οὕτως*] *οὕτως ἢ* cod. 12) *Ἀττικῶς*] Adert., *αὐτῶς* cod. 12) *ἀλληγορικῶς* Gen.[b] 13) *φησὶν ὅτι ὁ Λ.* om. Gen.[b] 13) *τοῖς*] p., *ταῖ* Gen.[b], *ταῖς* vulg. 13) Circumscripta desunt in p. Gen.[b], ex SchRec. petita. 14) *ἢ καὶ κ. π. ἑ.* om. Kiessl. seqq., *παρὰ* pro *κατὰ* p. 15) *πορευόμενος περαίνεται*] p., *πορευόμεναι* Gen.[b], *πορνεύει ἢ πορνεύεται* vulg. 16) *ῥαγίζοντες* cod. 17) //Gen.[b] post scholia ad Vs. 117. 20) *ῥαγολ.* om. P. Gen.[b] 21) *ὑπ᾽ αὐτῶν* Gen.[b] 21) *δὲ* om. Gen.[b] 21) *τοὺς τοιούτους*] L. P. Gen.[b], *τούτους* vulg.

πανούργους καὶ δολερούς. — (*Γράφεται δὲ Μίκων τὸ μι ἰῶτα.* Gen.[b])

Rec. (*Μισέω τὰς δασυκέρκος: κατὰ τὸ νοούμενον· μισῶ τοὺς πολυτρίχους ἄνδρας, οἵτινες ἐσθίουσι τὰ ⟨τοῦ Μίκωνος, δηλονότι⟩ ὑπ' αὐτοῦ βινούμενοι.* Gen.[a]) — (*Μίκων ὄνομα κύριον διὰ τοῦ ι· μήκων δὲ εἶδος φυτοῦ καὶ ὄνομα νήσου διὰ τοῦ η.* E. N.)

Vs. 114. 115.

Vet. Καὶ γὰρ ἐγὼ μισῶ τοὺς κανθάρως: καὶ ὁ ἕτερος ἐπὶ τῆς αὐτῆς ἐννοίας [ἀλληγορεῖ] ἐμφαίνων τοὺς περαίνοντας [καὶ πορνεύοντας] τὸν Κομάταν αὐτὸν κατὰ τὴν συκάδα φησίν.

Vs. 116. 117.

Rec. (*Σεσαρώς: χάσκων, γελῶν, εὐφραινόμενος. τοῦτο τοῖς συνουσιαζομένοις ⟨ἴδιον⟩· πλέον γὰρ ἡδύνονται ἢ λυποῦνται πάσχοντες.* Gen.[a]) — *Οὐ μέμνασ', ὅτ' ἐγὼ κατήλασα: οὐ μέμνησαι, ὅτε ἐγώ σε ἐπέραινον, καὶ σὺ γελῶν ἐκινοῦ προσερχόμενος καὶ οὐκ ἀποφεύγων — τοῦτο γὰρ δύναται ἡ πρὸς — σὺ δὲ ἐλαμβάνου καὶ ἥπτου ἐκείνης τῆς δρυός.* — (*ΠΟΤΕΚΙΓΚΛΙΖΕΥ: ἤγουν ἐλυγίζου καὶ τὴν ὀσφῦν ἔστρεφες πρὸς ἐμέ.* E. N.)

113) *Τρώγουσι ῥάγας.* C. *τὰ ὄσπρια ἢ τὰς ἀμπέλους φθείρουσι.* K.
114) [*Γάρ:*] *δή.* M. *δέ.* Lips. — [*Κανθάρος:*] *ὅμοιον γέγονε κἀνταῦθα εἰς τὸ υ.* M.
115) *Ὑπὸ τοῦ ἀνέμου.* L. *ὑπαέριοι.* 5. *ἐναέριοι.* C. M. Lips. *ἀέριοι.* Vim. — [*Φορέονται:*] *γράφεται καὶ ποτέονται. φέρονται.* *I.
116) *Πρὸς τὸν Λάκωνα.* L. — *Ἐπέρανα, ἤλαυνον, ἤγουν συνουσιαζόμην σοι.* M. *ἀσέλγειαν σημαίνει ἡ λέξις.* E.

---

1) Haec in cod. post *βινούμενοι* p. 211. 21. inserta leguntur. 3) Schol. in cod. legitur post scholia ad Vs. 107. 4) *βινούμενοι ἐσθίουσι τὰ ὑπ' αὐτῶν* cod., *ἐσθ. βιν. ὑπ' αὐτοῦ* Adert. 6) *διὰ τοῦ* bis om. E. teste Bastio ad Gregor. p. 34. 9) //Gen.[b] sine lemmate. 10) *ἐννοίας ἐμφ. τ. παρένοντας αὐτὸν* Gen.[b] 11) *συκάδα*] 5. L. Gen.[b], *συκώδη* vulg. 12) *φησίν* Gen.[b], *φύσιν* vulg. — In Z. legitur glossa Suidae debita: *κάνθαρός ἐστι ζῶον, οὗ θῆλυς οὐχ εὑρίσκεται.* 15) *λυπ. πάσχ.*] cod. secundum numeros in apographo superpositos; *πάσχ. λυπ.*, ut ibi scriptum fuerat, edidit Adertus. 16) //Gen.[a] primis omissis *εὖ ποτὲ κιγκλίζου, ἐκίνου* seqq., *Lips. *σε ἐπέραινον — γελῶν .... δύναται τὸ — ἐλαμβάνου.* 18) *ἐντὸς εἰσήρχου* post *ἐκινοῦ* P. 18) *προσερχόμενος*] Gen.[a] Lips. *M. vulg., *προσδεχόμενος* P., *προσεχόμενος* Kiessl. auctore Toupio.

Vet. Ἄλλως. (Ὅτ' ἐγώ τοι κατήλασα: Gen.[b.]) τὰς προειρημένας ἐμφάσεις διὰ τούτου βεβαιοῖ λέγων· ἦ οὐ μέμνησαι, ὅτε σε ἐπέραινον κατ' ἐκείνην τὴν δρῦν, σὺ δὲ σεσηρὼς καὶ γελῶν ἀντεκινοῦ καὶ ἐσαλεύου; [γράφεται τὸ σεσαρὼς ἔν τισι καὶ σιγηρῶς.] — Εὖ ποτε κιγχλίζευ: κιγκλίζειν λέγεται τὸ σαλεύεσθαι καὶ κινεῖσθαι. εἴρηται δὲ μεταφορικῶς ἀπὸ τῆς ἐν τῇ θύρᾳ κιγκλίδος. ἔστι δὲ κόραξ σιδηροῦς ἐμπίπτων εἰς τὸ μέσον καὶ ὑποκροτῶν τὴν θύραν. — Ἄλλως. Ποτε κικλίζευ: προσεδονοῦ ἀπὸ μεταφορᾶς τοῦ κίγκλου, οὕτω καλουμένου ὀρνέου, ὃν ἔνιοι σεισοπυγίδα καλοῦσιν, ἀφ' οὗ ἡ λέξις μετήνεκται. κιγκλίζειν δὲ τὸ τὴν ὀσφῦν κινεῖν φασιν. ὥσπερ δὲ παρὰ τὸ γνῶ γίγνω, οὕτω καὶ παρὰ τὸ κλῶ κίγκλω καὶ κίγκλος.

Vs. 118. 119.

Vet. Τοῦτο μὲν οὐ μέμναμ', ὅκκα μὰν τῆδέ τυ: [— γράφεται καὶ τεῖν δέ τυ —] τοῦτο μὲν οὐ μέμνημαι· ὅτε δὲ Εὐμάρας, ὁ σὸς δεσπότης, δεσμεύσας σε ἐμαστίγωσεν, ἀκριβῶς ἐπίσταμαι. — Ἤ· (Εὐμάρας ἐκάθηρε: Gen.[b.]) περὶ οὗ μοι εἶπας, οὐ μέμνημαι· τοῦτο δὲ γινώσκω, ὅτι ὁ

117) *Κιγκλίδος δίκην ἐλυγίζου προσερχόμενος.* M. *ἐκινοῦ αἰσχρῶς.* Vim.

119) *Ἐπαίδευσεν, ἐμαστίγωσεν.* 3. *ἔτυψε.* L. *ἀντὶ τοῦ ἐμόλυνε.* M. Lips. *κατ' ἀντίφρασιν.* K. *καὶ ἐνταῦθα ἡ λέξις ἀσέλγειαν ἐμφαίνει.* E.

---

1) //Gen.[b.] 2) *δι' αὐτοῦ* Gen.[b.] 2) *ἦ οὐ*] Gen.[b.], *οὐ* vulg. 3) *κατ' ἐκείνην* seqq. desunt in Gen.[b.] 3) *σεσηρὼς*] L., *σεσαρὼς* vulg. 4) *καὶ γελῶν* om. L. 4) *ἀντεκινοῦ*] *κατεκινοῦ* vulg., *κατεκίνου* vulg., *μετεκινοῦ* p., *ἐλογίζου* L. (i. e. *ἐλυγίζου* indicante Duebnero). Sequentia om. L. 5) //Gen.[b.] hoc initio: *κιγκλίζευ: τοῦτο μὲν μεταφ. εἴρ. τῆς ἐν*, prioribus omissis. 6) *κιχλίζειν* Call., *κιγχλίζειν* Bas. II. et ante Xyl. 8) *ὑποκροτῶν*] Salvinius (praeeunte Brodaeo ad Anth. II, c. 13, qui *κροτῶν*), *ὑποκρατῶν* vulg., *ἀποκρατῶν* Gen.[b.], ubi desunt *τὴν θύραν*, *ἀποκαρατομῶν* L., *ἐπικροτῶν* Geelius. 9) //Gen.[b.], ubi *ἄλλως. κιγκλίζευ.* — *προσεδονοῦ*] L. Gen.[b.], *προσεδόνου* p. 3. 5., *προσεδινοῦ* ante Heins., *προσεδίνου* Can. Vulc., *προσεκινοῦ* vulg. 9) *μεταφορᾶς* om. Gen.[b.] 10) *ὀρνέου ὃν*] add. 3. 5., *ὀρνέου ὃ νῦν* sine *ἔνιοι* 3. 5. altero loco. 9. (hic teste Bastio Ep. Crit. p. 36) L. P.[2.] Can. Gen.[b.] Vulc. 10) *σεισοπύγιν* P.[2.] Can., *σεισοπύγην* L. Vulc., *σεισοπυγὴν* Gen.[b.], *σεισιπύγην* 9. In P. Duebnerus haec non vidit. 11) Gregor. 96. *τὸ κιγκλίζειν* (codd. *κιχλ.*, *κιγχλ.*, *κικλ.*) *ἐπὶ τοῦ κινεῖν τὴν ὀσφύν. ὥσπερ γὰρ κτλ.* 12) *ὀσφὺν* Kiessl. 12) *φασιν* om. Gen.[b.] 13) *κίγκλω*] Gen.[b.] Greg., *κίγλω* L. Can., *κίκλω* vulg. et Gregorii cod. Aug. (hic *κιχλῶ* ap. Tittm.) — *καὶ κ.* om. Greg. 15) //Om. L. P. Gen.[a. b.] Lips. 17) *δεσμήσας* 3. — *σε*] add. 3. ut conj. Toupius. 18) //L. P. Gen.[b.] 19) *με* pro *μοι* Gen.[b.]

δεσπότης σου δήσας σε ἐπύγιξεν, ἐμόλυνεν, ὅπερ δηλοῖ τὸ ἐκάθηρε. ἢ ἐκάθηρε ἀντὶ τοῦ ἔτυπτε καὶ ἐξέδερε· καὶ Ἀριστοφάνης·

σποδῶν
τὰς πλευρὰς ἐκάθηρεν.

Vs. 120.

Rec. Οὐχὶ παρῄσθεν: οὐκ ἐνόησας; οὐ κατά τι (καὶ σὺ 1. Lips.) ᾐσθάνθης; — Ἤδη τις Μόρσων πικραίνεται: ὦ Μόρσων, ἀπὸ τοῦ νῦν τις δάκνεται, λυπεῖται, πικρίαν ἔχει, νικώμενος ὑφ' ἡμῶν.

Vs. 121.

Vet. Σκίλλας ἰὼν γραίας: σκίλλα εἶδος βοτάνης πάντη ἀχρήστου. γραίας δὲ τὰς γεγηρακυίας καὶ ξηράς. ὁ λόγος πάλιν πρὸς τὸν Λάκωνα. ἄξιος εἶ, φησί, μᾶλλον ἀπελθεῖν εἰς τὰ μνημεῖα καὶ τὰς γεγραιωμένας καὶ παλαιὰς καὶ ξηρὰς σκίλλας τίλλειν ἤπερ ἐμοὶ ἐρίζειν. αὗται γὰρ παντελῶς ἄχρηστοί εἰσι· καλοῦνται δὲ σκιλλοκρόμμυα. — Ἢ τοῦτό φησι κατὰ τὸ ἔσω νοούμενον· ἀπελθὼν τίλλε, φησί, τὰς παλαιὰς τρίχας τοῦ τάφου σου, ἤγουν τῆς πυγῆς σου. τὸ τίλλοις γράφεται καὶ τίλλειν ἀντὶ τοῦ τίλλε καὶ κόπτε.

Rec. (Εἶτα στραφεὶς πρὸς τὸν Λάκωνά φησιν· ἰὼν καὶ E. ἀπελθὼν τάχιστα σκίλλας παλαιὰς ἀπὸ μνήματος ἀνάσπα. ἔστι δὲ σκίλλα τὸ κοινῶς σκιλλοκρόμμυον. 1. 2. 6. E. Lips.)

120) Οὐχὶ αἰσθάνῃ καὶ σύ; 5.

121) Παροιμία. *Y. Lips. φυτὸν λυσσῶδες. 5. — Ὄρους ἢ μνήματος. M. — [Τίλλειν:] τίλλε. 5. [Τίλλοις:] γράφε τίλλειν. 2. γράφεται καὶ τίλλειν. Lips. κόπτοις ἄν, ἵνα ταύταις τὴν πικρίαν θεραπεύσῃς. K. M.

---

1) ἐμόλυνεν om. Gen.[b] 2) ἐκάθηρε] Gen.[b] -εν vulg. 2) ἢ ἐκάθηρε] Gen.[b], ἢ ἐκάθηρεν L P., om. vulg. 2) ἐξέδερε] L., ἐξέδαιρε vulg., ἐξέδαρε Gen.[b], ἐξέδειρε Reisk. seqq. 4) σποδῶν] πέδει vulg., ἐσπόδει Jacobs. 5) ἐκάθηρεν] 5. P., καὶ ἐκ. vulg. 7) //*Lips. οὐ κατὰ ... ᾐσθ. 8) ἠστάνθης 1., ᾐσθανάθης 2. 8) //*Lips. ἀπὸ τοῦ νῦν et δάκνεται. 12) //Gen.[b] omissis σκίλλα ... ξηράς. 15) γεγραμμένας P. et, ut videtur, L. 16) ἢ παρ' ἐμοὶ P. 17) σκυλοκρόμυα Gen.[b], σκυλοκρόμυδα P. 17) //Om. Gen.[a.b.] Lips. 21) Schol. ex E. tantum usque ad ἀπελθὼν affertur. In Gen.[a] post schol. Vs. 112, quod supra legitur pag. 212. 3., extant ultima σκίλλα τὸ κ. σκ. 23) σκιλλοκρόμιον Lips.

Vs. 122.

Rec. (Κνίζειν κυρίως τὸ ἐρωτικῶς λυπεῖν· ἐνταῦθα δὲ ἀντὶ τοῦ ἁπλῶς λυπεῖν λαμβάνεται. E. N.)

Vs. 123.

Vet. Ἐλθὼν τὰν κυκλάμινον: ἡ κυκλάμινος βοτάνιόν ἐστι ποιῶδες, λεπτόρριζον, ὅπερ χλιανθὲν ποιεῖ πρὸς χίμετλα. — (Καὶ ἡ κυκλάμινος βοτάνη ἐστὶ παντελῶς ἄχρηστος. 3.)

Rec. Εἰς τὸν Ἀλέντα: ποταμὸς οὗτος ἐν Ἰταλίᾳ. ἐλέγετο οὕτω καὶ τόπος τις ἐν Κῷ. — (Κυκλάμινον: ἄχρηστον βότανον. Gen.[a])

Vs. 124.

Rec. Ἱμέρα ἀνθ' ὕδατος: Ἱμέρα πόλις ἐν Σικελίᾳ καὶ πηγή, ἀφ' ἧς ῥεῖ ποταμὸς ὁμωνύμως τῇ πηγῇ καλούμενος. ἐνταῦθα δὲ τὸν ποταμὸν λέγει. — Καὶ Κρᾶθι: ποταμὸς καὶ οὗτος περὶ τὴν Σύβαριν.

Vet. (Ἱμέρα: πηγὴ Ἰταλίας. 3.)

Vs. 125.

Rec. Οἴνῳ πορφύροις: [βλύζοις·] ὑπὸ οἴνου εἴθε πορφυροῦς εἴης, τουτέστιν εἰς οἶνον εἴθε μεταβληθείης. —

Vet. Τὰ δέ τοι σία: βοτάνη τίς ἐστιν (ἄκαρπος. καὶ Ὅμηρος·

ἀμφὶ δὲ λειμῶνος μαλακοῦ σία.

122) Τιτρώσκω, λυπῶ, καθάπτομαι. 5. λυπῶ. Lips.

123) Τὴν κοινῶς λεγομένην καλαμίθραν. P. βοτάνη λεπτόρριζος. L. — Ανόρυττε, νάγε. M. ἀνόρυττε. Lips. ἀνώρυττεν (?). P. — Ὄνομα ποταμοῦ. ἵνα καὶ σὺ τὴν λύπην θεραπεύσῃς. M.

---

5) //Gen.[b] omissis ἐλθὼν τὰν — ἡ κυκλ. — ἐστι ποιῶδες. 5) βότανόν ante Heins., βοτάνη Gen.[b] 6) χλιανθὲν] 3. Gen.[b], χλιασθὲν vulg., χλισθὲν L. 9) //Gen.[a] Lips., ille cum falso lemmate Κράτις. 9) Σικελίᾳ 2.[1] 23. Lips. In 2.[1] sequuntur λέγεται ποταμὸς καὶ οὗτος περὶ τὴν Σύβαριν, quae ad Vs. 124 pertinent. 13) //Gen.[a] *Lips. 15) δὲ om. Lips. 15) //Lips. in marg., sed signo ad locum s. l. revocatum. 16) παρὰ M. 16) τὴν] add. M. Lips. et 2.[2] (vid. supra.) 19) //Gen.[a] *Lips. 19) βλύζοις om. Gen.[a] Lips. Recte ibidem et ante Reisk., qui primus post οἴνου puncto distinxit, junguntur ὑπὸ οἴνου εἴθε κτλ. 19) εἴθε] Gen.[a] Lips. vulg. et ante ὑπὸ Y., εἴτε Kiessl. 20) εἴθε μετ.] Y. Gen.[a] Lips., εἴθε om. vulg. 21) //Om. Gen.[a.b.] Lips. — σία: βοτ. τ. ἐ. p. 3. 23) *Hom. Od.* E, 72, ubi λειμῶνες μαλακοὶ ἴου.

τὸ γὰρ ἴον ἐν τοῖς λειμῶσιν οὐ πέφυκε γίνεσθαι, ἀλλὰ τὸ σίον. p. 3.) ἢ ἀνθύλλια ὅμοια σελίνῳ, ἐν τοῖς ποταμοῖς τρεφόμενα· κατὰ δέ τινας τὰ πρὸς τοῖς ποταμοῖς φυόμενα βροῦλα. — (Τάδ' ἔτ' οἰσία: ἀνθύλλια εἰσὶ παντελῶς ἄκαρπα, πρὸς τοῖς ποταμοῖς φυόμενα, L. Gen.[b] Vulc. τὰ καλούμενα κοινῶς βροῦλα. Vulc.)

Vs. 126.

Rec. Χ'ἁ Συβαρῖτις ἐμίν: πηγὴ ἐν Σικελίᾳ. τὸ δὲ ἐμὶν ἀντὶ τοῦ χάριν ἐμοῦ. — Καὶ τὸ ποτ' ὄρθρον: καὶ κατὰ τὸ πρὸς ὄρθρον. μετὰ τῆς πρὸς [προθέσεως] λέγεται διὰ τὴν τοῦ χρόνου κίνησιν.

Vs. 127.

Rec. Τὰν κάλπιδα κηρία βάψαι: [— γράφεται καὶ τᾷ κάλπιδι —] ἤγουν τὴν ὑδρίαν εἰς κηρόμελι καταδῦσαι. ἢ ἀντὶ τοῦ τὴν ξύλινον ὑδρίαν ἐν τοῖς κηρίοις βάψαι.

Vet. (Κάλπιδι: κάλπις ἡ ξύλινος ὑδρία. p.) καὶ ἡ ἐμή, φησίν, ἐρωμένη τῇ ὑδρίᾳ τὸ ῥέον ἀπὸ τῆς κρήνης μέλι ἀντλήσοι.

Vs. 128. 129.

Vet. Κύτισόν τε: κύτισος, αἴγιλος καὶ σχῖνος θάμνοι εἰσίν, οὓς ἐπινέμονται αἱ αἶγες.

Rec. Ἐν κομάροισι κέονται: κόμαρος εἶδος δένδρου.

125) Ἐρυθραίνοιο. K. M. κεκραμένος εἴης. L. — Περισσὸς ὁ τοι. M. Y. Lips. — [Σία:] βοτάνη ἄκαρπος. M. πόαι. P. [Οἴσια:] ὁ θάμνος. L.

126) [Συβαρίτας:] ποταμὸς Ἰταλίας περὶ τὸ Θούριον. L. [Συβαρῖτις:] κρήνη τοῦ Συβαρίτου. K.

127) Ἡ δούλη. 1. 2. 7. K. M. P. Lips. ἡ Καλλιόπη. E. — Ἀγγεῖον ὑδροφόρον. 5. E. — Εἰς κηρόμελι. P. ἐν κηρίῳ. N. — Βάψασα πληρώσαι. M. ἐμβαλεῖν. P.

129) Ἀντὶ τοῦ κλάδους σχίνου. E. M. P. Y. Lips. — Κλάδοις κομάρου. E. M. P. Lips.

---

4) τὰ δ' οἴσια L. Vulc. 4) ἀνθύλλια om. Vulc. 4) πρὸς τ. π. φ. ex Vulc. non afferuntur. 8) //*Lips. πηγὴ ἐν Σ. et χάριν ἐμοῦ. 9) //Gen.[a] *Lips. — καὶ om. Gen.[a] Lips. 10) προθ. om. Gen.[a] Lips. 11) διὰ τὴν] I. M. Gen.[a] Lips. vulg., τὴν διὰ Reisk. seqq. 13) //*Lips. τὴν ὑδρ. εἰς κ. κατ. 16) καλπὶς et ξυλινὸς cod. — //Om. Gen.[a.b.] Lips. 20) //Gen.[b], ubi lemmate omisso κύτιλος αἰγ. σχίνος. 22) //*Lips. κεῖνται. — 23) ἐρυθραίνοις K. 30) πληρῶσαι cod. 31) κλάδους κομαρέας. P.

κέονται δὲ ἀντὶ τοῦ κεῖνται, καθέζονται. — (*Καὶ σχῖνον πατέοντι καὶ ἐν κομάροισι*: εἴδη δένδρων ὁ σχῖνος καὶ ἡ κόμαρος. Y. Gen.[a] Lips.)

Vs. 130.

Vet. *Μελίτεια*: εἶδος βοτάνης γλυκαζούσης. — (*Μελίτεια*: εἶδος βοτάνης οὕτως ὀνομαζομένης, ὅτι γλυκώδης. Gen.[b])

Vs. 131.

Vet. *Καὶ ὡς ῥόδα κισσὸς ἐπανθεῖ*: κισθός ἐστιν εἶδος βοτάνης ἀνθώδους ἐοικυίας ῥόδοις. (Ἀττικοὶ βαρύνουσιν, ἡμεῖς ὁμοτόνως τῷ κισσῷ. Gen.[a]) ἐν ἑτέροις δὲ *ῥοδάκισσος* γράφεται, ἓν μέρος λόγου. ἔστι δὲ καὶ αὕτη τῶν θάμνων, γλυκῶδες ἄνθος προϊεμένη· περὶ τὰ γόνατα δὲ τῶν τράγων καὶ τὸν πώγωνα πήσσεται.

Vs. 133.

Rec. (*Λαβοῦσά με* ἀπὸ τῶν ὤτων καὶ πρὸς ἑαυτὴν κλίνασα. *1. *2. *6. *8. M. N. *Lips. Stop.)

Vs. 134.

Rec. *Ἀλλ' ἐγὼ Εὐμήδευς*: ἀντὶ τοῦ Εὐμήδους. ἕτερος οὗτος, ὡς ἔοικεν, ἐρώμενος αὐτοῦ.

Vs. 135.

Rec. *Ὤρεξα*: (ἔδωκα. Lips.) ὀρέγω τὸ ἐκτείνω. ἐπεὶ δέ,

130) Προβατίναις. P. — Βοτάνη τις μενιτεινὴ λεγομένη. K. ἥν φασι μελίταν. E.
131) Ἐξανθεῖ. M. P. Lips.
132) Πρώην, πρὸ ὀλίγου. K. M. Lips.

5) //Om. Gen.[a.b.] Lips. — γλυκαζούσης] γλυκυζ. ante Xyl., γλυκιζ. vulg. 6) ὅτι] ἔστι δὲ cod., ὅτι γλ. ἐστὶ Adert. 9) //Hujus scholii in Gen.[b.] nihil extat praeter lemma πολλός τε καὶ ὡς ῥοδὸν κίσσος τὸ ῥόδον ἐπανθεῖ et ultima παρὰ τὸν πώγ. τῶν τρ. καὶ τὰ γόν. πησσούμενα. In Gen.[a.] sine lemmate leguntur prima ante ἐν ἑτέροις. 9) κισθὸς] κισσὸς Gen.[a.] vulg. 10) ἀνθώδους] Salmasius Hyl. Iatr. c. 7. p. 8, ἀκανθώδους vulg., ἀνθηφόνου Gen.[a.] (ἀνθηφόρου Adertus tac.) 10) ἐοικὼς τοῖς ῥ. Gen.[a.] 16) Haec Wartonus ex Vatt. (1. 8. teste Gaisf.) inter scholia posuit, idem ex 1. 2. 6. 8. inter glossas. — λαμβάνουσα et ἐπικλίνουσα Stop., σε pro ἑαυτὴν Wart. in Scholl. 19) //* Lips. 20) αὐτῷ Kiessl., om. Lips. 22) //Gen.[a] Lips.

ὃ δίδωσί τις, ὀρέγων τὴν χεῖρα δίδωσιν, ὤρεξα λέγει ἀντὶ τοῦ ἔδωκα.

Vs. 136. 137.

Rec. Ἐσσὶ φιλεχθής: εἰς ἔχθος καὶ μῖσος τοὺς φίλους ἄγων ἢ φιλόνεικος.

Vet. Κίσσας ἐρίζειν: κίσσα εἶδος ὀρνέου ἀμούσου, ἐπιθυμητικοῦ, ποικίλου. ὅθεν ἐπὶ τῶν γυναικῶν τὸ κισσᾶν τὸ συλλαμβάνειν, παρόσον ἐγκυμονοῦσαι ἀηδίζονται πρὸς τὰ ποιά.

Rec. Ὁ νοῦς· ὥσπερ οὐ πρέπον ὑπάρχει πρὸς ἀηδόνα κίσσας φιλονεικεῖν οὐδ' ἔποπας πρὸς κύκνους, οὕτως οὐδὲ σὲ πρὸς ἐμέ. σὺ δὲ ταλαίπωρε ἔοικας φιλόνεικός τις καὶ δύσερις εἶναι. — (Ὥσπερ οὐ δίκαιον τὰ ἀμουσότατα πρὸς τὰ ἔμμουσα ἐρίζειν, οὕτως οὐδὲ σὲ πρὸς τοῦτον· ἄμουσος γὰρ εἶ. 6.) — (Οὐδ' ἔποπας κύκνοισι: οὐδὲ τοὺς ἔποπας, [ἤγουν τοὺς κουροπετείνους,] πρέπον ἐστὶν ἐρίζειν τοῖς κύκνοις. *P. *Y. Gen.[a] *Lips.)

Vs. 138—140.

Rec. Τὶν δὲ Κομάτα δωρεῖται Μόρσων: σοὶ δὲ Κομάτα τῷ νικήσαντι δίδωμι τὸ ἔπαθλον· καὶ σὺ δὲ θύσας, αὐτὴν δηλονότι τὴν ἀμνίδα, ταῖς Νύμφαις, καλὸν κρέας ἐμοὶ τῷ Μόρσωνι εὐθὺς πέμψον.

136) *Πρέπον.* 1. 2. 6. Lips. *δίκαιον.* M. P. — *Ἔριν ὑπὲρ νίκης ἢ ἰσότητος ποιεῖσθαι.* M. N. P. Y. Lips.

137) *Τοὺς κούκους.* L. *τοὺς λεγομένους κουροπετεινούς.* M. *τὰ κοινῶς κωλοπετηνάρια.* K. — *Δυσχερής.* Vim.

139) *Σφάξας καὶ καύσας αὐτήν.* P.

140) *Ταῖς Μούσαις.* P. — *Ἱκανόν.* M. P. Lips.

---

4) //*Lips. φιλόνεικος. 6) //Gen.[b] post schol. Vs. 147 οὗτος ὁ λευκίτας; lemma deest. 7) ποικίλου] μικλοῦ Gen.[b], μιμηλοῦ vulg. 7) τῶν] add. Gen.[b] 8) τὸ συλλαμβάνειν] προσλαμβάνειν 3., παραλαμβάνει 4. 5. Can. Gen.[b] et ante Ox. II, παραλαμβάνου vulg., παραλαμβάνεται Kiessl. seqq. 8) ἐγκυμονοῦσαι] αἱ γεννῶσαι L., μὴ γεννῶσαι vulg. 9) τὰ ποιὰ] τὸ ποιεῖν Gen.[b] vulg., τὸ οὕτω ποιεῖν Kiessl. seqq. 10) //Om. Gen.[a.b.] Lips., extat autem in L. s. l. sine ὁ νοῦς. 10) οὐ πρ. ὑπ.] L., ἀπρεπές ἐστι vulg. 10) πρὸς ἀηδόνα κίσσας] L., κίσσαν ἀηδόνος ante Heins., κίσσαν πρὸς ἀηδόνας vulg. 11) οὐδ'] L. et ante Heins., καὶ vulg. 11) οὕτως] L., οὕτω vulg. 11) οὐδὲ] L. et ante Brub. II, ubi δέ, tum καὶ Heins. vulg. 12) ἔοικε δὲ pro σὺ δὲ ταλ. ἔοικας L. 12) δυσέριστος L. 15) τὰς ἔπ. Lips. 15) ἤγ. τ. κουρ. om. P. Y. Lips. 16) ἐστὶ πρέπον P. Y. Lips. 16) κύκνοισι Lips. 19) //Om. Gen.[a.b.] Lips.

Vs. 141—143.

Rec. Φριμάσεο: τουτέστι μεθ' ἡδονῆς σκίρτα φυσῶσα τοῖς μυκτῆρσι καὶ ἐπαίρου, πᾶσα ἀγέλη τῶν τράγων. τὸ δὲ φριμάσσεο ἀπὸ τοῦ ἤχου τῶν αἰγῶν ὠνοματοπεποίηται· λέγεται δὲ τοῦτο καὶ ἐπὶ τῶν ἵππων. καλεῖται δὲ ὁ τρόπος ὀνοματοποιία.

Vet. Ἢ· φριμάσσεο: φριμαγμὸν ἀποδίδου μεθ' ἡδονῆς, τουτέστι βρενθύου καὶ ἐναβρύνου ὦ πᾶσα ἀγέλη. πεποιημένη δὲ ἡ λέξις. τοιοῦτος γὰρ δοκεῖ εἶναι ὁ ἦχος τοῦ πταρμοῦ τῶν αἰγῶν. — (Ἄλλως· L. Gen.[b]) οὐ κυρίως [δὲ] τῇ λέξει κέχρηται. φριμαγμὸς μὲν γάρ ἐστι [κυρίως ἡ] τῶν ἵππων, βληχὴ δὲ [ἡ] τῶν αἰγῶν καὶ προβάτων. (τῷ αὐτῷ ἁμαρτήματι περιπέπτωκε καὶ Εὔπολις ἐν Αἰξίν. 4. L.) — Κἠγὼ μὲν ἴδ' ὡς μέγα καχαξῶ: ἀντὶ τοῦ ἐγὼ σὺν ὑμῖν καταγελάσω τοῦ Λάκωνος.

Rec. (⟨Ὡς μέγα:⟩ ὡς μεγάλως καγχάσω. Lips.) τὸ δὲ καχαξῶ ἐκβολῇ τοῦ γ εἴρηται διὰ τὸ μέτρον.

Vs. 144. 145.

Rec. Ἀνυσάμαν: τελέσας τὴν νίκην ἔλαβον.

Vet. Ἐς οὐρανὸν ὔμμιν ἀλεῦμαι: ἐκ περιχαρίας, φησίν, ὦ αἶγες κερουχίδες, ἤγουν κερασφόροι, εἰς τὸν οὐρανὸν ἀναβήσομαι. — Κερουχίδες· αἱ κέρατα ἔχουσαι ἢ κε-

141) Σκίρτα, ἵστασο ἐν ἡσυχίᾳ. 5. ἐπὶ τῶν ἵππων τὸ φριμᾶσθαι· νῦν δὲ ἀντὶ τοῦ σκίρτα ἢ ἵστασο ἐν ἡσυχίᾳ. L. — Ἀντὶ τοῦ τῶν τράγων. *Y. Lips.
*142) Καγχάσω. K. M. P. Y. νῦν γελάσω τοῦ Λάκωνος. L.
143) [Πόκ' :] μόλις. K. M. P. Lips.
144) Σὺν ὑμῖν. M. P. Lips.

---

2) //*Lips. σκίρτα φ. τ. μυκτ. et ἀντὶ τοῦ τῶν τράγων. 4) φριμάσεο ante Xyl. 4) ὀνομ. ante Heins. 7) //Gen.[b] cum sch. seq. post schol. Vs. 145 κερουχίδες. — φριγμαδὸν ante Xyl., qui φριμαγδόν, quod correxit Heins., φριμαδμὸν 3. 7) μεθ'] Gen.[b], μετὰ vulg. 8) ἐναμβρύνου ante Heins., ἐναμβρίνου Gen.[b] 10) //L. Gen.[b] Scholium ante Reisk. post duo sequentia legebatur. — δὲ om. L. Gen.[b]. 11) μὲν om. Gen.[b] 11) κυρίως ἡ om. L. Gen.[b] 12) ἡ om. Gen.[b], ubi βοῶν pro τῶν αἰγῶν. 12) Haec in 4. Hypothesi Id. VI praeposita sunt (recto L.); quippe etiam in L Gen.[b] scholia de φριμάσσεο extremo loco leguntur. 13) //Om. Gen.[a. b.] Lips. 16) //*Lips. omissis τὸ δὲ et εἴρηται. 19) //*Lips. — τελέσας] add. M. P. Y. et post νίκην Lips. In P. Y. ἤνυσα praemissum. 20) //Om. Gen.[a. b.] Lips. 22) //Om. Gen.[a. b.] Lips.

κρατημέναι τοῖς κέρασιν. — (*Κερουχίδες: τρισσῶς γράφεται· κερουχίδες αἱ κεροφόροι,*) [*ἢ*] *κερουλίδες αἱ οὖλα κέρατα ἔχουσαι, κερουλκίδες* [*δὲ*] *αἱ ἀπὸ τῶν κεράτων ἑλκόμεναι.*

Vs. 147—150.

Vet. *Ὁ λευκίτας: ὁ λευκός. πεποίηται τὸ ὄνομα ἀπὸ τῆς λευκότητος τοῦ τράγου. ὡς γὰρ ἀπὸ τοῦ μέσος μεσίτης καὶ ὁδὸς ὁδίτης, οὕτω καὶ ἀπὸ τοῦ λευκὸς λευκίτης.* — *Ὁ κορυπτίλος: ὁ τοῖς κέρασι πλήττων ἀπὸ τοῦ κορύπτω τὸ κερατίζω. πρὸς τὸν τράγον δὲ τοῦτό φησιν ἐπιτρέχοντα ταῖς αἰξὶ καὶ τοῖς κέρασι τύπτοντα.* — (*Οὗτος ὁ λευκίτας: ἡ ἀπότασις τοῦ λόγου πρὸς τὸν τράγον ἐπιτρέχοντα ταῖς αἰξὶ καὶ τοῖς κέρασι τύπτοντα, μάχιμον. λευκίτας δὲ ὁ λευκὸς παραγωγῶς ὡς ἀπὸ τοῦ ὁδὸς ὁδίτης. κορυπτίλος δὲ ὁ κερατιστής, ἢ ὁ τοῖς κέρασι πλήττων.* L. Gen.[b.])

Rec. (*Κορυπτίλος: ὁ κερατιστὴς ἀπὸ τοῦ κορύπτω τὸ κερατίζω.* *P. Gen.[a.] *Lips.) — *Τὸ ἑξῆς· εἴ τινα ἀπὸ τῶν αἰγῶν ὀχεύσεις πρὶν ἢ ἐμὲ καλλιερῆσαι ταῖς Νύμφαις τὸν ἀμνόν,* [*ὃν ἐνίκησα τῷ Λάκωνι,*] *θλάσω σε* [*ἀντὶ τοῦ θλάσω σου τὰ αἰδοῖα*]. — *Ὁ δ' αὖ πάλιν: ἐπιχειρεῖ ὀχεύειν δηλονότι.*

Vet. (*Θλασῶ: ἐὰν τολμήσῃς ὀχεῦσαι πρὶν ἢ θῦσαί με*

145) *Χαίρετε.* M. P. Lips. — *Κερασφόροι.* Lips.

147) [*Κορυπτίλος:*] *ὁ μεγαλόκερως.* L. — *Βατεύσεις.* E. *ἐπιβῇς.* M.

148) [*Φλασῶ:*] *Δωρικῶς ἀντὶ τοῦ θλάσω.* L. *θλάσω.* Lips. *συντρίψω.* M. P. — *Θῦσαι.* E. M. Lips. *θυσιάσαι.* K. P.

---

1) //4. 5. L. P. Gen.[b.] et, ubi scholium similiter legi dicitur, Can. Vulc. In Gen.[b.] extat post schol. Vs. 147 *ὁ λευκίτης.* Supplementum ex illis codicibus accessit. — *κερούχιδες* bis Gen.[b.] 2) *κερωφόροι* L. Gen.[b.], *κερδωφόροι* P. 2) *ἄλλως* pro *ἢ* 3.[1.] 4.[1.] 5.[1.], om. 4.[2.] 5[2.] rell. — *κερουλίδες*] 4. 5. L. P., ut Valckenarius ad Phoen. 1157 voluerat, *κερουλιδες* 3.[1.], *κερούχιδες* Gen.[b.], *κερουχίδες* vulg. 3) *κερούχιδες* pro *κερουλκίδες* Gen.[b.] — *δὲ* om. codd. 3) *ἀπὸ* codd. et ante Heins., *ὑπὸ* vulg. 6) //Gen.[b.] post *Μελάνθιον* pag. 221. 5., ubi *λευκίτης* lemma sine *ὁ λευκός.* 8) *καὶ* prius om. Gen.[b] 9) Om. Gen.[a. b.] Lips. 11) *πλήιτοντα* 3. 13) *ταῖς γυναιξὶ* Gen.[b.] 14) Verba *ὡς ἀπὸ τοῦ ὁδ. ὁδ.* in codd. ante *ἢ ὁ* leguntur; transposuit Adertus. 14) *κορυττίλλος* Gen.[b.] 15) *κερατιστὴς*] *κεραστὴς* Gen.[b.], *κεράστης* L. 16) *κεράστης* Gen.[a.] Lips. 16) *κορύττω* P., *κηρύπτω* Gen.[a.] 17) //Gen.[a.] Lips. — *τὸ ἑξῆς*] Gen.[a.] Lips., *φησὶν οὖν* vulg. 19) Circumscripta desunt in Gen.[a.] Lips., ex SchVet. assumpta. 20) //*Lips. — *ἐπιβαίνειν* pro *ὀχ.* M. 21) *θλάσω* Gen.[b.]

ταῖς Νύμφαις, ὃν ἐνίκησα ἀμνὸν τὸν Λάκωνα, θλάσω σου τὰ αἰδοῖα. L. Gen.[b.]) — *Ἀλλὰ γενοίμαν: ἀλλ' ἐὰν μή σε θλάσω, γενοίμην ἀντὶ Κομάτα Μελάνθιος, καὶ κολασθείην ὥσπερ ἐκεῖνος ὑπὸ Εὐμαίου καὶ Φιλοιτίου ἐγὼ ἐν τοῖς Ὀδυσσέως οἴκοις.* (*τὸν παρ' Ὁμήρῳ φησὶ Μελάνθιον.* p. 3. 4. L. Gen.[b.] *ἦν γὰρ δοῦλος τῶν μνηστήρων Πηνελόπης.* 3. 4. L.)

Rec. (*Ὁ Μελάνθιος ἦν ἑνὸς τῶν μνηστήρων ἢ μᾶλλον τῆς Πηνελόπης δοῦλος, κολασθεὶς ὑπὸ Ὀδυσσέως.* Gen.[a.])

Idyll. VI.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Βουκολιασταὶ Δάφνις καὶ Δαμοίτας. — (*Βουκολιασταὶ Δαμοίτας καὶ Δάφνις.* Lips. *Βουκολιασταὶ Δωρίδι Κομάτας καὶ Δάφνις.* v. *Ὡς ἀπὸ τοῦ Θεοκρίτου.* M. *Διηγηματικόν.* K. M. *Δωρίδι.* F. K. M. N.)

(*Δημητρίου τοῦ Τρικλινίου.* M. *Καὶ τὸ παρὸν εἰδύλλιον συνίσταται ἐκ στίχων δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων μς', ὧν τελευταῖος· νίκα μὰν οὐδ' ἄλλος, ἀνάσσατοι δ' ἐγένοντο.* M. Gen.[a.] — *Τοῦ αὐτοῦ Μοσχοπούλου σχόλια.* M.)

Vs. 1—3.

Vet. Δαμοίτας καὶ Δάφνις ὁ βουκόλος εἰς ἕνα χῶρον τὰν ἀγέλαν πόκ' Ἄρατε: πρὸς τὸν Ἄρατον τὸν ποιητὴν τὸν τὰ Φαινόμενα γράψαντα φίλον ὄντα διαλέγεται ὁ Θεόκριτος· ἰσόχρονος γὰρ ἦν αὐτῷ. οὗ καὶ ἀλλαχόθεν μνημονεύει, ἔνθα πρὸς Ἀγεάνακτα τὸν Μιτυληναῖον ὡμίλει. (*ἄλλοι δέ φασι· πρός τινα οὕτω καλούμενον.* 3. 4. 5. L. P. Gen.[b.])

149) [*Πάλιν:*] *λείπει τὸ ὀχεύει.* L. *ἐπιχειρεῖ περαίνειν.* K.
150) *Εἰ μή σε θλάσω, συντρίψω.* L. M. P. Lips. — [*Μελάνθιος:*] *οὗτος δοῦλος ἦν Πηνελόπης μωρός.* K. M. — *Ἐπαρᾶται ἑαυτῷ.* 4.
1) *Πρότασις τὸ σχῆμα.* L.

---

1) *σου* om. Gen.[b.] 2) //L. Gen.[b.] sine lemmate deinceps post *αἰδοῖα.* 3) *γενοίμαν ἀ. Κομάτας* Gen.[b.] 4) *Φιλοίτιος* 4. 5. Gen.[b.] et ante Heins. 4) *ἐγὼ*] Gen.[b.] vulg., om. Reisk. seqq. 20) //Gen.[b.] c. lemm. *Ἄρατε,* ubi *ἰσόχρονος γὰρ ἦν Θεοκρίτῳ* pro *φίλον .... ὡμίλει* Gen.[b.] — 26) *συντρίψω* om. Lips.

— Ἄλλως. *Εἰκὸς τὸν ἀστρονόμον Ἄρατον εἶναι, ᾧ συγκεχρονίκει ὁ Θεόκριτος.*

Rec. (*Δαμοίτας καὶ Δάφνις: ἐναντίως ἔχει τοῦτο τῷ λεγομένῳ Ἀλκμανικῷ σχήματι, ὃ καὶ προεπίζευξις λέγεται. ἐνταῦθα γὰρ ἑνικὸν ἐπάγεται ἐπὶ τοῖς δυσίν· ἐκεῖ δὲ πληθυντικὸν λέγεται μετὰ τὸ ἕν· οἷον*

εἰ δέ κ' Ἄρης ἄρχωσι μάχης ἢ Φοῖβος Ἀπόλλων.

λύεται δὲ ἐκεῖνο μὲν ὑπερβάτῳ, οἷον· εἰ δέ κ' Ἄρης ἢ Φοῖβος Ἀπόλλων ἄρχωσι [*μάχης*], *τοῦτο δὲ ἀπὸ κοινοῦ λαμβάνον τὸ ὁ βουκόλος.* 1. 2. 6. 7. 8. M. N. Y. Gen.[a.] Lips.[α.β.]) — (⟨*Τὰν ἀγέλαν:*⟩ *ἑκάτερος δηλονότι τὴν ἑαυτοῦ ἀγέλην ἀγαγόντες ἥνωσαν.* Lips.[β.])

Vet. *Ἧς δ' ὁ μὲν αὐτῶν πυρρός: ἦν δὲ τῶν ᾀδόντων ὁ μὲν ἄρτι χνοάζων τὸ γένειον, ὁ δὲ πληρώσας αὐτὸ ταῖς θριξίν.* — *Ἢ πυρρὸς ὁ ἀρτίχνους, ὁ ἤδη πωγωνίτης, ὡς Εὐριπίδης·*

πυρρὸς γενύεσσιν (*ἐξανδρουμένου.*

ὁ δ' ἡμιγένειος *** *Παρμενίσκος.* 4.) — (*Τέλειον ἔχων τὸ γένειον ταῖς θριξί.* L.) —

Rec. (*Καὶ μέλας ὤφειλεν εἰπεῖν· φασὶ δέ, ὅτι τὸ πυρρὸς*

2) *Ἑκάτερος δηλονότι τὴν ἑαυτοῦ.* 1. Y. Lips. — *Ἀγαγόντες ἥνωσαν.* Y. Lips.

3) [*Πυρρός*:] *τὸ γένειον δηλονότι, ἤγουν πυρρογένειος.* M. P. Y. Lips. *κατὰ τὰς τρίχας, ἤγουν ἀρτιγένειος.* — [*Ἡμιγένειος*:] *τέλειον ἔχων τὸ γένειον ταῖς θριξί.* L. *ἀτελὴς τὴν γενειάδα.* C. *ὀλίγον εἶχε γένειον.* K.

---

1) //Om. Gen.[a.b.] Lips., nec minus quae vulgo sequuntur *οὗ μέμνηται κτλ.*, ex Hypothesi petita. 3) Ex Lips.[β.] hoc scholium protulit Henr. Scholzius in Johanneis ex Theocrit. Idylliis collectis p. 16 et inde Koehlerus. Antecedunt ibi Hypothesis verba *τοῦ δὲ Ἀράτου ᾧ πρ. ἐν τοῖς Θαλ. καὶ ἀλλ. μνημονεύει.* 4) *δραματικῷ σχ. ὃ μετὰ προεπιζεύξεως λέγον* Lips.[β.], *ὃ καὶ πρ. λέγ.* om. (Gen.[a.]) Wart. 5) *πληθυντικῶς* E. 6) *τὸ ἓν*] Gen.[a.], *τοῦ ἓν* Wart., *τοῦ ἑνὸς* Lips.[a.], *τὰ ἑνικὰ* Lips.[β.], *τοῦ ἑνικοῦ* Toupio auctore Kiessl. seqq. De Gaisfordi et Gailii libris non apparet. 7) *Hom. Il. Τ*, 138. — *μάχεσθαι* Lips.[β.] 8) *ὑπερβατῶς* Lips.[β.] 9) *μάχης* om. (Gen.[a.]) Lips.[α.β.] Wart. Kiessl. 9) *λαμβάνον*] M. N. Y. Lips.[α.β.], *λαμβάνει* E., *λαμβανόμενον* Gen.[a.], *λαμβάνομεν* rell. 10) *τὸ* om. E. 11) *ἕκαστος* cod. (vid. Gl.), ubi haec praecedenti scholio adhaerent. 13) //Gen.[b.] sine *πυρρός*. 14) *χλοάζων* L. 14) *τὸ γένειον* pro *αὐτὸ* Gen.[b.] 15) //Om. Gen.[a.b.] Lips. 17) *Eurip. Phoen.* 32, ubi *πυρσαῖς γένυσιν ἐξανδρούμενος.* — *γεννύεσσιν* 4. 18) Ita SchL. ap. Gail., om. Duebn., cf. GlL., ubi eadem repetuntur. — 21) *συναγαγόντες* Lips. 23) *πυρρὸς τὸ γ.* Lips. — *πυρογεν.* M. P. Y. 24) Verba *ἤγουν ἀρτ.* male ad *ἡμιγένειος* relata erant.

ἀντὶ τοῦ ἄρτι γενειῶν λαμβάνεται. ὁ γὰρ προσφάτως ἔχων τὸν ἴουλον ἐπανθοῦντα καὶ οἷόν πως πυρρὸς δοκεῖ εἶναι. Q.) — *Ἡμιγένειος δὲ ὁ οὔπω πᾶσαν τὴν γένυν πεπληρωμένην ἔχων γενείων.*

Vs. 4.

Vet. (*Θέρεος μέσῳ ἤματι: ἀντὶ τοῦ κατὰ τὸ μέσον τοῦ θέρους, ὅτε τὰ κυνοκαύματα. ἢ ἄλλως· κατὰ τὸ μεσημβρινόν, ὃ τῆς ἡμέρας ὅλης καυματωδέστερόν ἐστιν.* L. P. Gen.[b]) — *Ἐσδόμενοι θέρεος μέσῳ ἤματι: μεσούσης ἡμέρας ἢ ἐν μεσαιτάτῳ τοῦ θέρους.*

Rec. *Ἠ ἐν μέσῳ ἡμέρας τοῦ θέρους.* — (*Διπλῶς συντάσσεται· ἢ θέρεος, ἐν τῷ καιρῷ τοῦ θέρους, ἐν μέσῃ ἡμέρᾳ· ἢ θέρεος μέσῳ ἄματι, ἤγουν ἐν τῷ μεσαιτάτῳ τοῦ θέρους, τουτέστιν εἰς τὴν ἀκμὴν τοῦ θέρους, ἐν μιᾷ ἡμέρᾳ.* Q.)

Vs. 6.

Vet. *Βάλλει τοι Πολύφαμε: ὡς πρὸς παρόντα τὸν Κύκλωπα διαλέγεται.* — (*Ἁ Γαλάτεια:* ⟨*Γαλατείᾳ*⟩ *ἱερὸν ὁ Κύκλωψ ἱδρύσατο ἐκ τοῦ ἔχειν αὐτὸν πολλὰ πρόβατα καὶ ἀπ' αὐτῶν κεκτῆσθαι τὸ γάλα πολύ.* L. P. Gen.[b])

Vs. 7.

Vet. *Μήλοισι: μηλοβολεῖ εἰς ἔρωτα ὑπάγεσθαι βουλομένη. δυσέρωτα δὲ εἶπεν αὐτόν,* [*ἤγουν μὴ εἰδότα ἐρᾶν,*] *παρόσον οὐκ ἐπέτυχεν αὐτῆς.* — *Τὸν αἰπόλον ἄνδρα καλεῦσα: τὸν ἄνδρα τὸν ποιμένα. ἀντὶ γὰρ τοῦ εἰπεῖν ποι-*

4) *Κατὰ τὸν καιρὸν τοῦ θέρους.* L. *κατὰ τὴν μεσημβρίαν.* E. — *Τὸ κοινῶς ἐτραγῳδουν.* M. P. Lips.

5) *Ἐπεὶ καὶ πρῶτος προεκαλέσατο εἰς τὴν ἔριν.* M. P. Lips.

6) *Ὁ ποιητὴς ἐκ προσώπου τοῦ Δάφνιδος.* 4. 5. L. — *Νηρηίς, δαιμονὶς ἐν τοῖς υδασι.* L. *ὄνομα Νηρηΐδος.* E. N.

---

3) //* Lips. *οὔπω* seqq. — *τὴν*] add. Lips. 6) *ἀντὶ τοῦ μέσου* Gen.[b] 7) *τὰ* om. Gen.[b], *καύματα* P. 7) *μεσημερινὸν* L. 8) *γάρ ἐστιν* P. 9) //Om. Gen.[a.b.] Lips. 11) //* Lips. 16) //Om. Gen.[a.b.] Lips. 19) *ἐπ' αὐτῶν* Gen.[b] 21) //Om. Gen.[a.b.] Lips. una cum parte Hypothesis, quae vulgo adhaeret. — *μήλοισι: μηλοβολεῖ*] *μήλοισι μηλ.* ante Heins., *μήλοισι βάλλει, μηλοβολεῖ* vulg. 22) Circumscripta ex SchRec. sunt, cf. Gl. 23) //Gen.[b] sine *ἄνδρα καλεῦσα.* — 27) *προσεκ.* M. 28) *ἐκ* om. 4. 5. 29) *δαιμονὶς*] *δαιμονία* cod.

μένα καταχρηστικῶς εἶπεν αἰπόλον, ἐπεὶ καὶ ὁ Κύκλωψ ποιμὴν ἦν, ἢ ἐπεὶ καὶ αἶγας ἔνεμεν ὁ Κύκλωψ. καὶ Ὅμηρος·

μῆλ' ὄϊές τε καὶ αἶγες.

τέως γοῦν τὸ αἰπόλον ἀντὶ τοῦ ποιμένα εἴρηται.

Vs. 8.

Rec. **Καὶ τύ νιν οὐ ποθορῆσθα**: *καὶ σὺ αὐτὴν οὐ προσβλέπεις.*

Vs. 9—12.

Rec. **Πάλιν ἄδ' ἰδὲ τὰν κύνα βάλλει**: *καὶ πάλιν αὕτη τὴν κύνα βάλλει τοῖς μήλοις. τὸ γὰρ ἰδὲ ἀντὶ τοῦ καί.*

Vet. [*Γράφεται καὶ ἀδὶ δέ, καὶ λέγει τὸ σχόλιον οὕτω·*] *τινὲς χωρὶς τοῦ δὲ γράφουσιν, ἐκτείνουσι δὲ τὸ ι, ἵνα ἀντωνυμία τυγχάνῃ δεικτική. τὸ δὲ ἑξῆς· τὴν κύνα βάλλει, ἥ σοι τῶν οἴων ἕπεται σκοπός, ἤγουν φύλαξ.*

Rec. **Ἁ δὲ βαύσδει**: *αὕτη δέ, ἡ κυών, ὑλακτεῖ εἰς τὴν θάλασσαν βλέπουσα. τὸ βαΰζειν ἐπὶ τῶν σκυλακίων λέγεται κυρίως· ἐπὶ δὲ τῶν τελείων κυνῶν τὸ ὑλακτεῖν λέγουσιν, ὥστε τὸ* **βαΰζει** *ἐνταῦθα ἀντὶ τοῦ ὑλακτεῖ λέγεται.* — **Τὰ δέ νιν καλὰ κύματα φαίνει ἥσυχα καχλάζοντα**: *τὰ δὲ καλὰ κύματα ἡσύχως ἀναβραττόμενα δεικνύει αὐτήν, τὴν Γαλάτειαν, ἐπὶ τοῦ αἰγιαλοῦ τρέχουσαν.* — (**Καχλάζοντα**: *ἀναβραττόμενα.* Gen.[a])

Vet. *Ἢ αὐτὴν τὴν Γαλάτειαν φησὶν ἐπιτρέχουσαν ἡσύχως κινουμένου τοῦ αἰγιαλοῦ* [*εἰς*] *τὴν θάλασσαν ἐμφανίζειν. ἢ*

7) *Κακῶς χρώμενον τῷ ἔρωτι.* C. E. *μὴ εἰδότα ἐρᾶν.* Lips. — [**Αἰπόλον**:] *σέ.* M. Lips.

8) *Οὐ θεωρεῖς.* M. *οὐδόλως ποτὲ ὁρᾷς.* C.

9) *Ἡδέως τῇ σύριγγι μέλπων.* M. Y. Lips. — *Ἔχουσι γὰρ κύνας οἱ ποιμένες πρὸς ἀποτροπὴν τῶν λύκων.* L.

10) *Ἀκολουθεῖ. σύναπτε δὲ πρὸς τὸ σοί.* M. — *Ἐπιτηρητής.* 5. *φύλαξ.* Lips.

---

3) *Hom. Od. I*, 184. 4) *ποιμένος* Gen.[b] 6) //* Lips. *σὺ κτλ.* 9) //* Lips. *καὶ* super *ἰδὲ* et *τοῖς μήλοις* super *βάλλει.* 11) //Om. Gen.[a.b.] Lips. — *δὲ* om. Reisk. seqq. 12) *ἐκτίνουσι* ante Brub. II. 14) *φυλάκισσα* 3. 15) // Gen.[a.] inde ab *τὸ βαΰζειν*; Lips. s. l. *ἡ κύων* et *εἰς τ. θ. βλ.*, seqq. in marg. — *αὕτη*] *αὐτὴ* vulg. 16) *βαύζειν* et *σκυλάκων* Gen.[a.] 18) *βαΰζει*] Lips., *βαύσδει* ante Brub., *βαῦσδει* vulg. 18) *ἀντὶ τοῦ ὑλακτεῖν* Gen.[a.] 19) //* Lips. *τὰ δὲ κ. κ. δεικνύει αὐτὴν τ. Γ. ἡσύχως ἀναβραττόμενα.* 23) //Om. Gen.[a.b.] Lips. 24) *ἢ* et *δεικνύει*] *καὶ* et *δεικνύειν* vulg.

ὥσπερ ἐν κατόπτρῳ δεικνύει αὐτῆς τὴν μορφὴν ἡ θάλασσα. τὸ καχλάζοντα ἀντὶ τοῦ ἠχοῦντα· ὁ τρόπος ὀνοματοποιία. ἢ καχλάζειν τὸ ψοφεῖν τὸ κῦμα φερόμενον ἐπὶ τοὺς κάχληκας. (κάχληκες δέ εἰσιν αἱ χερμάδες λίθοι. 4.) — (Τὰ δέ νιν: ἴσως ἡ σκιὰ αὐτῆς ἐπὶ τοῦ ὕδατος ἐτυποῦτο, ἢ ἤχου τινὸς γινομένου ἐκ τοῦ δρόμου αὐτῆς εὐαίσθητος τῇ ἀκοῇ ἐγένετο τῶν κυμάτων ἡσυχαζόντων. 4. 5. L. P. Q. Gen.[b]) — Τὸ δὲ ἐπ' αἰγιαλοῖο θέοισαν μετωνυμικῶς ἀπὸ τῆς γαλήνης τῆς θαλάσσης πρὸς τὴν Γαλάτειαν τρέπεται καὶ λέγει ὅτι ἐπάνω καὶ αὐτὴ τῶν κυμάτων βαίνει. (τὸ καχλάζειν ἐπὶ ὕδατος, τὸ δὲ παφλάζειν ἐπὶ πυρός. L. Gen.[b])

Vs. 13. 14.

Rec. Φράζεο μὴ τᾶς παιδός: σκόπει ἵνα μὴ ἐπὶ ταῖς κνήμαις τῆς παιδός, ἤγουν τῆς Γαλατείας, ὁρμήσῃ, ἐπιπηδήσῃ ἐκ τῆς θαλάσσης ἐρχομένης, καταμύξῃ δὲ τὸ εὐειδὲς αὐτῆς σῶμα, ἤγουν καταξάνῃ, κατασπαράξῃ.

Vet. (Φώνησόν σου τὴν κύνα, μή πως τὴν Γαλάτειαν κατεδέσηται. p.)

Vs. 15. 16.

Rec. Ἃ δὲ καὶ αὐτόθι τοι: οἴκοθεν, ἀπὸ τῆς οἰκείας φύσεως (διαθρύπτεται, ἤγουν Gen.[a]) διαρρεῖται ὑπὸ τρυφε-

12) [Καχλάζοντα:] ὑπογελῶντα. K. κινούμενα. E. κυκούμενα. C. διὰ τὴν τῆς θαλάσσης γαλήνην. L. — Πορευομένην ἐπὶ τοῖς κύμασι καὶ μὴ φαινομένην. M.

13) Ἢ βουλεύου περὶ τούτου, ἢ ἐπίταττε τῇ κυνί. 4. L.

14) Τὰς εὐμόρφους σάρκας. L. τὸ ὡραῖον. M. — Καταξάνει, σπαράξει. P.

---

1) ἡ θάλασσα] ante Heins., τὴν θάλασσαν vulg. 4) κάχλακες et οἱ cod. 4) χερμάδες] Geel., κιρμάδες cod. 5) ἴσως om. Wart. 5) ηχω — γενομένου Wart. 7) Post ἡσυχαζόντων in Q. adhaerent διὰ τὴν τῆς θαλάσσης γαλήνην, cf. Gl. 8) //Gen.[b] sine τὸ δέ. 8) τῆς θαλ. γαλήνης Gen.[b] 9) τὴν] add. Gen.[b] 9) ὅτι ἐπ. καὶ αὐτὴ τ. κ. βαίνει] Gen.[b] (sed ἐπαινῶ), ἐπ. αὐτὴν τ. κ. βαίνειν vulg. 10) τὸ δὲ καχλάζων et παφλάζω Gen.[b] 13) //Gen.[a] *Lips. — σκόπει om. Gen.[a] 13) τῆς κνήμης Gen.[a] 14) ἤγ. τ. Γαλ. et ἐπιπηδήσῃ om. Gen.[a] Lips. 15) κατ. δὲ] Gen.[a] Lips., καὶ κατ. vulg. 16) αὐτῆς om. Gen.[a] Lips. 17) φωνησόν σου] Gail., φώνησον σοῦ cod. 18) καταιδήσεται cod. 20) //Gen.[a], ubi h. sch. cum reliquis ad hos versus post SchRec. ad Vs. 18 legitur; *Lips. οἴκοθεν seqq. — ἃ δὲ om. Gen.[a] — 25) τῷ κυνὶ 4.

ρότητος (ὡς αἱ καπυραὶ χαῖται, τουτέστιν αἱ ὑπὸ τοῦ ἡλίου πεπυρακτωμέναι κόμαι. M. N. P. Gen.[a])

Vet. (Ἃ δὲ καὶ αὐτόθι διαθρύπτεται: Gen.[b] ἤγουν αὐτόθεν ἐστὶ τρυφερὰ φυσικῶς καὶ κόπτεται, ὥστε διαθρύπτονται αἱ σάρκες αὐτῆς. 3. Gen.[b]) — Ὡς ἀπ' ἀκάνθας ταὶ καπυραὶ χαῖται: (τοῦτο θέλει εἰπεῖν ὅτι ἐπικλᾶται καὶ διαθρύπτεται. 3. Gen.[a]) ὡς οἱ πάπποι κινάρας. χαῖται γὰρ οἱ πάπποι τῆς κινάρας. λέγονται δὲ οἶμαι χαῖται διὰ τὸ κόμαις ἐοικέναι. — (⟨Χαῖται:⟩ τὰς ⟨τῆς⟩ κινάρας φησί. χαῖται γὰρ οἱ πάπποι τῆς κινάρας. θέλει οὖν εἰπεῖν ὅτι ἐπικλᾶται καὶ διαθρύπτεται ὡς πάππος κινάρας. Gen.[b]) — Καπυραὶ δὲ αἱ κεκαυμέναι ὑπὸ τοῦ ἡλίου *** διὰ τὴν [θερμότητα ἢ] λευκότητα [ὡς ἐν ἄλλῳ].

Rec. (Ἤγουν ὥσπερ καὶ ἐν ἀκάνθαις ὂν τὸ ῥόδον θάλλει, οὕτω καὶ αὕτη διαθρύπτεταί σοι καὶ ἐν ὕδασιν οὖσα. οὐδὲ γὰρ ἀλλοιωθήσεται αὐτῆς ἡ χροιὰ διατριβούσης ἐν ὕδασιν. *M. Gen.[a])

Vs. 17.

Rec. (Τουτέστιν ὅταν δεικνύῃς, ὅτι ἐρᾷς ἐκείνης, προσποιουμένη μὴ ἀντερᾶν σου φεύγει· ὅταν δὲ προσποιῇ σὺ μὴ ἐρᾶν ἐκείνης, ἐκείνη διώκει σε, ἤγουν καταλαμβάνει. E.) — Καὶ φεύγει φιλέοντα: καὶ φεύγει, σε δηλονότι, φιλέοντα καὶ οὐ φιλέοντα διώκει, ἤγουν ζητεῖ. —

15) Ἡ κατασκευὴ αὕτη πρὸς τὸ οὐ φιλέοντα διώκει ἔχει τὴν δύναμιν. M. — Ἀφ' ἑαυτῆς. L. ἀπὸ τῆς θαλάσσης. K. ἐν τῇ θαλάσσῃ. M. — Καλλωπίζεται. K. ἰδιωματεύεται. M. — Κινάρας ἀγρίας. L.

16) Αἱ ἐρυθραί. M. αἱ ξηραί. C. αἱ ὑπὸ τοῦ ἡλίου πεπυρακτωμέναι κόμαι. 1. 2. Lips. — [Χαῖται:] τὸ ῥόδον. M. διακόπτονται δηλονότι. L. — Τὸ λαμπρόν. M. Lips. — [Φρύγῃ:] λάμπῃ. E. [Φρύγει:] ξηραίνει φλέγον. M. N. Lips.

---

4) αὐτόθε ἐστὶ 3. 4) τρυφεραὶ Gen.[b] 6) //Gen.[a] c. lemm. διαθρύπτεται. In 3. haec sine lemm. praefixo ἄλλως deinceps post αὐτῆς l. 5 leguntur. 7) οἱ πάπποι κιν.] 3. Gen.[a] (hic κιναίραις), ἀπὸ τῆς κιν. οἱ π. vulg. 7) χαῖται γὰρ οἱ π. τ. κ. om. Gen.[a] 8) λέγονται δὲ οὕτως οἶμαι διὰ M. Gen.[a] 9) H. sch. in cod. adhaeret scholio Vs. 24, p. 230. 13. 11) //Gen.[a.b.], hic post σάρκες αὐτῆς l. 5. — ὡς pro αἱ M. Gen.[a] 12. 13) Circumscripta om. M. Gen.[a.b.] 15) αὐτὴ Gen.[a] 16) οὐ γὰρ Gen.[a] 22) //*Lips. σὲ δηλονότι et ζητεῖ. — σὲ Lips. et ante Reisk. — 24) ἡ κατασκ. seqq. afferuntur tanquam deinceps post ἐν ὕδασιν lin. 15 scripta.

Vet. *Ἐνταῦθα τὸ ἐρεθιστικὸν αὐτῆς καὶ πανοῦργον σημαίνει. τὸ γὰρ φιλοῦντα φεύγειν, οὐ φιλοῦντα δὲ διώκειν κακοήθους. ὁ νοῦς· καὶ ἐπειδὰν αἴσθηταί σε ὦ Πολύφημε φιλοῦντα, φεύγει καὶ οὐ προσδέχεται, μισοῦντα δὲ διώκει, ἤγουν εἰς πόθον ἄγειν πειρᾶται.* — (*Εἰ μὲν πρὸς τὴν Γαλάτειαν ἀποτείνεις τὸν λόγον, ὀφείλεις νοεῖν, ὅτι τοῦ ἐρωμένου οὐκ ἐρᾷ, τοῦ δὲ μὴ ἐρωμένου ἐρᾷ· εἰ δὲ πρὸς τὴν κύνα, τὸν φιλέοντα φεύγει καὶ τὸν μὴ φιλέοντα διώκει.* L. Gen.[b.])

Vs. 18. 19.

Rec. *Καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον: παροιμία· καὶ πάντα τρόπον ποιεῖ [ἢ κινεῖ] τυχεῖν σου·* (*ἤγουν πάντα λίθον κινεῖ, ἵνα τύχῃ σου.* Gen.[a.])

Vet. (*Λίθον: τὸν ὡσπερεὶ λίθον στερεὸν ὄντα τὴν ψυχὴν ὡς ἀπὸ γραμμῆς καὶ τέχνης τινὸς κινεῖ. Ἄλλως. Τὸν ἀπὸ σφενδόνης λίθον κινεῖ, θέλουσα ποιῆσαί σε ἐρᾶν αὐτῆς.* Gen.[b.]) — (*Ἡ· μέσην γὰρ τιθέασιν οἱ παίζοντες ψῆφον, ἧς οὐχ ἅπτονται, εἰ μὴ τέλεον ἡττώμενοι αὐτῆς ἅψοιντο. λίθον οὖν τὴν ψῆφον· οἷον τὸν ἔρωτα εἰς ἔσχατον παριστᾷ κίνδυνον.* Gen.[b.] Vulc.) — (*Καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον: ἤγουν καὶ τὰς ἀψύχους στήλας κινεῖ εἰς ἔρωτα.* *4. E. Gen.[b.]) — *Ἄλλως. Καὶ ὅταν προσποιῇ σὺ μὴ φιλεῖν αὐτήν, πάντα κάλων κινεῖ καθελκύσαι σε πρὸς τὸν ἑαυτῆς*

17) *Φεύγει σε. ἤγουν ἡνίκα σὺ ταύτην ἐφίλεις, ἔφευγε· νῦν δὲ μὴ φιλοῦντα ζητεῖ αὐτή.* M. — [*Φιλέοντα:*] *τὸ πρίν.* P. — *Ἤγουν νῦν μὴ φιλοῦντα αὐτὴν ζητεῖ αὐτὸν ἡ Γαλάτεια.* K.

18) *Πρὸς τὸ διαθρύπτεται καὶ τὰ ἑξῆς, εἰ καὶ κεῖται ἐνταῦθα διὰ μέσου.* M. — *Ἤγουν καὶ τὰ ἄψυχα ἀγάλματα.* M. *γραμμὴν τὴν τοῦ δακτυλίου ἐμφέρειαν λέγει.* 4. L. *καὶ τὸν πρὸς σὲ ἔρωτα.* 4. *ἤγουν τοῦ δακτυλίου.* E. H. — *Ὑπὸ τοῦ ἔρωτος.* M. P. Lips.

---

1) //Om. Gen.[a.b.] Lips. 5) Schol. in Gen.[b.] legitur post *κινάρας* pag. 226. 11. 7) *οὐκ ἐρῶ* Gen.[b.] 8) *φέσει* Gen.[b.] mg. 10) //Gen.[a.] Lips., cf. Phav. s. v. *κινέω.* — *λίθον* om. Gen.[a.] 11) *ἢ κινεῖ* om. Gen.[a.] Lips. Phav. 11) *ὥστε τυχ.* Gen.[a.] 12) Sequitur in Gen.[a.] glossa Suidea *γραμμή ἐστιν ... ἔχον.* 13) Schol. hoc cum sequente in Gen.[b.] legitur post *Ὀδυσσέως* pag. 230. 4. — *ὡσπερεὶ*] *ὕστερον* cod. 13) *τῆς ψυχῆς* cod. 15) *θέλουσα*] Adert., *θέλων* cod. 16) *μέσον* sine *ἣ* Vulc. 17) *ἡπτόμενοι* Gen.[b.] 19) Schol. in Gen.[b] una cum sequente legitur post Schol. Vs. 17, in E. sine lemmate post *καταλαμβάνει* p. 226. 21. 20) *κινεῖ στ.* 4. — *εἰς*] 4., *πρὸς τὸν* Gen.[b.], *πρὸς τὸν σὸν* E. 21) //Gen.[b.], ubi *ἢ ἄλλως.* 21) *αὐτὴν* om. Gen.[b.] 22) *λίθον* pro *κάλων* E. 22) *σε* om. E. Gen.[b.] 22) *αὐτῆς* Gen.[b.], *τὸν ἑαυτῆς* om. E. — 26) *πρὸς τὸ*] *τοῦτο* cod. 27) *γραμμὴν* om. 4. 28) *δακτυλίου*] Duebn., *δακτύλου* codd.

ἔρωτα. ἡ δὲ λέξις μεταφορικῶς ἀπὸ τῶν παιζόντων τὸ κοινολέκτως λεγόμενον ζατρίκιον. Ἐκεῖ γὰρ ὅταν πολλὰ ποιήσαντες οὐ δύναται ὁ ἕτερος νικῆσαι τὸν ὁμοπαίκτορα, κινεῖ καὶ τὸν ἀπὸ γραμμῆς λίθον, ἤγουν τὸν οὕτω βασιλέα καλούμενον. — Ἄλλως. Γράψαι τὸ ξέσαι οἱ παλαιοὶ ἔλεγον. ἀπὸ γοῦν τοῦ γράφειν τοῦ δηλοῦντος τὸ ξέειν γίνεται γραμμὴ ἡ λάξευσις. λίθον οὖν ἀπὸ γραμμῆς ἐνταῦθα λέγει τὸ λίθινον ἄγαλμα. ὁ δὲ νοῦς· δύναται ἡ Γαλάτεια καὶ τὸ λίθινον ἄγαλμα εἰς τὸν αὐτῆς ἔρωτα ἐπισπάσασθαι δι' ὑπερβολὴν κάλλους. — (Καὶ τὸν ἐπιγραμμῆς: ἀπ' ἀρχῆς. μεταφορικῶς δὲ εἴρηται· κυρίως δέ ἐστι γραμμὴ ἡ τῶν δρομέων. Καὶ τὸν ἀπὸ γραμμῆς κινεῖ λίθον: καὶ λίθινον, φησίν, ἄγαλμα, εἰς ἔρωτα δύναται αὐτῆς ἐπισπᾶσθαι· τὴν δὲ τοῦ κάλλους ὑπερβολὴν θαυμάζει. Ἄλλως. Εἰρωνευόμενός φησιν· ὦ Πολύφημε, ἐρᾷ ⟨σου⟩ ἡ Γαλάτεια, εἰς τὸ συμπεῖσαί σε μονονουχὶ τὸν ἀπὸ γραμμῆς λίθον κινοῦσα, ὡς ἡ παροιμία *** καὶ μὴ θαυμάσῃς, εἰ οὕτως ἀμόρφου ὄντος ἐρᾷ σου· ἐν τῷ ἔρωτι *** καὶ τὸν ἐπὶ γραμμῆς λίθον ἑαυτῆς ἔρωτα μεταφέρεσθαι ποιεῖ. 4.)

Rec. (Ἤγουν καὶ τὰ λίθου ἐξεσμένου ὄντα ἀγάλματα κινεῖ ἡ Γαλάτεια τῇ εὐμορφίᾳ αὐτῆς. Q.) — Ἦ γὰρ ἔρωτι πολλάκις ὦ Πολύφαμε: ὄντως πολλάκις ὦ Πολύφημε ὑπ' ἔρωτος τὰ μὴ εὔμορφα εὔμορφα φαίνονται.

Vet. Διὸ μὴ θαύμαζε, εἰ ἐρᾷ σου ἡ Γαλάτεια ἀμόρφου ὄντος. τοιοῦτος γὰρ ὁ ἔρως· ἀποβιάζει τὴν διάνοιαν τῶν ἐρώντων.

19) Ἤγουν σὺ ⟨μὴ⟩ καλὸς ὢν καλὸς φαίνῃ, ἢ ἀμόρφου σου ὄντος ἐρᾷ ἡ Γαλάτεια. L.

---

1) αἱ δὲ λέξεις Gen.[b.] 2) ἐκεῖ] Gen.[b.], ἐκεῖνοι vulg. 2) ὅταν βουλόμενος ὁ ἕτερος περιγενέσθαι τοῦ ἑτέρου, κινεῖ E. 3) δύναται ὁ ἕτερος] Gen.[b.], δύνανται ἑτέρως vulg., δύνωνται Gaisf. tac. 3) ὁμοπαίκτορα] Scaliger et Toup., ὅμοιον παίκτορα vulg., ὁμ. πράκτορα L. 3) κινεῖ] E. Gen.[b.], κινοῦσι vulg. — καὶ om. Gen.[b.] 4) ἤγουν] add. E. L. Gen.[b.] 4) τὸ pro τὸν Gen.[b.], τὸν εἶδος φέροντα βασιλέως E. L. 5) //Om. Gen.[a.b.] Lips. 10) ἀπ' ἀρχῆς] σπάρτῃ cod., ubi verba σπάρτῃ μ. δὲ εἴρηται post δρομέων l. 11 leguntur. 11) ἐστὶ γραμμὴ] Duebnerus, ἐπιγραμμὴ cod. 11) δρομέων] Duebnerus, δρωμένων cod. 12) φησίν] Duebn., φασὶν cod., item paullo infra. 16) μονονουχὶ] Piccolos, μόνον καὶ cod. 17) Lacunam hic Gaisf. indicavit tanquam in ipso libro apparentem, paullo post Duebnerus. 20) ἤγουν ἢ τῷ λίθῳ ἐξεσμένῳ ὄντι ἀγάλματι κ. ἡ Γ. ἢ τῇ cod. 21) //*Lips. ὄντως — ὑπὸ τοῦ ἔρωτος — φαίνονται. 24) //Om. Gen.[a.b.] Lips. 25) ἔρως· ἀποβ.] ante Xyl., ἔρως, ἀποβ. vulg., ἔρως ἀποβ. Kiessl. — 27) κακὸς φαίνῃ cod.

Vs. 20—24.

Vet. *Τῶ δ' ἐπὶ Δαμοίτας*: ἐπὶ τῷ Δάφνιδι δέ, ἤγουν μετὰ τὸν Δάφνιν, ὁ Δαμοίτας ἀνεβάλλετο, ἀντὶ τοῦ [ἤρξατο,] ἐπροοιμιάζετο. ὁ γὰρ Δαμοίτας ᾄδει ὡς ἐκ προσώπου τοῦ Πολυφήμου τὴν ἀπόκρισιν τοῦ λόγου ποιούμενος. — *Εἶδον ναὶ τὸν Πᾶνα*: καὶ γὰρ εἶδον, ὡς λέγεις, τὴν Γαλάτειαν, νὴ τὸν Πᾶνα, ἡνίκα τὸ ποίμνιον ἐμηλοβόλει, καὶ οὐκ ἔλαθε μὰ τὸν ἐμὸν ἕνα καὶ γλυκὺν ὀφθαλμόν.

Rec. (*Ὧι ποθορῶμαι*: Gen.[a]) δι' οὗ νῦν βλέπω καὶ βλέψω (δηλονότι Gen.[a] Lips.) δι' ὅλης μου τῆς ζωῆς· τοῦτο γὰρ τὸ *ἐς τέλος*.

Vet. (*Ἀναβάλλω* τρία σημαίνει· ἄνω βάλλω, ἀπορραθυμῶ καὶ ἀποστρέφομαι, καὶ ἀνακρούω ὡς ἐνταῦθα. L.) — Τὸ δὲ *ἀναβάλλω* σημαίνει τέσσαρα· τὸ προοιμιάζω, ὡς τὸ

ἀνεβάλλετο καλὸν ἀείδειν·

τὸ ἀνακρούω καὶ ἀναμέλπω, ὡς τὸ „καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον“· τὸ ἐνδύομαι, ὡς τὸ „ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον“· καὶ τὸ ἀπαρνοῦμαι, ὡς τὸ „ἀναβολὴν ποιοῦμαι τοῦδε τοῦ πράγματος.“ — *Αὐτὰρ ὁ μάντις ὁ Τήλεμος*: οὗτός ἐστιν ὁ παρ' Ὁμήρῳ·

Τήλεμος Εὐρυμίδης, ὃς μαντοσύνῃ ἐκέκαστο,

ὃς ἐμαντεύσατο αὐτῷ ὑπὸ τῶν χειρῶν Ὀδυσσέως ἁμαρτήσεσθαι ὀπωπῆς. ὁ νοῦς· ὁ δὲ μάντις ὁ Τήλεμος ὁ τὰ ἀπευκτά μοι μαντευόμενος ἀπευκταίαν συμφορὰν ἀντ' ἄλλου κλήρου τοῖς ἑαυτοῦ παισὶ καταλείποι. — (*Αὐτὰρ ὁ μάντις ὁ Τή-*

20) Ἐπὶ τούτῳ. N. Lips. — Ἀρχὴν ἐποιήσατο. L. ἤρχετο. E. ἀντὶ τοῦ ἤρξατο. Lips. ἤρξατο, ἀνεκρούσατο. M. ἤρξατο τῆς ᾠδῆς. N. — Γράφεται *καὶ τότ' ἄειδεν*. 4. — Ἤιδεν. M. ἔλεγεν. P.

21) Ὡς ἀπὸ προσώπου τοῦ Κύκλωπος. L. P.

---

2) //Om. Gen.[a.b.] Lips. 6) //Om. Gen.[a.b.] Lips. 9) //Gen.[a.] Lips., ubi deest νῦν ut in *1. *2. 12) ἄνω βάλλω ἀπορρ.] ἀναβάλλω τὸ ῥαθυμῶ cod. 14) //Om. Gen.[a.b.] Lips. 15) *Hom. Od. A*, 155. 16) ἀναμέλπω] Hemsterh., ἀναπέμπω vulg. — *Aphth. Progymn. init.* 17) *Psalm.* 103, 2. 19) ἀναβολὴν ποιοῦμαι] p., ἀναβολὴν 3.[1.], ἀναβάλλομαι vulg. 19) //Om. Gen.[a.b.] Lips., habet Phav. s. v. Τήλεμος. 20) ὁ παρ' Ὁ. Τήλεμος] L., ὁ Τ. ὁ παρ' Ὁ. vulg., ὁ παρ' Ὁ. Phav., Τήλ. παρ' Ὁμ. p.[1.] 21) *Hom. Od. I*, 509. — Εὐρυμίδης] Εὐρυμέδης ἢ Εὐρύμαχος καλούμενος vulg., sed Εὐρυμίδης ante Heins. et Phav., Εὐρύμαχος· Εὐρύμαχος p.[1.], Εὐρυμάχου L. Complures viderunt ἢ Εὐρύμαχος ejicienda esse, vid. Burm. Observv. Misc. III p. 372. — ὃς μαντ. ἐκ. ὃς om. L. 22) ἁμαρτήσεσθαι ὀπωπῆς] L., τυφλωθῆναι vulg., ὅτι ὑ. τ. χ. Ὀδ. τυφλωθήσεται p., τυφλωθήσεσθαι conj. Geel.

λεμος: ὁ μάντις, ὅς μοι εἴρηκε τυφλωθῆναι, αὐτὸς τυφλωθείη παρὰ τῶν παίδων αὐτοῦ. τοῦτο δὲ εἴρηκεν, ἐπειδὴ τοιοῦτος μάντις εἰρήκει αὐτῷ τυφλωθήσεσθαι ὑπὸ Ὀδυσσέως. L. Gen.[b]) — (*Ἐχθρὰ φέροι ποτὶ οἶκον*: τοῦτό ἐστιν ὅπερ λέγει, ὅτι τὰ ῥηθέντα μοι παρὰ μαντέως κακὰ ἀντιστραφῶσιν αὐτῷ καὶ τοῖς τέκνοις αὐτοῦ. L. Gen.[b])

Rec. Ἄλλως. (*Αὐτὰρ ὁ μάντις*: Gen.[a]) ὁ μάντις δὲ ὁ Τήλεμος ἐχθρὰ ἀγορεύων, ἤγουν μαντευόμενος, ἐχθρὰ εἴθε φέροι, ἀντὶ τοῦ ἐνέγκαι, πρὸς τὸν ἑαυτοῦ οἶκον, ὅπως τοῖς ἑαυτοῦ ἐκγόνοις φυλάξῃ αὐτά· (τουτέστιν ἐχθρὰ εἴθε ἀκολουθήσειεν αὐτῷ πρὸς τὸν οἶκον αὐτοῦ, ὅπως τοῖς ἐκγόνοις αὐτοῦ ταῦτα φυλαχθῇ. E. M. Y. Gen.[a] Lips.)

Vet. (*Ἐχθρὰ φέρει ποτὶ οἶκον*: ἐχθρὰ *** φυλάξει τοῖς τέκνοις αὐτοῦ. Gen.[b]) ἐμαντεύσατο γὰρ αὐτῷ, τῷ Πολυφήμῳ δηλονότι Κύκλωπι,

χειρῶν ἐξ Ὀδυσῆος ἁμαρτήσεσθαι ὀπωπῆς,

(ἔτι οὖν βλέπων ἐπαρᾶται αὐτῷ. E.)

Rec. Ὥσπερ τὸ φίλος ἐνίοτε μὲν λέγεται ἐπὶ τοῦ φιλοῦντος, ἐνίοτε δὲ ἐπὶ τοῦ φιλουμένου, οὕτω καὶ τὸ ἐχθρός, τὸ ἐναντίον αὐτῷ, ἐνίοτε μὲν λέγεται ἐπὶ τοῦ ἐχθραίνοντος, ἐνίοτε δὲ ἐπὶ τοῦ ἀπηχθημένου, καθὸ λέγεται ἐνταῦθα τὸ *ἐχθρά*.

Vs. 25—27.

Rec. *Ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίζων*: ἀλλὰ καὶ ἐγὼ εἰς

22. 23) [*Τόν*:] μά. Lips. — [*Ἐμόν*:] ὀφθαλμόν. Lips. — *Δι' οὗ βλέπω καὶ βλέψω*. 1. 2. ἀναβλέπω, δι' ὅλης μου βλέπω τῆς ζωῆς. P. — *Εἴθε διὰ παντὸς βλέποιμι*. L. ἐντελέστατα. M. — *Κακὰ προμαντεύων*. C.

24) *Εἴθε φέροι ἀντὶ τοῦ ἐνέγκοι*. E. — [*Φυλάξῃ*:] ταῦτα ὡς κλῆρον. 4. ἀντὶ τοῦ φυλαχθῇ. E.

---

2) περὶ pro παρὰ Gen.[b] 5) περὶ Gen.[b] 7) //Gen.[a] Lips. 9) φέροι] Gen.[a] Lips., φέροιτο vulg. 9) πρὸν pro πρὸς τὸν Gen.[a] 10) ἐγγόνοις hic et infra Gen.[a] 10) ἀκολουθήσαιεν Gen.[a] 13) //Gen.[b] inter scholia pag. 229. 25. et 230. 4., sed ab utroque scholiis ad Vs. 17. 18. diremptum. 14) αὐτῷ et δηλονότι om. Gen.[b] 16) *Hom. Od.* 1, 512. — χειρῶν ἐξ Ὀδ.] Gen.[b], ἐκ τῶν Ὀδ. χειρῶν vulg. — Ὀδυσῆος] Ὀδυσσέως vulg. — ἁμαρτήσεσθαι] L. Gen.[b], -σασθαι vulg. 17) ἔτι] ὅτι cod. 18) //Gen.[a] Lips. 19) ὑπὸ τοῦ φιλουμένου M. 20) ἐχθραίνοντος] Gen.[a] Lips., ἐχθαίροντος vulg. 21) καθὰ Gen.[a] 21) τὰ ἐχθρά Lips. 24) //* Lips. εἰς .... ἐξεπίτηδες — ἀκούουσα ζηλ. με — ἐπὶ θαύματος ... ἐπίκλ. — διαρρεῖται.

ἔρωτα διεγείρων αὐτὴν οὐ προσβλέπω ἐξεπίτηδες, καὶ ἄλλην τινά φημι γυναῖκα ἔχειν. ἡ δὲ ἀκούουσα ζηλοτυπεῖ με ὦ Παιὰν καὶ διαρρεῖται. ἐπὶ θαύματος καὶ χαρᾶς ἐνταῦθα ἡ ἐπίκλησις.

Vs. 28.

Vet. *Οἴστρει παπταίνουσα*: τὸν οἶστρον τοῦ μύωπος Σώστρατος διαστέλλει. οἶστροι δέ εἰσι πολέμιοι τοῖς βουσίν· ὅταν γὰρ δάκνωσιν αὐτούς, οἰστρεῖν ποιοῦσι καὶ τρέχειν πολλὴν ὁδὸν μετὰ βοῆς ἐν τοῖς πεδίοις καταλιπόντας τὸν νομόν. μεταφορικῶς οὖν φησὶν ὁ Θεόκριτος τὴν Γαλάτειαν οἰστρεῖν καὶ δρομαίαν ἔρχεσθαι πρὸς τὰ ἄντρα καὶ τὰς ποίμνας τοῦ Κύκλωπος. — (*Οἰστρεῖν παπταίνοισα*: ἤγουν ἔρωτι ὡς ὑπὸ οἴστρου πεπληγμένη. *L. Gen.[b.]) — (*Οἰστρῇ παπταίνουσα*: ἤγουν ἀκολασταίνει. τὸ δὲ παπταίνουσα ἀντὶ τοῦ περιβλέπουσα. p.)

Rec. (Μετὰ οἴστρου ἐξερχομένη ἀποβλέπει πρὸς τὸ ἄντρον τὸ ἐμόν. *1. *2. N. Y. *Lips.)

Vs. 29.

Vet. *Σῖγα δ' ὑλακτεῖν νιν καὶ τᾶ κυνί*: λείπει τὸ ἐπέταξα· ἤγουν ἐπέταξα τῇ κυνὶ σιγᾶν καὶ μὴ ὑλακτεῖν.

25) Ἀλλὰ καὶ ἐγὼ οὐδόλως προσβλέπω αὐτὴν ἀντιλυπῶν. 4. L. — Ἀλλὰ καὶ ἐγὼ αὐτὸς κνίζω αὐτήν. 23. — Λυπῶν αὐτήν. E. N. — Οὐ προσβλέπω αὐτήν, ἀλλὰ στρέφω τὴν κεφαλὴν ἐξεπίτηδες. M. οὐ πρὸς αὐτὴν ὁρῶ. E.

27) [*Ὦ Παιάν*:] φεῦ. E. P. ἐπιφώνημα θαυμαστικόν. M. — Δαμάζεται, διαρρεῖται. M.

28) Μετὰ οἴστρου ἔρχεται. E. μετὰ οἴστρου ἐρχομένη ἀποβλέπει. M. διερχομένη ἀποβλέπει. P. — Ζητοῦσα. M. ἐπιτηροῦσα. E. μετὰ μανίας βλέπουσα. C.

---

2) ἀκούουσα] Lips., ἀκούσασα vulg. 2) ζηλωτυποῖ ante Brub. II, quae ζηλωτυπεῖ, recte Xyl. 6) //Gen.[b.] ubi *οἰστρῇ παπταινοῦσα*, et Phav. 7) Σώστρατος om. L. Gen.[b.] Phav., διαστ. τ. οἶ. ἀπὸ τ. μ. Gen.[b.] Phav. 7) οἶστροι δέ εἰσι πολέμιοι] Gen.[b.] Phav., οἶστρος δέ ἐστι πολέμιος vulg. 9) ἐν τοῖς ... νομὸν om. Gen.[b.] Phav., qui pro sequentibus habent καὶ τὴν Γαλ. οὖν οἰστρεῖν φησὶν ὁ Θ. κατὰ μεταφοράν. (ὑπὸ γὰρ τοῦ οἴστρου πεπληγμένη παπταίνει καὶ στοχάζεται Phav.) 12) ἤγουν om. L. 13) ἔρωτι ὡς] ἔρωτι καὶ L., om. Gen.[b.] 16) οἴστρῳ 1. 2. — περιβλέπει N. Y. 19) //Om. Gen.[a.b.] Lips. — 21) ἀδόλως 4. — προσβλέπων L. — ἀντιλυπῶ L., om. 4., sed *κνίζων*, ἀντιλυπῶν ex hoc tanquam separata glossa post sequentem profertur, omnibus tribus uno siglo Vat. 4. apposito. Attamen mediam codici 23. vindicare ausus sum.

Vs. 30.

Rec. Ἐκνυζᾶτο ποτ' ἰσχία ῥύγχος ἔχουσα: ἡ κύων δηλονότι.

Vet. Ἐκνυζᾶτο: ἔσαινε καὶ κατεθώπευε· κνυζηθμὸς δὲ λέγεται ἡ τῶν κυνῶν ἄσημος ὑλακή. — (Ἰσχία ποτὶ ῥύγχον: Gen.[b]) τὸ στόμα ἔχουσα ἀναμέσον τῶν ἰσχίων αὐτῆς. (οὕτω γὰρ κοιμῶνται οἱ κύνες. L. Gen.[b] ἰσχίον ἐστὶ τὸ ὑπὸ τὴν ὀσφὺν ὀστοῦν, ὃ καὶ γλουτὸς καλεῖται καὶ κοτύλη παρὰ τὴν κοιλότητα. Gen.[b]) — Ἰσχία δὲ τὰ ὑπὸ τὴν ὀσφὺν ἐξ ἑκατέρων τῶν μερῶν ὀστᾶ, ἐν οἷς ἔγκειται τὸ ἱερὸν ὀστοῦν. ἔχουσι δὲ τὰ τοιαῦτα ὀστᾶ τὰ λεγόμενα ἰσχία, κοιλότητάς τινας, εἰς ἃς αἱ κεφαλαὶ τῶν μηρῶν ἁρμόζονται. αἱ δὲ κοιλότητες αὗται καὶ γλουτὰ λέγονται, καὶ κοτύλαι παρὰ τὴν κοιλότητα. τὸ δὲ ῥύγχος καταχρηστικῶς ἐπὶ τῆς κυνὸς νῦν λέγεται· κυρίως γὰρ ἐπὶ ὀρνέων. — (Τὸ δὲ ῥύγχος τῶν ὀρνέων, καταχρηστικῶς δὲ ἐπὶ τῆς κυνός. λέγεται δὲ νῦν τὸ ῥύγχος τὸ ἄκρον τῆς ῥινὸς τοῦ κυνός. L.)

Rec. Ἄλλως. Ῥὶς λέγεται ἐπὶ ἀνθρώπων, ῥύγχος ἐπὶ κυνῶν, ῥάμφος ἐπὶ ὀρνέων.

Vs. 31. 32.

Rec. Πεμψεῖ ἄγγελον: μηνύειν ἐστὶ τὸ κλέπτοντά τινα δεικνύειν ἢ φεύγοντα ἢ τοιοῦτό τι ποιοῦντα· καὶ μηνυτὴς ἐπὶ τούτων. μηνύειν καὶ τὸ σημαίνειν ἁπλῶς καὶ δηλοῦν, οἷον „ὁ τῆς κορώνης κρωγμὸς χειμῶνα μηνύει.“ ἀγγέλλει δέ

29) Ἠρέμα. M. Lips. σιωπηλὸς ἔσο. C. ἠρέμα καὶ μετὰ σιγῆς βαΰζειν ἐπιτάττω. P. ἠρέμα ἐπέταξα. Bar. Laud. — [Κυνί:] ἐπιτάττω. Lips.

30) Ἐκανακίζετο κοιμωμένη ἡ κύων. 4. E. L. ἡσύχως ὑλάκτει ἡ κύων. M. ἐκοιμᾶτο. P. — Μέσον τῶν σκελῶν αὐτῆς τὴν ῥῖνα ἔχουσα. E. πρὸς τὰ ἰσχία τῆς Γαλατείας. P. Lips. ῥογχαλίζουσα. P. ῥύγχος τῶν ἰχθύων, ῥάμφος τῶν ὀρνέων. L.

---

2) //* Lips. ἡ κύων. 4) //Gen.[b] omissis verbis ante κνυζηθμός. Haec ante Reisk., qui primus ἐκνυζᾶτο lemma esse vidit, praecedenti scholio adhaerebant, etiam apud Phav. s. v. ἐκνυζᾶτο, ubi deest δηλονότι. 4) κνυζηθμὸς ... ὑλακὴ vulgo post ἰσχίων αὐτῆς leguntur, in Gen.[b] post ἁρμόζονται lin. 12, unde transposui. — δὲ] Gen.[b], γὰρ Phav., om. vulg. 6) //Gen.[b], ubi ἀνὰ μέσον ἰσχ. ἔχ. sine αὐτῆς. 9) τὸ κοιλ. cod. 9) //Om. Gen.[a.b.] Lips., nisi quod verba εἰς ἃς αἱ κεφ. τ. μ. ἁρμόζονται in Gen.[b] praecedenti scholio adhaerent. 18) //Gen.[a] Lips. sine λέγεται. 19) ἐπὶ τῶν ὀρνέων Gen.[a] 21) //Gen.[a] Lips. — πεμψεῖ om. Gen.[a] 24) κραγμὸς Gen.[a] — 28) κοιμ. om. 4. 30) τὰ ἰσχία om. P.

τις λόγους τινὸς πρός τινα, ἤγουν διακομίζει, καὶ ἀγγέλλειν τὸ ἀφ' ἑαυτοῦ τινα λέγειν περί τινος· καὶ ἄγγελος ἐπὶ τούτων. λέγει δέ· ἴσως δὲ αὐτὴ ὁρῶσά με ταῦτα ποιοῦντα, πέμψει ἄγγελον τὸν ἀπαγγελοῦντά μοι πρέπον τι περὶ αὐτῆς. — *Αὐτὰρ ἐγὼ κλᾳσῶ θύρας*: (κλείσω. Gen.[a]) κλείω, ἀφ' οὗ μέλλων κλείσω, παρὰ τοῖς κοινοῖς ἐν χρήσει. οἱ ποιηταὶ δὲ κληίσω λέγουσι διαλύσει τῆς διφθόγγου καὶ τροπῇ τοῦ ε εἰς η, εἶτα τροπῇ τοῦ η εἰς α καὶ προσγραφομένου τοῦ ἰῶτα κλᾴσω καὶ κλᾳσῶ Δωρικῶς. δοκεῖ δὲ καὶ κληΐζω εἶναι παρ' αὐτοῖς ἐπὶ τούτου τοῦ σημαινομένου, ἀφ' οὗ μέλλων Δωρικῶς κληΐξω, καὶ τροπῇ τοῦ η εἰς α καὶ προσγραφομένου τοῦ ἰῶτα κλᾴξω καὶ κλᾳξῶ, ἀφ' οὗ καὶ κλᾲξ ἡ κλείς.

Vs. 33.

Vet. (*Αὐτούς μοι στορέσειν*: Gen.[b] ἢ διακονήσειν ἐμοί, ἢ γνησία μοι γυνὴ εἶναι. p. Vat. *E. L. Gen.[b])

Rec. *Τᾶσδ' ἐπὶ νάσω*: τῆς Σικελίας δηλονότι.

Vs. 34—36.

Rec. Καὶ γὰρ οὐκ ἔχω, ὡς λέγουσιν, εἶδος αἰσχρόν, ἤγουν ἄσχημον· ὄντως γὰρ πρὸ ὀλίγου γαλήνης οὔσης εἰς τὴν θά-

32) Ἕως ἂν πίστιν δῶ. N. P. Lips. ἕως ἂν εἰς πίστιν. M. — [*Ὀμόσσῃ*:] διὰ τὸ μέτρον. M.

33) Στρώσειν, καλλωπίσειν. M. στρώσειν. Lips. — Τὴν καλὴν στρωμνήν. M. P. Lips. — Ἐπὶ ταύτης τῆς νήσου, ἤγουν τῆς Σικελίας. M. N. Lips.

34) Δή. M. Lips. — Θεωρίαν. L. M. — Αἰσχρόν, τὸ κοινῶς ἄσχημον. M. Y. Lips. — Λέγουσιν οἱ ἄλλοι Κύκλωπες. E. N.

35) Καὶ γὰρ πρώην κατωπτρισάμην εἰς τὴν θάλασσαν. L.

36) [*Ἐμίν*:] ἐμοῦ. L. M. Lips.

---

1) τίνας πρός τινας Gen.[a] 2) τι λέγειν M. 2) καὶ ἄγγ. καὶ ἐπὶ Gen.[a] 3) λέγει δὲ seqq. om. Gen.[a] Lips. 5) //Gen.[a] Lips. Phav. c. lemm. κλασῶ. 5) ἀφ' οὗ] 1. 2. Lips. Phav., ἀφ' οὗ ὁ Gen.[a], ὁ vulg. 7) κληΐζω Gen.[a], κληΐσκω Phav., ubi desunt οἱ et δέ. 7) καὶ τροπῇ τοῦ η εἰς α προσγρ. mediis omissis Gen.[a] Alterum τροπῇ et κλᾴσω καὶ om. Phav., ubi bis προσγεγραμμένου. 10) Δωρ. κληΐζω Phav. 12) κλᾴξω καὶ] Lips., κλάξω Phav., om. vulg. 12) κλᾲξ] Gen.[a], κλᾷξ Lips., κλὰξ vulg. 14) διακ. (sine ἢ) ἤγουν γν. μοι γυνὴ γένηται E. 16) //* Lips. ἤγουν τῆς Σ. 18) //* Lips. αἰσχρὸν τὸ κοινῶς ἄσχημον — ὄντως — πρώην, πρὸ ὀλίγου — εἰς θάλασσαν — ἤγουν εὔμορφα — ἐμοῦ ἀπὸ κοινοῦ — ἐμοῦ — ἀντὶ τοῦ ὁ εἰς ὀφθαλμός. 18) αἴσχιον ante Heins. — 22) τὴν om. M. P. 27) πρώην] Duebn., πρῶτον cod.

λασσαν ἔβλεπον, καὶ εὔμορφα μὲν ἐμοῦ τα γένεια — ἀπὸ κοινοῦ τὸ ἐμοῦ — εὔμορφος δὲ ἐμοῦ ὁ εἷς ὀφθαλμός.

Vs. 37. 38.

Vet. *Ὡς παρ' ἐμὶν κέκριται:* *οἱ γὰρ μονόφθαλμοι κατὰ φύσιν τοῖς οὐ μονοφθάλμοις ἄμορφοι δοκοῦσιν· οὐχ ὁμοίως γὰρ κρίνουσιν ἑκάτεροι τοὺς ἀνομοίους τὴν φύσιν.* — *Τῶν δέ τ' ὀδόντων:* *τῶν δὲ ὀδόντων ἡ λευκότης λευκοτέρα ἐδείκνυτο Παρίας λίθου. Παρία γάρ ἐστι λίθος λευκή.*

Vs. 39.

Vet. *Ὡς μὴ βασκανθῶ δέ:* *ἵνα δὲ μὴ βασκανθῶ, τρὶς εἰς τὸν ἐμὸν ἔπτυσα κόλπον. ποιοῦσι γὰρ καὶ μέχρι τοῦ νῦν μάλιστα τοῦτο αἱ γυναῖκες τὸ νεμεσητὸν ἐκτρεπόμεναι. Καλλίμαχος·*

δαίμων, τῇ κόλποισιν ἐπιπτύουσι γυναῖκες.

Vs. 40.

Rec. *Ταῦτα γὰρ ἁ γραΐα με Κοτυτταρὶς ἐξεδίδαξεν:* *ἤγουν τὸ πτύειν ἐπὶ κόλπον ἐδίδαξε ποιεῖν με ἐπὶ τῷ μὴ βασκαίνεσθαι.*

Vet. *Κοτυταρὶς* *δὲ ὄνομα κύριον, ἢ παρὰ τὸν κότον ἴσως πεποιημένον — καὶ γὰρ οἱ γέροντες ὀξύθυμοί εἰσιν. (καὶ Ἀριστοφάνης·*

δύσκολον γερόντιον —

ἢ Κοτυτώ ἐστι θεός, παρ' ἧς ὠνόμασται. Q.) — *Ἢ (Ἁ γραΐα Κοττυταρίς:* Gen.[b]) *ἀπὸ τῆς παρὰ Δωριεῦσι τιμωμένης*

37) *Κατ' ἐμὴν κρίσιν.* E. L. *ὡς ἐγὼ κρίνω.* C.
38) [*Παρίας:*] *οὕτω καλουμένης. Πάριος λίθος ἤγουν λευκός, καὶ Πάρος νῆσος.* L. — *Ἐδείκνυεν, ὁ πόντος δηλονότι, ἡ θάλασσα.* M.
39) *Ἵνα ἀπὸ ὥρας λάβω.* P. *ἤγουν πάθω τι ὑπὸ βασκανίας.* E. N.

---

1) ἐμοῦ bis] Lips., ἐμοὶ vulg. 1) ἀπὸ κοινοῦ τὸ] ante Brub. II. (ubi ἀπὸ κοινυῦ τὸ) et Reisk. seqq., ἀπῳκειοῦτο Xyl. vulg. 2) δὲ ἐμοῦ] Lips., δὲ vulg. 4) //Gen.[b] cum falso lemmate ὡς με λέγοντι. — καὶ γὰρ οἱ Gen.[b] 5) οὐ om. Gen.[b] 6) ἑκάτεροι] L. P. Gen.[b], ἀμφότεροι vulg. 6) ἀνομοία Gen.[b] 7) //Om. Gen.[a.b.] Lips. 10) //Om. Gen.[a.b.] Lips. 11) μέχρι τοῦ νῦν om. 3. 14) *Callim. fr.* 235. — τῇ] Boisson, τὶ ante Heins., τοὶ vulg. 16) //*Lips. ποιεῖν δηλονότι ἐπὶ τῷ μὴ β. 19) //Om. Gen.[a.b.] Lips. — Κοτυταρὶς] ante Heins., Κοτυττ. vulg. 20) ἴσως τοῦτο Q. 20) πεποιημένον] Q., πεποίηται vulg. 20) ὀξ. γὰρ οἱ γέρ. εἰσιν Q. λ 22) *Arist. Eqq.* 42. 23) κοτύ cod. 23) //Gen.[b] ante schol. Vs. 33.

Κοτυτοῦς (ὠνόμασται Κοτυταρίς. Gen.[b.]) ἦσαν δὲ Τιμανδρέως θυγατέρες Κοτυτὼ καὶ Εὐρύθεμις, ἃς ἐτίμησαν Ἡρακλεῖδαι διὰ τὸ συναγωνίσασθαι αὐτοῖς κατὰ τὴν εἰς Πελοπόννησον ἄφιξιν, ὡς οἱ περὶ Ἱππόστρατον ἀποφαίνουσιν. — (Ἡ δὲ Κοτυταρὶς ὠνόμασται ἀπὸ τοῦ κότου· ἕτοιμοι γὰρ εἰς κότον οἱ γέροντες. L. Gen.[b.] — Ἔστι δὲ Κοττυτὼ Δωρικὴ θεός, παρ' ἧς ὠνόμασται. L. *N. Gen.[b.] — Ἦν θεὰ Κοττυτὼ λεγομένη, καὶ ἀπὸ ταύτης ὠνόμασται ἡ Κοτυτταρίς. E.)

Vs. 41.

Rec. Παρ' Ἱπποκίωνι: ὄνομα κύριον, ἢ ὄνομα τόπου, (ἐν ᾧ ἦσαν οἱ θερισταί. E.)

Vs. 46.

Rec. Νίκη μὰν οὐδ' ἄλλος: ἐνίκα μὲν οὐδ' ἕτερος, ἔξω δὲ ἥττης ἀμφότεροι ἐγένοντο.

Vet. (Νίκη μὰν οὐδ' ἄλλος: ἀντὶ τοῦ οὐ γὰρ πρός τινος ἡττήθησαν. ἀνάσσατοι δέ, ἤγουν ἀήττητοι, ἀνίκητοι· τουτέστιν οὐδεὶς αὐτοὺς ἐνίκησεν. L. Gen.[b.])

41) Πρώην, πρὸ ὀλίγου. M. Lips. — Θερισταῖς, ἤγουν χάριν τῶν θεριζόντων. M. χάριν τῶν θεριζόντων. Lips. — [Ἱπποκόωνι:] τόπῳ. M. — Ηὔλει. M. Lips. συνῆδεν. M. συνεστρέφετο. C.

43) [Χὠ μέν:] ὁ Δαμοίτας. M. Lips. ὁ Δάφνις. E. N. — [Τῷ:] τῷ Δαμοίτᾳ. E. N. — [Ὁ δέ:] ὁ Δάφνις. M. Lips. ὁ Δαμοίτας. E. N. — [Τῷ:] τῷ Δάφνιδι. E. N. — Καλῶς κατεσκευασμένον. M. Y. Lips.

45) [Αὐτίκα:] ἅμα. M. N. P. Lips.

46) Ἐνίκησε μὲν οὐδείς. C. L. οὐχ ἕτερος τὸν ἕτερον ἐνίκησεν. E. οὐδέτερος ἐνίκησεν. N. — Ἰσοπαλεῖς. L. ἀνίκητοι δέ, ἔξω τοῦ ἥττονος ἀμφότεροι ἐγένοντο. P.

---

1) Κοττοῦς et infra Κοττὼ vulg. 1) κυτταρὶς cod. 1) Τιμάνδρεως ante Heins., Τιμάνδρως Gen.[b.] 3) αὐτοῖς om. L. Gen.[b.] 4) ὡς οἱ κτλ. om. Gen.[b.] 5) Κοττυταρὶς et κότα Gen.[b.] 6) Δωρία (L.) N. 10) //Om. Gen.[a.b.] Lips. 13) //*Lips. ἐνίκα — οὐδέτερος κτλ. 16) ἀνίκητοι om. Gen.[b.]

Idyll. VII.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Θαλύσια ἢ ἐαρινὴ ὁδοιπορία. — (Τῶν εἰς Κομάταν (Θαλύσια ἢ Gen.[b]) ἐαρινῶν (Δωρίδι Gen.[b]) ἢ ἐαρινὴ ὁδοιπορία. L. Gen.[b] — Λυκίδας καὶ Θεόκριτος. B. C. D. K. Σικελιώτης ἦν ὁ Θεόκριτος. B. D. — Προλογίζει δὲ ὁ Θεόκριτος. M. P. Gen.[a] — Διηγηματικὸν τὸ εἰδύλλιον. B. D. K. M. — Δωρίδι. K. L. M.)

(Δημητρίου τοῦ Τρικλινίου. M. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων ρνζ', ὧν τελευταῖος· δράγματα καὶ μάκωνας ἐν ἀμφοτέρῃσιν ἔχοισα. M. Gen.[a] — Τοῦ αὐτοῦ Μοσχοπούλου σχόλια. M.)

Vs. 1. 2.

Rec. Ἧς χρόνος ἀνίκ' ἐγὼ καὶ Εὔκριτος ἐς τὸν Ἀλέντα εἵρπομες ἐκ πόλιος· σὺν καὶ τρίτος ἄμμιν Ἀμύντας: χρόνος τὸ συμπαρεκτεινόμενον τῇ συστάσει τοῦ κόσμου διάστημα. λέγεται δὲ ἐνίοτε μὲν καθόλου, ἐνίοτε δὲ ἐπὶ μέρους, ὡς ἐνταῦθα. καιρὸς δέ ἐστι χρόνος δέων. λέγονται καιροὶ καὶ αἱ τοῦ ἐνιαυτοῦ ὧραι. ἦν χρόνος, ὁπότε ἐγὼ καὶ ὁ Εὔκριτος καὶ τρίτος σὺν ἡμῖν ὁ Ἀμύντας εἵρπομεν, ἀντὶ τοῦ ἀπηρχόμεθα, (εἰς τὸν Ἀλέντα ἐκ τῆς πόλεως. 2. Lips.) — (ἉΛΕΝΤΑ: τόπος ἐν Κῷ, ἐν ᾧ ἐτελεῖτο τὰ Θαλύσια. ὠνομάσθη δὲ οὕτως ἀπὸ Ἀλέντου βασιλέως. E. N.)

Vet. (Ἥρπομεν: Gen.[b]) τὸ ἕρπειν κυρίως ἐπὶ ὄφεων καὶ σκωλήκων καὶ ἑτέρων ἀπόδων ζῴων λέγεται. καταχρηστικῶς δὲ καὶ ἐπὶ τῶν νωθέστερον καὶ ἀσπουδεὶ πορευομέ-

2) Ἐβαδίζομεν καὶ ἐξερχόμεθα. C. P. — Τῆς Συρακούσης ἢ τῆς Κῶ δηλονότι. K. M.

---

3) Κομάτα Gen.[b] 9) σύγκειται om. M. 9) ἀκατ. om. Gen.[a] 10) ρνξ' Gen.[a] 10) ἀμφοτέροισιν M. 11) ἔχοισα] ἔχοισαι M., ἐχοῖσα Gen.[a] 13) //Gen.[a] sine lemmate et Lips. 18) ἧς pro ἦν ante Brub. 19) ὁ Εὔκρ.] Lips., ὁ om. vulg. 19) ὁ Ἀμ.] Gen.[a] Lips., ὁ om. vulg. Sequentia desunt in Gen.[a] 19) εἵρπομεν] Lips., εἵρπομες vulg. 20) ἀπηρχόμεθα Lips. Kiessl., ἀπεῤχ. Y. vulg. 20) Ἅλεντα 2. 21) ἐν Κῷ om. N. 21) ἐτελοῦντο N. 22) Ἀλέντου] E.[4], Ἀλύντου E.[3], Ἁλόντου N., quae lectio ad p. 237. 4 relata. In Borb. ad V, 123 man. rec. scholium legitur: Ἧς χρόνος: τόπος ἐν Κῷ ἀπὸ Ἀλεντίνου βασιλέως. 23) //Gen.[b] Phav. s. v. εἵρπομεν. — ὄφεων] Gen.[b], τῶν ὄφεων Phav., ὄφεως vulg. 24) καταχρ. .... πορ. om. Phav., qui tum ἐνίοτε δὲ καί.

νων, (καὶ Ὅμηρός φησι L.). νῦν δὲ ἐπὶ τοῦ βαδίζειν λέγεται. — Ἐς τὸν Ἀλέντα: Ἀλεὺς ἢ δῆμος τῆς Κῶ οὕτω καλούμενος ἀπό τινος Ἀλέντος, ἢ τόπος ἐν Κῷ οὕτως ὀνομαζόμενος ἀπὸ Ἀλεντίου τινὸς βασιλέως. ἔστι δὲ Ἀλεὺς καὶ ποταμὸς Σικελίας.

Vs. 3—9.

Rec. Θαλύσια ἡ ἑορτή, ἣν ἐτέλουν (αὐτῇ Lips.) τῇ Δήμητρι μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν. Ὅμηρος·

Θαλύσια γουνῷ ἀλωῆς.

Vet. Καὶ Φρασίδαμος: οὗτος ὁ καὶ περισσός. τὸ δὲ ἑξῆς· τῇ Δηοῖ γὰρ ἔτευχε Θαλύσια ὁ Φρασίδαμος κἈντιγένης. — Δύο τέκνα Λυκώπεος: γράφεται καὶ Λυκώπεως διὰ τοῦ ω μεγάλου, ὅπερ Αἰολικῶς προπαροξύνεται. ἐπειδὴ οἱ Αἰολεῖς Ἀχίλλευς καὶ Πήλευς καὶ βασίλευς βαρυτόνως λέγουσιν — ὁμοίως καὶ τὸ Λυκώπευς — διὰ τοῦτο ἡ τῶν εἰς ευς γενικὴ παρ' αὐτοῖς προπαροξύνεται. — Εἴτι περ ἐσθλὸν χαῶν τῶν ἔτ' ἄνωθεν ἀπὸ Κλυτίας τὲ καὶ αὐτῶ Χάλκωνος: χαὸν λέγεται τὸ ἀγαθὸν παρὰ Λακεδαιμονίοις. χαὸν δὲ καὶ τὸ εὐγενὲς ἢ τὸ ἀρχαῖον. ὁ δὲ νοῦς τοιοῦτος· εἴ τί ἐστιν ἀγαθὸν ἀπὸ τῶν ἔτι ὄντων ἀρχαίων ἀγαθῶν τῶν ἀπὸ τῆς Κλυτίας τε καὶ αὐτοῦ τοῦ Χάλκωνος, οὗτοί εἰσι τὸ

3) Τῇ Δήμητρι. Lips. τῇ Γῇ. L. — Ἐτέλει. Lips. — [Θαλύσια:] ἡ τῶν καρπῶν τῶν ἐπὶ τῆς γῆς συγκομιδή. L.
4) Ἡ εὐθεῖα ὁ Λυκωπεύς. Y. Lips. — [Εἴ τι περ ἐσθλόν:] ὑπάρχει αὐτοῖς. L. ὑπάρχοντες δηλονότι. E. ὄντες. M. ἀγαθὸν ὄν. P.

---

1) παρειλήφαμεν pro λέγεται 3. Gen.[b.] 2) //Om. Gen.[a.b.] Lips., habet Phav. s. v. Ἀλεύς. 2) Ἀλεὺς — Ἀλέντος — Ἀλεντίου] ante Heins. et Phav., Ἁλ. vulg. 3) ὀνομαζόμενος pro καλούμενος 3. 4) Ἀλεὺς] Scult. et Phav., ubi δὲ καὶ Ἀλεὺς ποτ., Ἄλευς antea, Ἁλεὺς Heins. vulg. 7) //Lips., unde accessit ἡ. 8) κατὰ pro μετὰ P. 8) Ὅμ. seqq. desunt in Lips. 9) *Hom. Il. I*, 534. — γοῦν ἀλωῆσι ante Xyl. 10) //Om. Gen.[a.b.] Lips. 11) τῇ Δηοῖ κτλ. Scultetus male ad sequens lemma traxit, unde factum, ut in Ox. I. II. desint. Contra praeeunte Xylandro Reisk. seqq. lemma δύο τ. Λ. praecedenti scholio addiderunt. Nos editiones ante Xyl. sequuti sumus. 12) //Gen.[b.] post scholia ad Vs. 7, ubi τὸ Λυκώπεως Αἰολικῶς κτλ. lemmate et reliquis omissis; Phav. hoc initio Λυκώπεος Αἰολικῶς παροξύνεται. ἐπεὶ γὰρ οἱ. 13) Vulgo inde a Brub. ante ἐπειδὴ comma ponebatur, ante διὰ τοῦτο punctum (antea duo cola), quod mutavi. 14) καὶ βασ. om. Gen.[b.] Phav. 15) ἤει pro ἡ Gen.[b.] — ευς] Call. Phav., έσ Bas. II, εσ Brub. II, ως Xyl. vulg. 16) αὐτῶν Gen.[b.], παροξύνεται Phav. 16) //Gen.[b.] c. lemm. χαῶν. 18) χαὰ γὰρ τὰ ἀγαθὰ παρὰ Λ. χαὸν δὲ τὸ εὐγ. ἢ τὸ ἀ. λέγεται Gen.[b.], ubi sequentia desunt.

ἀγαθὸν ἐκεῖνο, ἤγουν ὁ Φρασίδαμος καὶ ὁ Ἀντιγένης. — (*Ἀπὸ Κλυτίας: Κλυτία ὄνομα κύριον, Εὐρυπύλου τοῦ βασιλέως τῶν Κῴων γυνή, θυγάτηρ δὲ Μέροπος. φησὶν οὖν ὅτι συγγενεῖς οἱ νεανίαι Χάλκωνος.* E. L. Gen.[b] *Εὐρύπυλος ὁ Ποσειδῶνος υἱὸς Κῴων βασιλεύων γήμας Κλυτίαν τὴν Μέροπος Χάλκωνα καὶ Ἀνταγόραν ἔτεκεν, ἀφ' ὧν οἱ ἐν Κῷ εὐγενεῖς.* p. L. Borb. Gen.[b] *ὁ Χάλκων οὗτος ἵσταται ἐν Κῷ ἀνδριάς, καὶ ἐκ τοῦ ποδὸς αὐτοῦ ἐκρέει πηγή.* p. L.) — *Καὶ σαφέστερον φάναι τοῦτο βούλεται εἰπεῖν ὁ Θεόκριτος, ὅτι ἀπὸ τοῦ ἀρχαίου ἀγαθοῦ γένους τῆς Κλυτίας, τῆς βασιλίσσης τῶν Κῴων, καὶ τοῦ παιδὸς αὐτῆς, τοῦ Χάλκωνος, κατάγονται ὁ Φρασίδαμος καὶ ὁ Ἀντιγένης. οὗτοι μόνοι ἀπὸ πάντων τῶν καταγομένων ἐξ αὐτῶν εἰσὶν ἀγαθοί, καθάπερ καὶ οἱ πρόγονοι αὐτῶν. ἦν δὲ ἡ Κλυτία θυγάτηρ Μέροπος· γαμηθεῖσα δὲ Εὐρυπύλῳ τῷ βασιλεῖ τῶν Κῴων ἐγέννησε τὸν Χάλκωνα τὸν τὴν βασιλείαν τῶν Κῴων διαδεξάμενον.* (*ὁ δὲ Εὐρύπυλος υἱὸς ἦν Ποσειδῶνος. οὗτος Κλυτίαν γήμας ἐγκύμονα τὸν Χάλκωνα καὶ Ἀνταγόραν ἐγέννησεν. ἀπὸ δὲ τοῦ Χάλκωνος κατήγοντο οὗτοι, ἤγουν ὁ Φρασίδαμος καὶ ὁ Ἀντιγένης.* E.) — *Περὶ Εὐρυπύλου δὲ καὶ Κλυτίας ἱστορεῖται, ὅτι οὗτοί εἰσιν οἱ ἐπὶ τῆς Ἡρακλέους πολιορκίας τὴν Κῶ κατοικήσαντες καὶ ὑποδεδεγμένοι τὴν Δήμητραν, καθ' ὃν καιρὸν περιήει ζητοῦσα τὴν Κόρην. ᾗ νήσῳ ἐπιδημήσας ὁ Θεόκριτος ἐφιλιώθη Φρασιδάμῳ.* —

Rec. Ἄλλως. Εἴ τι περ ἐσθλόν: εἴ τι ἀγαθὸν ὄντες ἀπὸ ἀγαθῶν, ἤτοι εὐγενῶν, τῶν ἀρχαιοτέρων — τοῦτο γὰρ δύναται τὸ τῶν ἔτ' ἄνωθεν — καταγόμενοι· ἀπό τε τῆς Κλυτίας λέγω καὶ αὐτοῦ τοῦ Χάλκωνος, ὃς τὴν πηγὴν τὴν

5) [*Χαῶν:*] *εὐγενῶν, πλουσίων παρὰ Λακεδαιμονίοις.* L. *τῶν ἀπὸ ἄνωθεν εὐγενῶν.* K. *τῶν παλαιῶν.* M. — *Οἰκισταὶ τῆς Κῶ ἦσαν οὗτοι.* C.

---

3) *γυνή, ἥντινά φασι θυγατέρα Μέροπος εἶναι* E. 4) *Εὐρύπυλος* seqq. in p. L. post *Ἀντιγένης* lin. 1. legi traduntur. 5) *Ποσ. Κλυτίαν γήμας ἐν Κῷ Λάκωνα* mediis omissis Gen.[b], *Κῷ* pro *Κῴων* et *Μερόπης* Borb. 6) *Ἀνταγόραν*] L. Gen.[b] et infra E., *Ἀρισταγόραν* p. Borb. 6) *ἐγέννησεν* Gen.[b] 6) *οἱ εὐμνεῖς ἐν Κῷ* Gen.[b] 8) // Om. Gen.[a.b.] Lips. 13) *καθάπερ*] add. p. 3. 14) *ἐγαμήθη δὲ Εὐρ. τ. β. τ. Κῴων* E. sequentibus *ὁ δὲ Εὐρ. κτλ.* 17) *Κλυτίαν ... ἐγένν.*] E.[1], *ἐγέννησε Κλ. γήμας τ. Χ. καὶ Ἀ.* sine *ἐγκύμονα* E.[3] 20) //Gen.[b], ubi *οὗτοι δέ εἰσιν* omissis prioribus. 21) *βασιλείας* pro *πολ.* L. Gen.[b] 25) //Gen.[a] Lips. 26) *ἀρχαιοτέρων*] 2., *-τάτων* vulg. 28) *λέγει* Gen.[a]

Βούρριναν [ἢ *Βούρειαν* — *γράφεται γὰρ καὶ οὕτως* —], *ἥτις, φασίν, οὕτως ὠνομάσθη διὰ τὸ παραπλήσιον εἶναι τὸν τόπον, ὅθεν ῥεῖ, μυκτῆρι βοός, ἐκ ποδὸς ἤνυεν, ἀντὶ τοῦ ἀναδίδοσθαι ἐποίει, καλῶς ἐρεισάμενος τῇ πέτρᾳ τὸ γόνυ. αὐτὸς γάρ, φασίν, ἐπιδημήσας τῷ τόπῳ τὴν ἔκρηξιν τῆς πηγῆς ταύτης εἰργάσατο· εἶτα χαλκοῦν ἀνδριάντα εἰς τύπον ἑαυτοῦ κατασκευάσας, ἤρεισεν αὐτὸν τῇ πέτρᾳ, ὅθεν ἡ πηγὴ ῥεῖ, καὶ ἀπὸ τοῦ ποδὸς αὐτοῦ ἐποίησεν αὐτὴν ἀναδίδοσθαι.*

Vel. *Βούρειαν ὃς ἐκποδὸς ἄνυε κράναν εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ: ὅτε ὁ Χάλκων ἐβασίλευσε τῶν Κῴων, εὑρέθη ἔν τινι τόπῳ τῆς Κῶ ἡ πηγὴ μὴ πρότερον οὖσα, ἧς νῦν ὁ Θεόκριτος μέμνηται. εὑρέθη δὲ οὕτως. ἀνηγγέλθη τῷ βασιλεῖ παρά τινος τῶν περὶ ταῦτα δεινῶν, ὅτι ὕδατος ὁ τόπος ἐκεῖνος ἐνδομυχεῖ. καὶ ὁ βασιλεὺς αὐτεπιστατήσας τῷ τόπῳ ηὐτούργησεν, ὅσα συνέτεινε πρὸς τὴν τοῦ ὕδατος ἔκρηξιν. τοῦτο γοῦν δηλοῖ τὸ ὃς ἐκ ποδὸς ἄνυε κράναν, ὅτι ὁ Χάλκων διὰ τῶν οἰκείων ποδῶν καὶ δι' αὐτεπιστασίας ἤνυσεν, ἤγουν κατειργάσατο καὶ κατώρθωσε, τὴν κρήνην. τὸ δὲ εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ τουτό ἐστιν, ὅτι αὐτὸς ὁ Χάλκων, οὐχὶ ὀρθοστάδην ἱστάμενος, ἀλλὰ οὕτω δεῆσαν κάμψας τὸ γόνυ καὶ καλῶς ἑδράσας καὶ στηρίξας τοῦτο τῇ πέτρᾳ τῇ πρὸς τῇ κρήνῃ αὐτοχειρεὶ κατεπράξατο τὴν τοῦ ὕδατος ἔκρηξιν. Βούρειαν δέ, ὅτι ἀπὸ κεφαλῆς βοὸς ἐκ λίθου πεποιημένης ἐδόκει τὸ ὕδωρ ἐκρεῖν, οὕτω τοῦ Χάλκωνος μηχανησαμένου τε καὶ κατασκευάσαντος. ἢ Βούρεια ἡ πολύρρους ἀπὸ τοῦ βου ἐπιτατικοῦ μορίου καὶ τοῦ ῥέω. βούπαις γὰρ [καὶ βουγάϊος] ὁ μέγας παῖς· Ὅμηρος Ἰλιάδος Νῦ βουγάϊε. Νικάνωρ δὲ ὁ Κῷος ὑπομνηματίζων Βούρριναν τὴν κρήνην καλεῖ. συμβῆναι γάρ φησιν ἐξ αὐτομάτου καὶ αὐτοφυῶς βοὸς ῥινὶ παραπλήσιον εἶναι τὸν τόπον,*

6) [*Βούρρειαν*:] *βουρρεῖναν, μέγα ἔχουσαν ῥεῦμα*. K. M. *μᾶλλον ῥέουσαν*. C. — *Ἐκ τῆς ἰδίας ἐπιστασίας*. E. — *Ἀνήγειρε*. L. *ἀνεδίδου, ἐπλήρου*. K.

---

1) *Βούριναν* Gen.[a] 1) Circumscripta om. Gen.[a] Lips. 2) *τόπον*] 2. M. Gen.[a] Lips., *πόρον* vulg. 3) *ἤνυεν*] Gen.[a] Lips., *ἄνυεν* vulg. 5) *φησὶν* Gen.[a] 6) *τύπον*] 2. Lips. et ante Heins., *τύπου* Gen.[a], *τόπον* vulg. 9) //Om. Gen.[a.b.] Lips. 14) *ἀντεπ.* vulg. ante Reisk. 16) *γοῦν*] 3., *οὖν* vulg. 22) *αὐτοχειρὶ* Gaisf. tac. 28) *Ἰλιάδος Νῦ*] *δὴ νῦν* vulg. — *Il. N*, 824. 29) *Βούρριναν*] *Βούρριν* p. vulg., *Βύρριν* Reisk. seqq.

ἐξ οὗ τὴν κρήνην ἐκραγῆναι ὁ Χάλκων ἐποίησεν. ἄλλοι δέ φασιν, ὅτι ὁ Χάλκων ἀνδριάντα ἔστησεν εἰς τὸν τόπον, ἐν ᾧ τὸ ὕδωρ εὑρέθη, καὶ ἐκ τοῦ ποδὸς τοῦ ἀνδριάντος τὸ ὕδωρ ἐξήρχετο· καὶ νοοῦσι τὸ ὃς ἐκ ποδὸς [ἄνυεν ἢ] ἄνυσε κράναν εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ, ὅτι ὁ Χάλκων ἐκ τοῦ ποδὸς τοῦ ἀνδριάντος ἤνυσε τὴν κρήνην Βούρειαν εὖ καὶ καλῶς καὶ ἐπιστημόνως ἐνερεισάμενος τὸ γόνυ τοῦ ἀνδριάντος ἐν τῇ πέτρᾳ τῇ πρὸς τῇ κρήνῃ. εἰ δὲ τοῦτο οὕτω νοήσεις, νοῆσαι ὀφείλεις καὶ Βούρειαν κρήνην τὴν πολύρρουν καὶ πολυχεύμονα. εἰσὶ δὲ οἵτινες τὸ ἐκ ποδὸς ἐνόησαν τὸ ἔξω τῆς πεπατημένης ὁδοῦ, λέγοντες ὅτι ἡ πηγή, περὶ ἧς ὁ λόγος, οὐκ ἦν κατὰ τὴν δημοσίαν ὁδόν, ἀλλ' ἐκτός. — Βούῤῥιναν: [γράφεται γὰρ καὶ οὕτως.] κρήνη ἡ Βούρρινα τῆς Κῶ, καὶ Φιλητᾶς

νάσσατο δ' ἐν προχοῇσι μελαμπέτροιο ⏑ – ⏓
Βουρρίνης.

Νικάνωρ δὲ ὁ Κῷος ὑπομνηματίζων φησί· Βούρρινα πηγὴ ἐν τῇ νήσῳ ἐστιν, ἢ τὸ ἀφ' ὕψους καὶ τῆλε βοὸς ῥινὶ παραπλήσιος. ⟨Γράφεται καὶ Βούρειαν,⟩ ἢ ὅτι ῥέουσα ἐκ πέτρας διὰ βοὸς κεφαλῆς, (ἢ τὴν μεγάλην διὰ τοῦ βου ἐπιτατικοῦ. βούπαις γὰρ [καὶ βουγάϊος] ὁ μέγας παῖς, καὶ Ὅμηρος Ἰλιάδος Νῦ βουγάϊε. L. Gen.[b]) — Ὃς ἐκ ποδὸς ἄνυε: ἤτοι ταχέως, ἢ ἔξω τῆς πεπατημένης ὁδοῦ. οἱ δέ φασιν ἐκεῖσε ἐφεστάναι ἀνδριάντα καὶ ἐκ τοῦ ποδὸς ἐκχεῖσθαι τὸ ὕδωρ, διὸ καὶ ἔφη· εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ. ἢ σπουδαίως κατήρτισε τὴν κρήνην. καὶ ἡμεῖς φαμὲν ἐκ ποδὸς οἷον εὐθέως· εἰ μὴ μεταφορικῶς ἔταξε τὸ ἐκ ποδός, ἤγουν ἐξ ἐδάφους καὶ τῆς πρώτης ὑποστάσεως. καὶ γὰρ Ὅμηρος τὰ κατώτατα τῶν ὀρῶν μέρη νείατόν φησι πόδα. τὸ δὲ εὖ γ' ἐνερεισάμενος ⟨πέτρᾳ γόνυ⟩ συνεκδοχικόν· παντὶ τῷ

4) ἄνυεν ἢ om. p. 10) οἵτινες] p. 3., τινες οἳ vulg. 13) //Gen.[b] sine circumscriptis. 13) Βούρρινα] L. Gen.[b] et vulgo, Βύρρινα Reisk. seqq. 14) Φιλιτᾶς Gen.[b] et ante Brub. 15) *Philet. fr.* 19. — δάσαντο 3. L. Can. Gen.[b] Vulc. Call., δάσατο Xyl. (νάσσατο Heins.) — σελαμπέτροιο 3. L. Can. Gen.[b] Vulc., σε λαμπέτροιο ante Heins. 16) Βουρρίνης] 3. L. Can. Gen.[b] Vulc., et ante Heins., Βορίνης vulg., Βυρίνης Kiessl. 17) ἀπουν. Gen.[b] 18) ἡ τῷ ἀφ' Gen.[b] 19) ἢ ὅτι] ἢ ἐστι vulg. ἡ L., ἥ ἐστι Duebnerus. 20) Haec in L. legi traduntur post πολύρρους pag. 239. 26. 21) βούταις Gen.[b] 21) παῖς om. Gen.[b] 22) Ἰλιάδος Νυ] δὴ νῦν Gen.[b], δὴ ναῦ L. 22) //Gen.[b] — ἄνυε] Gen.[b], ἄνυεν vulg. 24) ἐφεστάναι] Gen.[b] ut conj. Duebnerus, ἐφιστάναι vulg. 25) ἐρεισάμενος Gen.[b] 26) κατήρτησε L. Gen.[b] et vulg. ante Reisk. 27) οἷον pro ἤγουν Gen.[b] 28) *Hom. Il. B*, 824. 29) τὸ δ' εὖ ἐρεισάμενος Gen.[b] 30) γόνυ Geelius supplevit.

σώματι τῇ πέτρᾳ ἐνερειδόμενος, ὅθεν χεῖται. — Ἄλλως. Ἐκ ποδὸς ἄνυεν: ἤγουν ἐκ βάθους ὡς ἀφ' ὑδρηλοῦ. πόδες γὰρ τὰ πλησιάζοντα τῇ γῇ τῶν ὀρῶν. — Ἠ ⟨εὖ γ' ἐνερεισάμενος:⟩ ὡς γενναίως προσκαθίσας τῇ πέτρᾳ. τινὲς δέ φασιν, ὅτι οἱ στενωποὺς ὀρύσσοντες τὸ μὲν γόνυ ἐρείδουσι τῇ γῇ, τῷ δὲ ἑτέρῳ ποδὶ τὸ σκαπτόμενον ὑπολαμβάνουσι χῶμα καὶ ὀπίσω αὐτῶν διωθοῦνται. οὕτως οὖν καὶ οὗτος ἐνερεισάμενος πέτρᾳ γόνυ τῇ συνεργείᾳ τοῦ ἑτέρου ποδὸς τὴν κρήνην ἐποίησε.

Rec. Ταὶ δὲ παρ' αὐτὰν αἴγειροι πτελέαι τε: αἱ δὲ παρ' αὐτήν, τὴν πηγήν, αἴγειροι καὶ πτελέαι εὔσκιον ἄλσος ἐποίουν κομῶσαι, ἤγουν θάλλουσαι, χλωροῖς φύλλοις κατηρεφεῖς, ἤγουν δασεῖαι, οὖσαι δηλονότι. κλήθρη ἀεὶ ἐπὶ θηλυκοῦ· αἴγειρος δὲ ἐνίοτε μὲν ἐπὶ ἀρσενικοῦ, ἐνίοτε δὲ ἐπὶ θηλυκοῦ λαμβάνεται. ἡ δὲ παρά ἐνταῦθα πλησιότητα δηλοῖ. κατηρεφέες δὲ σκιώδεις. —

Vs. 10—12.

Rec. Κοὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες: καὶ οὔπω

7) Ἑδραίως στήσας. K. M. ἐπιστηριξάμενος. P. — Τὸν πόδα, ἀπὸ μέρους τὸ πᾶν. K. M. — Αἱ οὖσαι εἰς αὐτὴν τὴν κρήνην. P. — Πλησίον τῆς πηγῆς. πλησιότητα δηλοῖ ἡ παρά. E. M.

8) [Αἴγειροι:] ἐξ ὧν ἀποστάζει ὁ ἤλεκτρος. M. — [Ἔφαινον:] προέτεινον, ἐποίουν. 6. M. Y. Lips.

9) Σκιώδεσι φύλλοις κατάστεγοι. L. ἐσκεπασμέναι δίκην ὀρόφου, ἤγουν δασεῖαι. M. P. πυκναί. E.

---

1) ἐπεριδόμενος Gen.[b] 1) //Gen.[b] 2) ὡς ἀφ' ὑδρηλοῦ] ἢ ἀφ' ὑψηλοῦ vulg. 4) //Gen.[b], unde ὡς accessit. 3) προκαθίσας Gen.[b] 6) κασπτόμενον L. 6) ὑπολαμβάνουσι] L. Gen.[b] et ante Heins., ἐκλ. vulg. 7) αὐτῶν Gen.[b] et ante Ox. II. 10) //*Lips. s. l. πλησιότητα δηλοῖ ἡ παρά — αὐτὴν τὴν πηγήν — κλήθρη .... ἐνίοτε δὲ ἐπὶ θηλυκοῦ — προέτεινον, ἐποίουν — κομῶσαι ... οὖσαι δηλ. δασεῖαι. In Gen.[a] duo scholia extant: αἴγειροι πτελέαι τε: κλῆθροι ... ἐνίοτε δὲ ἐπὶ θηλυκοῦ, et κομόωσαι: ... οὖσαι δηλ. κατηρεφεῖς, hoc etiam in M. 12) κομῶσαι om. Gen.[a] — ἤγουν] M. Lips., καὶ vulg., om. Gen.[a] 12) χλωροῖς] Lips., τουτέστιν ἐν χλωροῖς M. Gen.[a], om. vulg. 13) ἤγουν δασεῖαι οὖσαι sine κατ. et δηλ. vulg., οὖσαι δηλ. δασεῖαι sine κατ. ἤγ. Lips., οὖσαι δηλ. (δηλαδὴ Gen.[a]) κατηρεφεῖς sine ἤγ. δασεῖαι M. Gen.[a], unde κατηρεφεῖς et δηλονότι addidi. 13) κλήθρη] Lips., ut Stephanus in Thes. et Toupius correxerunt, κλείθρη vulg., κλῆθροι Gen.[a] 14) μὲν om. Lips. 15) λαμβάνεται om. Gen.[a] Lips. 18) //Gen.[a] c. lemm. Κοὔπω et *Lips. — 23) ἐποιον προσετειvον 6.

τὴν μέσην ὁδὸν ἠνύομεν, ἀντὶ τοῦ τὸ μέσον τῆς ὁδοῦ. μέσος [γὰρ] κοινόν, μέσατος παρὰ ποιηταῖς.

Vet. *Οὐ δὲ τὸ σᾶμα ἁμῖν τὸ Βρασίλα κατεφαίνετο: οἱ γράφοντες διὰ τοῦ δ ἁμαρτάνουσιν. ἐγένετο γὰρ Βρασίδας Λάκων τὸ γένος, ὁ δὲ Βρασίλας Κῷος. ὁ Λακεδαιμόνιος δὲ Βρασίδας οὐ τέθαπται ἐν Κῷ, ἀλλ' ἐν Ἀμφιπόλει.*

Rec. *Καί τιν' ὁδίταν ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικόν: καί τινα συνοδίτην εὕρομεν, ἀντὶ τοῦ ἔσχομεν, ἄνδρα μουσικὸν ἀγαθὸν Κυδωνικόν, τουτέστι Κρητικόν. Κύδων γὰρ πόλις τῆς Κρήτης.*

Vet. *(⟨Ἐσθλὸν⟩ σὺν Μοίσαισι Κυδωνικόν: ἀντὶ τοῦ ἀγαθὸν καὶ μεμουσωμένον. Κυδωνικὸν δὲ ἀντὶ τοῦ Κρητικὸν ἀπὸ τόπου. ἔστι δὲ πόλις Κύδων* Gen.[b] *) ἀπὸ Κύδωνος Ἑρμοῦ καὶ Ἀκακαλλίδος. καὶ Ὅμηρος·*

ἐν δὲ Κρῆτες μεγαλήτορες, ἐν δὲ Κύδωνες.

(*ὄνομα ἔθνους.* Gen.[b])

Vs. 13. 14.

Rec. *Ἧς δ' αἰπόλος οὐ δέ κέ τις: ἦν δέ, τὸ ἐπιτήδευμα δηλονότι, αἰπόλος· οὐκ ἂν δέ τις αὐτὸν ἠγνόησεν ἰδών, ἐπεὶ ἐξόχως καὶ ὑπερβαλλόντως αἰπόλῳ ὡμοιωμένος ἦν.*

Vs. 15.

Rec. *Ἐκ μὲν γὰρ λασίοιο: ἀντὶ τοῦ τετριχωμένου ἐν-*

10) [*Κοῦπω:*] *τὸ κοινῶς ἀκμήν.* C. M. — *Τὸ ἥμισυ τῆς ὁδοῦ ἠνύσαμεν.* L. *τὸ μέσον τῆς ὁδοῦ διήλθομεν.* P. — *Σῆμα, τάφον ἀπὸ τοῦ τὸν τόπον σημειοῦσθαι. μνῆμα.* M. Lips. *μνημεῖον.* E.

12) *Ἀγαθὸν καὶ μεμουσωμένον.* L. — *Ἐκ τῶν Μουσῶν.* M. — *Ἔσχομεν.* E. P.

15) *Ἐφόρει, περιέκειτο.* E. M. P. Lips.

---

1) *ὁδὸν*] add. Lips. 1) *μέσος — μέσατος*] *μέση — μεσάτη* vulg. 2) *γὰρ* om. Lips. 3) //Gen[b] sine *οὐδὲ τὸ σᾶμα.* 4) *ἐγένετο δὲ Βρασίλας* Gen.[b] 5) *ὁ δὲ Βρ. Κ.* om. Gen.[b], qui tum *ὁ γὰρ Λακ.* 6) *τέθαπται*] p. 3., *θάπτεται* Gen.[b] vulg. 8) //Gen.[a] sine lemmate et *Lips. 9) *εὕρομεν*] Lips. et ante Ox. I, *εὕρομες* vulg. 10) *Κύδων*] Gen.[a] vulg., *Κυδὼν* Lips., *Κυδωνία* Kiessl. 14) *Κρητηκὸν* cod. 15) //Gen.[b]. — *τοῦ Ἑρμοῦ* Gen.[b] — *Ἀκακαλλίδος*] Brub. mg., *Ἀκαλλίδος* vulg., *Ἀκαλλίδας* Gen.[b] 15) *καὶ Ὅμ.* seqq. in Gen.[b] post *τόπου* leguntur. 16) *Hom. Od. T*, 176, ubi *ἐν δ' Ἐτεόκρητες.* 19) //*Lips. *ἦν — τὸ ἐπιτ. — οὐκ ἂν … ἰδών — ἐξόχως, ὑπερβ. — ὡμ. ἦν.* 20) *ἠγνοίησεν* Y. 23) //Gen.[a] Lips. — *λασίοιο* lemma Gen.[a], *ἐκ μὲν γὰρ λασίοις* Lips.

ταῦθα, οὐκ ἀντὶ τοῦ δασέος. καὶ ἀεὶ ἴσως ἐπὶ τούτου τοῦ σημαινομένου ὀφείλει τὸ λάσιον λαμβάνεσθαι.

Vs. 16.

Vet. Κνακὸν δέρμ' ὤμοισι: κνηκόν, ἤγουν ξανθὸν ἢ λευκόν· λευκὸν μὲν ἀπὸ τοῦ καρποῦ, ξανθὸν δὲ ἀπὸ τοῦ ἄνθους. — Ἄλλως. Ἢ ὅτι ὁ μὲν κύκλος αὐτοῦ μέλας, [τὸ δὲ σπέρμα λευκὸν τῆς κνήκης] τοιοῦτον δὲ καὶ τὸ τοῦ κνήκου ἄνθος· ἢ ψαρόν· ἢ πυρρόν. — (Κνακόν: κνηκοειδές, λευκὸν ἀπὸ τῆς κνήκης τοῦ σπέρματος λευκοῦ ὄντος. p. 3.) — Νέας ταμίσοιο ποτόσδον: ἀντὶ τοῦ προσφάτου πιτύας πνέον. εἰώθασι γὰρ οἱ τυροποιοῦντες ἀπορίᾳ χειρομάκτρων ἀποψᾶσθαι [τὰς χεῖρας αὐτῶν ἐν] οἷς ἐνεῖνται δέρμασι. — Τάμισος δὲ ἡ πιτύα εἴρηται παρὰ τὸ θαμίζειν, ὅ ἐστι πυκνοῦν, τὸ γάλα περὶ αὐτὴν τρεφόμενον, ἢ παρὰ τὸ ταμείων ἀξιοῦσθαι διὰ τὴν χρῆσιν.

Vs. 17.

Rec. Ἀμφὶ δέ οἱ στήθεσσι: περιεσφίγγετο δὲ τοῖς στήθεσιν αὐτοῦ παλαιὸς πέπλος.

Vet. Γέρων (ἐσφίγγετο πέπλος Gen.[b]): ἡ μεταφορὰ ἀπὸ τῶν ἡλικίαν γεραιῶν· τριβακὸν ἱμάτιον, ὅ ἐστι παλαιόν.

16) *Κνήκου χροιὰν ἔχον.* E. M. Y. Lips. *λευκὸν ἢ κροκοειδές.* E. N. — *Προσφάτου πιτύας ὄζον, ἤγουν ὀσμὴν πέμπον.* M. Y. Lips. *ὀσμὴν ἀποπέμπον.* E.

---

1) ἴσως] M. Y. Lips. vulg., om. Reisk. seqq. 4) //Gen.[b] Phav. — κνηκὸν] κνακὸν vulg., om. Phav. 6) //Gen.[b] — ὁ μὲν κύκλος αὐ. μ. etiam L. 7) κνήκης] auctore Toupio Kiessl., κνίδης Gen.[b] vulg. 7) κνίκου ante Brub., κνίδου Gen.[b] 8) πυρρὸν] 3.[1] et Reisk. seqq. ut proposuerat Stephanus in Thes., πυρὸν Gen.[b] et vulg. 8) λόφιον pro λευκὸν p. 10) //Gen.[a.b.] post sch. seq. — ἄλλως. νέας ταμίσοιο: προσφ. Gen.[b] In Gen.[a] desunt lemma et rell. ante εἰώθ. 10) πιτθύας Gen.[b], πυτίας Kiessl. 11) πνέον] L. Call., πνέων Gen.[b] et Bas. II. vulg. 11) οἱ ποιμένες πυροποιούμενοι Gen.[a], ubi ἀπορίᾳ χειρ. in fine scholii. 12) ἀποψᾶσθαι] Q., ἀποσπογγίζειν vulg. Circumscripta om. Q. 12) αὐτῶν] Gen.[a.b.] vulg., αὑτῶν Kiessl. 12) ἐνεῖνται δέρμασι] Q., ἐκεῖντο δέρμασιν Gen.[a], δέρμασιν εἵμασιν περιβέβληνται L., δερματίνοις εἵμασι περιβέβληνται vulg. 13) //Gen.[a.b.] — δὲ om. Gen.[a], νέας ταμίσοιο ποτόσδων: εἴρηται Gen.[b] — πιτύα] Gen.[a] vulg., πυτία Kiessl. 13) ταμίζειν ἤτοι πυκ. Gen.[a] 14) περὶ αὐ. τρ. om. Gen.[a] 14) αὐτὴν] αὐτὸν 3., αὐτὸ vulg. 14) τρεφόμενον] στρεφ. vulg. 14) ἢ παρὰ seqq. om. L. Gen.[b] 14) ταμίων 3. 15) ἠξιῶσθαι sine διὰ τ. χρ. 3. Gen.[a] 17) //*Lips. 19) //Gen.[b] 20) ἡλικίαν γεραιῶν] ἡλικιῶν γέρων· ante Brub., ἡλικιῶν. γέρων vulg. 20) τριβακὸν] L. Gen.[b], ut correxerant Stephanus in Thes. et alii, τριβαλὸν vulg.

Vs. 18—20.

Vet. Ζωστῆρι πλακερῷ: πλατεῖ· πλακὸν γὰρ τὸ πλατύ. γράφεται δὲ καὶ πλοκερῷ, ἀντὶ τοῦ πεπλεγμένῳ παρὰ τὴν πλοκὴν καὶ τὴν ὑφήν. — (Πλακερῷ: ἄλλοι πλοκερῷ γράφουσιν. εἴτε δὲ πλακερῷ γράφεται εἴτε πλοκερῷ, ἀντὶ τοῦ πεπλεγμένῳ ἐστίν. p.)

Rec. Ῥοικὰν δ' ἔχεν: καμπύλην δὲ εἶχεν ἀπὸ ἀγριελαίου ἐν τῇ δεξιᾷ χειρὶ ῥάβδον ἢ ῥόπαλον. κορύνη δὲ καὶ ῥόπαλον τὸ αὐτό.

Vet. Καί μ' ἀτρέμας εἶπε σεσαρώς: καὶ ἡσύχως μοι εἶπε γελῶν. — Ἢ σεσαρώς: ἀντὶ τοῦ ἠρέμα ἐγέλα διεστηκὼς τὰ χείλη καὶ μειδιῶν. οὐκ εὖ δὲ κέχρηται τῇ λέξει. — (Σεσαρώς: διεσταλκὼς τὰ χείλη καὶ μειδιῶν. καταχρᾶται δὲ τῇ λέξει. p. — Διεστηκὼς τὰ χείλη καὶ ὑποκεχηνώς. καταχρᾶται δὲ τῇ λέξει. ἀπὸ τοῦ σεσηρέναι καὶ ὑποκεχηνέναι. Q.)

Rec. Γέλως δέ οἱ: γέλως δὲ ἥπτετο τοῦ χείλους αὐτοῦ.

Vs. 21.

Vet. Σιμιχίδα πᾷ δὴ τύ: οἱ μὲν αὐτόν φασι Θεόκριτον, καθὸ Σιμίχου ἦν υἱός, ἢ καθὸ σιμὸς ἦν. οἱ δὲ ἕτερόν τινα τῶν σὺν αὐτῷ καὶ οὐ Θεόκριτον διὰ τὸ

Σιμιχίδᾳ μὲν Ἔρωτες ἐπέπταρον.

φασὶ δὲ τὸν τοιοῦτον ἀπὸ πατρωοῦ κληθῆναι, (ἀπὸ L. Gen.b.)

18) Διαζωστικῶς πεπλεγμένῳ. E. πλεκτῷ. L. πλατεῖ. Lips. — Καμπτὴν αἰγανέαν, ἐπικαμπῆ. L. κυρτήν, καμπύλην. M. στραβήν. C.
19) Ἐν τῇ δεξιᾷ χειρὶ εἶχε κορύνην, δηλονότι ῥάβδον. M. — Ἠρέμα. Lips. — Χαίρων, γελῶν, ὑποχάσκων. E. M. N. γελῶν. Lips.
20) Τὸ γὰρ τῶν γελώντων ὄμμα ὀγκοῦται. M. — Ἐν χαροπῷ προσώπῳ. P. χαροπῷ. Lips. ἱλαρῷ. E. N.

2) //Gen.b. 3) πλοκρῷ omissis ἀ. τ. πεπλ. Gen.b. 6) πεπλεγμένου cod. 7) //Lips. s. l. καμπύλην — ἀπὸ — ἐν τῇ δεξιᾷ χειρὶ δηλονότι, et in mg. κορ. καὶ ῥόπ. τὸ αὐτό. 10) //Om. Gen.a.b. Lips. 11) //Gen.b., ubi falsum lemma γέλως δέ οἱ εἴχετο. 11) ἠρέμα et μηδειῶν ante Xyl. 12) οὐκ εὖ] Wartonus, οὐκέτι vulg. 14) Ita ex Q. allata a Duebnero, καὶ ὑποκ. κτλ. Gailius profert tanquam post χείλη l. 12. lecta. — ὑποκεχηνὼς et ὑποκεχηνέναι] ὑποκινῶν et ὑποκινεῖν cod. 17) //* Lips. 19) //Gen.b. c. lemm. Σιμιχίδα παῖ. 20) καθὸ Σιμίχου] Σιμίχου γὰρ Gen.b., καθὸ Σιμιχίδου vulg., cf. Adn. ad Prolegg. pag. 1. 5. 20) ἕτεροι δὲ Gen.b. 21) Θεόκριτος διὰ δὲ τὸ Gen.b. 22) *Vs.* 96. — Σιμίχου μὲν ἐρῶντες Gen.b. — ἐπίπταρον ante Xyl. 23) ὑπὸ Gen.b. 23) πατρωοῦ] Hauler pag. 6, πατρωιοῦ L., πατραλοίου Gen.b., πατρίου vulg.

Σιμιχίδου τοῦ Περικλέους τῶν Ὀρχομενίων, οἵτινες πολιτείας παρὰ Κῴοις τετυχήκασιν. — *Σιμιχίδα: εἰσὶ δὲ καὶ πατρωνυμικὰ οὕτως ἀπαραλλάκτως λεγόμενα καὶ ἐπὶ τῶν υἱῶν ὡς καὶ ἐπὶ τῶν πατέρων. ὥσπερ ὁ Θεόκριτος Σιμιχίδα υἱὸς ὢν Σιμιχίδαν ἑαυτὸν ὀνομάζει πατρωνυμικῶς (οὐ Σιμιχίδα* p.)· *καὶ Ἀσκληπιάδην τὸν Σάμιον ποιητὴν Σικελίδαν καὶ αὐτὸν καλεῖ, παῖδά τινος Σικελίδα λεγομένου τυγχάνοντα. ἀλλὰ καὶ ἐν τῷ εἰδυλλίῳ τῷ οὕτως λεγομένῳ Αἰπολικῷ καὶ Ποιμενικῷ καὶ τὸν Εὐμήδη υἱὸν ὄντα τοῦ Κρατίδα Κρατίδαν καλεῖ καὶ αὐτόν. οἱ δὲ λέγοντες Σιμιχίδαν λέγεσθαι τὸν Θεόκριτον διὰ τὸ εἶναι σιμὸν κακῶς λέγουσι.*

Rec. Μεσαμέριον πόδα ἕλκεις: κατὰ τὸ μέσον τῆς ἡμέρας ἕλκεις τοὺς πόδας ἀντὶ τοῦ πορεύῃ. οἱ γὰρ βαδίζοντες ἕλκοντες τοὺς πόδας βαδίζουσιν. — (*Ἕλκεις: σύρεις. τοῦτο δὲ διὰ τὸ ταχέως αὐτὸν πορεύεσθαι εἴρηκεν.* *M. Gen.[a])

Vs. 22.

Rec. Ἀνίκα δὴ καὶ σαῦρος ἐφ' αἱμασιαῖσι: ὁπότε καὶ ὁ σαῦρος, ἡ κοινῶς λεγομένη χλωροσαύρα, ἐπὶ τοῖς φραγμοῖς ἠρεμεῖ. — (*Ὁ σαῦρος εἰς ἔχιν μεταβάλλεται, ὡς Ἀριστοτέλης φησίν.* *N. Gen.[a])

Vet. (*Καὶ σαῦρος ἐφ' αἱμασιαῖσιν:* Gen.[b]) *ἀρσενικῶς ὁ σαῦρος. λέγεται καὶ θηλυκῶς ἡ σαῦρα. φησὶ δὲ Ἀριστοτέλης περὶ τοῦ ζῴου τούτου, ὅτι ξηραινόμενον εἰς ἔχιν μεταβάλλεται.*

21) *Ὁ γὰρ Θεόκριτος υἱὸς ἦν τοῦ Σιμίχου. ἢ διότι ἦν σιμός.* P. *υἱὲ τοῦ Σιμμίχου Θεόκριτε.* K. — *Πόδας ἄγεις.* P. *πορεύῃ.* E. N.
22) *Ἠρεμεῖ, ἀναπαύεται.* M.

---

1) *πολυτείας* ante Brub., *πολίται* L. Gen.[b] 2) //Om. Gen.[a.b.] Lips. 8) *αἰπόλος ποιμενικῷ* p. 9) *Εὐμήδη*] p., *Εὐμήδην* vulg. 12) //Gen.[a.]* inde a *πορεύῃ* c. lemm. *πόδας ἕλκεις.* Lips. s. l. *κατὰ τ. μ. τ. ἡμ.*, rell. in marg. 13) *πορεύῃ*] Gen.[a.] Lips. et ante Xyl., item Kiessl., *πορεύει* Xyl. seqq., *πορεύου* Ox. vulg. 14) *ἕλκεις δὲ τοῦτο διὰ* Gen.[a.] 18) //Gen.[a.] ex his nihil habet praeter *ἡ κοινῶς χλ.* post sequens scholium; *Lips. *ὁπότε — ἡ κοινῶς χλ. κτλ.* 19) *χλωροσαύρα*] Lips., *-σαῦρα* Gen.[a.] vulg. 22) //Gen.[b.] omissis *ὁ σαῦρος λ. κ. θηλ.* 24) *ὁ Ἀρ.* L. — *τούτου* om. Gen.[b.]

Vs. 23.

Vet. Οὐδ' ἐπιτυμβίδιοι κορυδαλίδες: αἱ ἐπὶ τῇ κεφαλῇ τὸν τύμβον φέρουσαι τοῦ πατρὸς αὐτῶν. — Κορυδαλίδες ἐνταῦθα εἶδος ἑρπετοῦ· λέγονται δὲ ἐπιτυμβίδιοι, ὅτι τάφοις ὡς ἐπιπολὺ ἐνδιατρίβουσιν. εἰ δὲ κορυδαλίδας τὰ στρουθία νοήσεις, κορυδαλίδες μὲν λέγονται διὰ τὸ κόρυσιν ἐοικέναι τὸ ἐπὶ τῆς κεφαλῆς αὐτῶν ἀνάστημα, ἐπιτυμβίδιοι δέ, ὅτι ὡσεὶ τύμβον τὸ τοιοῦτον ἀνάστημα ἐπὶ κεφαλῆς ἔχουσι. φέρεται δὲ καὶ ἐπὶ τούτων ἱστορία τοιαύτη· ὅτι πρὸ τοῦ γενέσθαι τὴν γῆν γεγόνασιν αὗται· συνέβη δέ ποτε αὐτῶν τὸν πρόγονον ἀποθανεῖν, καὶ γῆς μὴ οὔσης ἐτάφη ὑπὲρ τῆς κορυφῆς τοῦ ἰδίου γόνου, διὸ καὶ ἐπιτυμβίδιοι ἐπεκλήθησαν. — Ἄλλως. Ἐπιτυμβίδιοι: ἢ ὅτι τοῖς τάφοις ἐνδιατρίβουσιν, ἢ ὅτι τὸν τύμβον ἐπὶ τῆς κεφαλῆς φέρουσιν· [ἢ παρὰ τὸ τύφω· φλογοειδεῖς γάρ εἰσι.] (κορυδαλίδες: διὰ τὸ κόρυσιν ἐοικέναι τὰς κεφαλάς. τὸ δὲ Gen.[b]) ἠλαίνονται: ῥέμβονται, πλανῶνται (ἀπὸ τῆς ἄλης 3. L. Gen.[b] Phav.). ὅμως καὶ αὗται ἠρεμοῦσιν.

Rec. (Κόρυδοι ὄρτυξιν ὅμοιοι ὄρνιθες, οὓς ἔνιοι κορυδαλοὺς καλοῦσι, καὶ Ἀθηνᾷ ἱεροί. Gen.[a])

Vs. 24—26.

Rec. Ἢ μετὰ δαῖτα κλητός: ἢ ἐπὶ εὐωχίαν κεκλημένος σπεύδεις, ἢ ἐπὶ ληνόν τινος ἀπὸ τῶν πολιτῶν (θρώσκεις

23) *Αἱ ἐπὶ τῇ κεφαλῇ τὸν τύμβον φέρουσαι.* Lips. — *Οἱ κοινῶς πίπυλοι.* M. — *Πλανῶνται.* C. L. *πλανώμεναι στρέφονται.* Lips. *ἀλλὰ καὶ αὗται ἡσυχάζουσιν.* E.

---

2) //Om. Gen.[a.b.] Lips. Extat scholium apud Eudociam p. 262 et Phav. s. v. κόρυδος sic: καὶ παρὰ Θεοκρίτῳ τὸ ἐπιτυμβίδιοι κορυδαλίδες, ἤγουν αἱ ἐπὶ ταῖς ἑαυτῶν κεφαλαῖς τὸν τύμβον τοῦ πατρὸς φέρουσαι. 3) //Om. Gen.[a.b.] Lips. 4) ἑρπετοῦ] p., ὀρνέου vulg. 5) διατρίβουσιν vulgo ante Reisk., cf. lin. 13. 10) γοῦν pro δὲ p. 11) πρόγονον] p. 3., πατέρα vulg. — ἀποθανεῖν] p., θανεῖν vulg. 13) //Gen.[b], ubi οὐδ' ἐπιτ. 14) ὅτι τὸν τύμβον] Gen.[b], ὡσεὶ τύμβον vulg. 15) Circumscripta om. Gen.[b], τύμβος δὲ παρὰ τὸ τύφω τὸ καίω L. 15) κοριδαλίδεσι cod. 17) ἐπὶ τοῦ ῥέμβ. Gen.[b], ἀντὶ τοῦ ἐρέμβ. Phav. s. v. ἠλαίνονται. 17) πλανῶνται] 3. L. Gen.[b] Phav., πλανώμεναι στρέφονται vulg., cf. Gl. 17) Verba ἀπὸ τῆς ἄλης in libris ante πλαν. leguntur, ὑπὸ 3. L., ἐπὶ τῆς αὐλῆς Phav., ubi desunt ὅμως seqq. 18) ἠρεμοῦσιν Gen.[b] et ante Xyl. 19) κόρυδοι] Adertus, κόδυδοι cod. 22) //Gen.[a] sola ἐπὶ ληνὸν κτλ. post sequens scholium habet; Lips. s. l. ἐπὶ εὐωχίαν κ. σπ., et in marg. ἐπὶ ληνὸν seqq. 23) ἀπὸ om. Gen.[a] — 24) κεφαλῇ] φυλακῇ cod. 25) πίπυλοι] ποίπυλοι M.[3], πύπυλοι M.[4]

αντὶ τοῦ Gen.[a] Lips.) ἀπέρχῃ. — (*Λ α ν ὸ ν ἐ π ι θ ρ ώ σ κ ε ι ς*: ἐπὶ ληνόν, κατὰ ἀντιστροφὴν τῆς προθέσεως *M. Gen.[a])

Vet. (*Μ ε τ ὰ δ α ί τ᾽ ἄ κ λ η τ ο ς*: ⟨οὐ γὰρ ὁ ἄκλητος ὡς ὁ κλητὸς καὶ⟩

ἣν ὑστερήσῃ, μοῖραν εὑρίσκει κρεῶν.

ἢ *μ ε τ ὰ δ α ῖ τ α κ λ η τ ό ς*· L. Gen.[b]) οἱ γὰρ κεκλημένοι σπεύδουσιν. ἐπὶ δὲ τῶν βραδυνόντων παροιμία·

ὅστις ἐπὶ δεῖπνον ὀψὲ κληθεὶς ἔρχεται,
ἢ χωλός ἐστιν, ἢ οὐ δίδωσι συμβολάς.

Rec. *Ὥ ς τ ε υ π ο σ ὶ ν ν ε ι σ ο μ έ ν ο ι ο*: ὄντως πορευομένου σου τοῖς ποσὶ πᾶσα λίθος προσπταίουσα, ἤγουν προσκρούουσα, ταῖς ἀρβυλίσιν ἐμμελῶς ἠχεῖ.

Vet. (*Π ᾶ σ α λ ί θ ο ς π τ α ί ο ι σ α*: ἴσως διὰ τὴν εὐμουσίαν τοῦ Θεοκρίτου τοῦτο εἶπεν, ᾧ καὶ τοὺς λίθους φησὶν ἐμμελῶς ἀποδιδόναι ἦχον προσπταίοντας τοῖς ποσίν. p. L. Gen.[b] — *Ἀ ε ί δ ε ι*: ᾠδὴν εὔρυθμον πέμπει. p.) — *Ἀ ρ β ύ λ η* δὲ εἶδος ὑποδήματος ἀπὸ τοῦ ἁρμόζεσθαι. θηλυκῶς ἡ λίθος, ὡς καὶ Ὅμηρος·

λίθοι πωτῶντο θαμειαί.

καί·

δόμον — ξεστῇς αἰθούσῃσι τετυγμένον,

λίθοις δηλονότι [ξεστοῖς].

Vs. 27—34.

Rec. *Τ ό ν δ᾽ ἐ γ ὼ ἀ μ ε ί φ θ η ν*: πρὸς τοῦτον ἐγὼ ἀπεκρίθην· Λυκίδα φίλε, πάντες λέγουσί σε εἶναι συρικτὴν κατὰ πολὺ ὑπερέχοντα καὶ ἐν τοῖς νομεῦσι καὶ ἐν τοῖς θερισταῖς.

25) [*Ἐ π ι θ ρ ώ σ κ ε ι ς*:] πηδᾷς. P. πορεύῃ. M. ἐπιτεταμένον. σύντομον. L. — [*Ὥ ς τ ε υ*:] ὥστε σου. E.

27) *Ἀπεκρινάμην*. M. Y. ἐξ ἀμοιβῆς διεδεξάμην λέγων. E.

---

3) *δ α ῖ τ α κ λ η τ ὸ ς* codd. 2) ἐπὶ ληνὸν om. Gen.[a] 5) ἣν ὑστερήσῃ] εἰ ὑστερήσει L., εἰ ὑπερήσει Gen.[b] — εὑρήσκει Gen.[b] — τῶν κρεῶν codd. 6) *κ λ η τ ὸ ς*] Adert, ἄκλητος codd. 6) //G e n.[b] et eodem loco L. 8) ὀψὲ κληθεὶς] L. Gen.[b], κλ. ὀψὲ vulg. 9) συμβουλὰς Gen.[b] et ante Brub. 10) //G e n.[a] L i p s. — νεισομένοιο ... ποσὶ om. Gen.[a] 12) ἀρβυλῆσιν 2. 13) ἴσως om. p. 14) Θεόκριτος φησὶ καὶ τοὺς λίθους L. Gen.[b] 14) ᾧ] ὡς p. 15) εἶχον τοὺς προσπταίσαντας sine τοῖς ποσὶν Gen.[b] 16) εὔρρυθμον cod. 16) //G e n.[b] 17) ἡ λίθος ὡς om. Gen.[b] 19) *Hom. Il. M*, 287 et Z, 243. — ποτοῦνται ante Heins., πωτῶντο Gen.[b] 20) καὶ δόμον seqq. om. Gen.[b] 24) //L i p s. πρὸς τοῦτον ἀπεκρινάμην — φασί σε — εἶναι — καταπολὺ ὑπερέχοντα θερισταῖς.

— *Συρικτάν*: συρίζειν τὸ διὰ σύριγγος μέλπειν, καὶ συρικτὴς ἐπὶ τούτου. ἐνταῦθα δὲ συρικτὴν λέγει τὸν κοινῶς τραγῳδητήν. — *Τό, δὴ μάλα θυμὶν ἰαίνει*: ὅπερ δή, ἤγουν τὸ ᾄδειν, λίαν εὐφραίνει τὸν ἡμέτερον θυμόν, ἀντὶ τοῦ τὴν ἐμὴν ψυχήν.

Vet. (*Τὸ δὴ μάλα θυμὸν ἰαίνει*: Gen.[b]) ἤτοι τὸ εἶναι τινὰ συριστήν. ἐκ τοῦ ποιητοῦ δὲ ὁ λόγος ἀντὶ τοῦ· ἐφ' ᾧ δὴ μάλιστα καὶ αὐτὸς τέρπομαι. — *Καί τοι κατ' ἐμὸν νόον*: κατὰ τὴν ἐμὴν δόξαν ἐλπίζω, φησίν, ὅτι οὐ παρευδοκιμήσεις ἡμᾶς. καὶ Ὅμηρος·

οὔτι καθ' ἡμέτερόν γε νόον.

Rec. (*Κατ' ἐμὸν νόον*: κατὰ τὴν ἐμὴν κρίσιν, ἤγουν ὡς ἐγὼ λογίζομαι. ⟨*Ἰσοφαρίσδεν*:⟩ ἰσοῦσθαί σοι κατὰ τὴν ᾠδήν. *M. Gen.[a]) — *Ἁ δ' ὁδὸς ἅδε Θαλυσιάς*: ἐπὶ Θαλύσια ἀνυομένη.

Vet. Ἡ ἐπὶ Θαλύσια ἄγουσα ἡμᾶς. — (*** ἔνθα σῖτον ἐκτρίβουσι. τὸ δὲ *ὄλβου ἀπαρχόμενοι* ἀντὶ τοῦ τῆς ἐπικαρπίας ἀπάργματα ⟨διδόντες⟩. p. 3.)

Rec. *Ἡ γὰρ ἑταῖροι*: ὄντως γὰρ φίλοι ἄνδρες τῇ Δήμητρι τῇ εὐπέπλῳ, (τῇ ἐχούσῃ καλὸν πέπλον Gen.[a]) εὐωχίαν τελοῦσι τῶν καρπῶν ἀπαρχὴν διδόντες. — (Εὔπεπλον εἶπε

28) Μετὰ σύριγγος ᾄδοντα. M. εἰδότα σύριγγι χρῆσθαι. P. — Κατὰ πολὺ ὑπερέχοντα, ἔξοχον. M.

29) Καὶ ὅπερ, τοῦτο τὸ εἶναι συρικτὴν τοιόνδε, τὴν ψυχὴν λίαν εὐφραίνει. P.

30) Κατὰ τὴν ἐμὴν κρίσιν. Lips. — Συναμιλλᾶσθαι. L. ἰσοῦσθαι. Lips. ἐξισοῦσθαι κατὰ σύγκρισιν. E.

31) Ἐλπίζω. Lips. νομίζω. C. — Αὕτη ἡ ἐπάγουσα εἰς τὰ Θαλύσια εἰς τὴν ἑορτήν. P. ἑορτὴ Δήμητρος. M. — Φρασίδαμος καὶ Ἀντιγένης. L.

---

1) //Gen.[a] Lips. 2) συριστὴν 3., quae lectio potius ad l. 7. pertinet. 3) //Gen.[a] c. lemm. τὸ δή, Lips. s. l. ὃ ἤγ. τὸ ᾄδειν, rell. in marg. 3) ὃ pro ὅπερ δὴ Gen.[a] Lips. — ἤγουν add. Gen.[a] Lips. 6) //Gen.[b] — ἤτοι] 3., ἢ Gen.[b] vulg. Verba ante ἐκ τοῦ hoc loco Gen.[b], quae vulgo inter SchRec. post ᾄδειν l. 4. leguntur. 7) συριστὴν] Gen.[b] et 3. (vid. supra), συρικτὴν vulg. 8) ἐφ' ὧν et καὶ αὐτὰς Gen.[b] 8) //Om. Gen.[a.b.] Lips. 11) *Hom. Il.* I,108. 13) ἐγὼ om. M. 14) //*Lips. 16) //Om. Gen.[a.b.] Lips. 16) Schol. hoc loco a Wart. seqq. positum. 17) ἐκτρίβουσι] Geel., ἐντρ. codd. 17) ὄλβου] Duebnerus, ὄλβον codd. 19) //In Gen.[a] tria scholia: εὐπέπλῳ Δαμάτερι: τ. Δ. . . . . πέπλον. δαῖτα τελεῦντι: εὐ. τελ. ὄλβῳ ἀπαρχόμενοι: τῶν κ. ἀπ. δ. *Lips. ὄντως — φίλοι seqq. — ἄνδρες] Lips., ἀνέρες vulg. 19) Δημήτερι Gen.[a] 20) εὐωχίας Gen.[a] τ 21) τελευοῦσι Lips.

την γῆν διὰ τὴν τῶν ἀνθῶν λαμπρότητα, ὑφ' ὧν κοσμεῖται ἡ γῆ καὶ ὡραιοτάτη φαίνεται. E. N.) — *Μάλα γάρ σφισι πίονι μέτρῳ*: εὔκαρπον γὰρ ἐποίησεν ἡ δαίμων τὴν ἀλωὴν αὐτῶν, ἤγουν εὖ ἔχουσαν ἕνεκα τῆς πληθύος τῶν καρπῶν μέτρῳ καταπολὺ πλουσίῳ.

Vel. *Εὔκριθον ἀνεπλήρωσεν ἀλωάν*: ἀπὸ μέρους, τῆς κριθῆς, τὴν εὔκαρπον παρεδήλωσεν. εὔκριθον δὲ καὶ οὐχὶ εὔσιτον ἅλωνα προσηγόρευσε διὰ τὸ δοκεῖν πρῶτον εὑρεθῆναι τὸν τῆς κριθῆς καρπόν. κριθὴ δὲ ὠνομάσθη, ὅτι μετὰ τὸν σῖτον προεκρίθη τῶν ἄλλων καρπῶν, ἢ παρὰ τὸ τοὺς στάχυας τῆς κριθῆς κεκριμένους καὶ διακεχωρισμένους ἔχειν τοὺς κόκκους. — *Ἀλωὰν* δὲ τὴν ἅλωνα παρὰ τὸ ἅλως. ἅλως δὲ ἀπὸ τοῦ ἁλίζω τὸ συναθροίζω· ἐκεῖ γὰρ ἀθροίζουσι τοὺς στάχυας. καὶ Καλλίμαχος·

ἐς τὸ πρὸ τείχους ἱερὸν ἁλέες δεῦτε.

καὶ ἅλς, ἡ θάλασσα, ἐντεῦθεν καὶ τὸ ἀλεὶς ἀντὶ τοῦ συστραφείς.

Vs. 36.

Rec. *Βουκολιασδώμεθα*: βουκολικὴν ᾠδὴν ᾄδωμεν. ἴσως ὁ ἕτερος τὸν ἕτερον (ὀνήσει, ἤγουν Lips.) ὠφελήσει.

32) Τῇ πέπλον ἐχούσῃ καλόν· κοσμεῖται γὰρ ἡ γῆ ἄνθεσι. M. — Ἑορτήν. E. M.

33) Ἀπαρχὴν διδόντες τοῦ ὄλβου, ἤτοι τοῦ πλούτου. L. ὄλβου, τῶν πάντων αὐτῶν ἀπαρχὰς αὐτῇ κομίζοντες. M. ἀπὸ ὄλβου, ἤγουν ἐπικαρπίας ἀπαρχὰς νέμοντες. E. — Πλήθει πολλῷ. L. δασεῖ, πλουσίῳ. M.

34) Ἡ Δημήτηρ. M. — [*Εὔκριθον*:] παραδηλοῖ δὲ τοῦτο ⟨τὴν εὔκαρπον⟩ ἀπὸ τοῦ κρείττονος τῶν σπερμάτων. L. καλὰ πάντα τὰ σπέρματα ἔχουσαν, ἀπὸ μέρους τὸ πᾶν. M. εὖ ἔχουσαν ἕνεκα τῆς πληθύος τῶν καρπῶν, εὔκαρπον. N. — Τὸ ἀλώνιον. M.

35) [*Ἀλλ' ἄγε*:] τοῦτο πρὸς τὸ βουκολιασδώμεθα σύναπτε. M. — Ἡ ἡμέρα. M. P. Lips.

36) Τὰ τῶν βουκόλων ᾄσωμεν μέλη. L. βουκολικῇ ᾠδῇ χρησόμεθα. P.

---

2) // Gen.[a] sine lemmate et Lips. 3) ἀλωὴν Lips. 4) ἔχουσαν] E. *N. P. Y. Lips. vulg., ἔχουσιν Reisk. seqq. 5) πλησίῳ Gen.[a] 6) //Om. Gen.[a.b.] Lips. 8) ἅλωνα] p. 3., ἀλωὰν vulg. 9) σύκης pro κριθῆς 3. 12) // Gen.[b.] — Ἀλωὰν] Gen.[b.] et ante Ox. II, ἀλωὰν vulg. — δὲ ... τὸ ἅλως om. Gen.[b.] 13) ἅλως δὲ et ἁλίζω ante Ox. I, δὲ om. Gen.[b.] 14) στάχυς Gen.[b.] 15) *Callim. fr.* 86. 16) ἅλαν pro ἅλς Gen.[b.] 19) //*Lips.

Vet. Τάχ' ὥτερος: Δωρικὴ ἡ συναλοιφή· (ὁ ἅτερος ὥτερος.) τὸ γὰρ ὁ ἕτερος διὰ τοῦ ου οὕτερος, ὡς καὶ παρ' Ἡροδότῳ. (Τάχ' ὥτερος:) ἐξημαρτημένως ἐξενήνοχε τὸ ὥτερος ⟨ἄλλον⟩· ἕτερος γὰρ ⟨ἐκ δυοῖν⟩, ἄλλος ἐκ πλειόνων. (οὕτερος, ὁ ἕτερος τὸν ἕτερον διὰ τῆς μουσικῆς ὠφελήσει.)

Vs. 37.

Vet. (Τὸ καπυρὸν δὲ στόμα Gen.[b], ἤγουν τὸ ἡδὺ μεταφορικῶς. τὰ γὰρ ἔξοπτα τῶν ἐδεσμάτων ἡδέα τὴν γεῦσιν. p. 3. Gen.[b] Stop.)

Vs. 38.

Rec. (Οὐκ εἰμὶ εὐκόλως πειθόμενος τοῖς περὶ ἐμοῦ ταῦτα λέγουσιν. E.)

Vs. 39.

Vet. Οὐ δᾶν. οὐ γάρ πω κατ' ἐμὸν νόον: μὰ τὴν γῆν. ὤμνυον γὰρ κατὰ τῶν στοιχείων, ὡς Ὅμηρος·

χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν.

(τὸ δὲ κατ' ἐμὸν νόον κατὰ τὴν ἡμετέραν δόξαν. καὶ Ὅμηρος·

οὔτι καθ' ἡμέτερόν γε νόον. 3. L. Gen.[b])

Rec. Τὸ δὲ κατ' ἐμὸν νόον ἀντὶ τοῦ κατὰ τὴν ἐμὴν κρίσιν, ὡς ἄνωθεν.

37) Γλυκύ. L. λαμπρόν. N. Lips.

38) Μελῳδόν. M. τραγῳδητήν. M. Lips. Οὐ ταχέως ἐκείνοις πειθόμενός εἰμι. L. M. εἰμὶ οὐ ταχέως πειθόμενος. Lips.

39) Μὰ τὴν γῆν. Lips. Δημήτερα. T. — Ἀκμήν. L. οὔπω γάρ, ἤγουν οὐδαμῶς γὰρ κατὰ τὴν ἐμὴν κρίσιν. ὡς ἐγὼ λογίζομαι. M. Lips.

---

1) //3. L. Gen.[b] — τάχ'] 3. (L.) Gen.[b] et Kiessl., τοῦ χ' vulg. 1) Δωρ. συναλιφὴ 3., om. Gen.[b] Supplementa hujus scholii accesserunt ex 3. L. Gen.[b] 2) ὥτερος] ἕτερος codd. 2) διὰ τοῦ ου οὕτερος] 3. L. Gen.[b], οὕτερος διὰ τοῦ υ vulg. 2) ὡς om. 3. L. Gen.[b] 3) ἐξημαρτημένως] 3. L. Gen.[b], ἡμαρτημένως δὲ vulg. 3) ἐξενήνεγκεν L. Gen.[b], ἐξήνεγκεν 3. Verba τὸ ὥτερος ... πλειόνων om. 3. L. Gen.[b] 4) ἐκ δυοῖν suppl. Casaub. 5) τὸν ἕτερον om. Gen.[b] 8) λαμπρὸν pro ἤγουν τὸ Stop. 9) ἡδέα] ἥδεα p., ἡδύνει rell. — τὴν γεῦσιν om. p. 15) //Gen.[b] omissis νόον: μὰ τὴν γῆν et γάρ. 16) καὶ pro ὡς Gen.[b] 17) *Hom. Il.* Ξ, 272. — ἑτέρῃ] Gen.[b], ἑτέρᾳ vulg. — μὲν om. ante Heins. — πολυβ. Gen.[b] 18) τὸ δὲ κ. ἐ. νόον ex 3. L. non affertur. 20) *Hom. Il.* I, 108. — καθ' om. 3. — τε Gen.[b] 21) //Lips. κατὰ τ. ἐ. κρ. — 27) γὰρ post οὐδαμῶς om. M.

Vs. 40.

Vet. Σικελίδαν: Ἀσκληπιάδην φησὶ τὸν ἐπιγραμματογράφον. ὥσπερ γὰρ Σιμιχίδαν ἑαυτὸν καλεῖ ὁ Θεόκριτος πατρωνυμικῶς ὡς υἱὸν Σιμιχίδα, καὶ τὸν Εὐμήδην Κρατίδαν, υἱὸν ὄντα Κρατίδα, οὕτω καὶ νῦν Σικελίδαν ὀνομάζει τὸν Ἀσκληπιάδην τὸν Σάμιον ὡς υἱὸν Σικελίδα· οὗ δοκεῖ ἀκουστὴς γεγονέναι. — (Σικελίδαν νίκημι: Ἀσκληπιάδην φησὶ λεγόμενον τὸν ἐπιγραμματοφόρον. οὗτος Σάμιος ἦν τὸ γένος. Gen.[b] Ἄλλως. Ἀσκληπιάδην φησὶ τὸν Σάμιον τὸν ἐπιγράμματα γράψαντα, οὗ δοκεῖ ἀκουστὴς γεγονέναι ὁ Θεόκριτος. 3. L. Gen.[b] Σικελίδας δὲ ἐκαλεῖτο πατρωνυμικῶς· ἦν γὰρ Σικέλου οὕτω καλουμένου υἱός. 3. L. Q. Gen.[b]) — Ὁ δὲ Φιλητᾶς Κῷος τὸ γένος ἤ, ὡς ἔνιοι, Ῥόδιος, υἱὸς Τηλέφου. ποιητὴς δὲ ἦν καὶ οὗτος.

Rec. (Σικελίδαν: τὸν Σικέλου μὲν υἱόν, Ἀσκληπιάδην δ' ὠνομασμένον. φασὶ δὲ αὐτὸν εἶναι ἐπιγραμματογράφον, τὸ γένος Σάμιον, οὗτινος ἠκροάσατο ὁ Θεόκριτος. Gen.[a])

Vs. 41.

Vet. Βάτραχος δέ ποτ' ἀκρίδας: ἤγουν πρὸς τοὺς εἰρημένους σοφοὺς οὐδαμινός εἰμι, καὶ ὥσπερ βάτραχος ἐρίζει πρὸς τὰς ἀκρίδας, οὕτω κἀγὼ πρὸς αὐτούς. ἤγουν τοιαύτην δὲ ἔχω σύγκρισιν πρὸς αὐτούς, οἵαν ἔχει βάτραχος πρὸς ἀκρίδας. ὁ γὰρ βάτραχος τραχύφωνός ἐστιν, ὅθεν καὶ ὠνόμασται βοάτραχός τις ὤν, ὁ τῇ βοῇ τραχύς· τῶν δὲ ἀκρίδων εἰσί τινες, αἳ συρίζουσιν ἐναρμόνιον.

40) *Πατρωνυμικόν.* M. P. Lips.
41) *Τὸ κοινῶς τραγῳδῶν.* P. — [*Βάτραχος*:] *εἰμὶ δὲ πρὸς αὐτοὺς δηλονότι.* E. — [*Ἐρίσδων*:] *συνᾴδων ἐκείνοις.* M.

---

2) //Om. Gen.[a. b.] Lips. 2) ἐπιγραμματοποιόν Q. 8) γραμματοφόρον cod. 9) ἄλλως seqq. in L. Gen.[b.] leguntur post Σικελίδας ... υἱός. — φησὶ om. L. — τὸν Σάμιον om. Gen.[b.] 10) ὁ Θεόκρ. om. Gen.[b], ὁ Θ. Σικελίδας δὲ Wart. tanquam conjuncta, ὁ Θ. δὲ Σικ. Duebn. tacite, haec etiam in Q. legi affirmans. 12) Σικέλου γὰρ υἱὸς ἦν οὕτω καλ. Gen.[b.] 13) //3. Gen.[a.], hic c. lemm. Φιλητάν. — Φιλητὴς et ἐστιν pro τὸ γένος 3. 13) Ῥόδιος ποιητὴς p.[1.] 3. — Τηλεφίλου 3., ubi desunt ultima. 15) Σικελικοῦ cod. 19) //Gen.[b.] et verba ὥσπερ .... βάτρ. πρ. ἀκρίδας Gen.[a.] praemissis ἐρίσδων: ἐρίζων. 20) ἐρίζω δὲ πρὸς αὐτούς, ὥς τις βάτραχος ἐρίζει. P., σύριζει πρὸς τ. ἀ. οὐδέν, οὕτω Gen.[b.] 21) ἤγουν ... ἀκρίδας om. Gen.[b.]

Vs. 42.

Vet. (*Ἐπιταδές*: ἐπιτετευγμένως ἢ ἐξεπίτηδες. p.)

Vs. 43. 44.

Rec. *Τάν τοι ἔφα κορύναν δωρήσομαι*: ταύτην σοι, ἔφη, τὴν ῥάβδον χαρίσομαι, διότι εἶ φυτὸν ὑπὸ τοῦ Διὸς ἐπ' ἀληθείᾳ ὅλον εἰργασμένον. τὸ ἔφα μόνον Θεοκρίτου, ὁ δὲ λοιπὸς στίχος τοῦ Λυκίδα.

Vet. *Πᾶν ἐπ' ἀληθεία* (*πεπλασμένον* Gen.[b]): ὅτι φιλαλήθης πέφυκας. τὸ δὲ *ἐκ Διός*, ὅτι ἀψευδής ἐστιν ὁ Ζεύς, ὡς καὶ Ὅμηρος·

οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλόν,
— — — — — — — ὅτι κεν κεφαλῇ κατανεύσω.

— (*ΕΡΝΟΣ*: ἐν θεοῖς γεγενημένον, ἐπεὶ φιλαλήθης πέφυκας. L.)

Vs. 45. 46.

Rec. *Ὥς μοι καὶ τέκτων μέγα*: πλεῖστον ἐμοὶ μισεῖται καὶ ὁ τέκτων ἐκεῖνος, ὅστις ἐρευνᾷ, ἀντὶ τοῦ ζητεῖ, ἐργάσασθαι οἶκον ἴσον τῇ κορυφῇ τοῦ ὄρους τοῦ Ὡρομέδοντος. ἐν τῇ Κῷ φασιν εἶναι τοῦτο τὸ ὄρος.

Vet. Ἄλλως. *Ὥς μοι καὶ τέκτων*: οἷον ὁ τέκτων ὁ καυχώμενος καὶ ἐπαγγελλόμενος οἶκον ποιεῖν Ὡρομέδοντος ὑψηλότερον ὄρους κεφαλῆς, παντελῶς ἀδυνάτου τῆς πράξεως

42) *Κατὰ προσποίησιν.* L. *κατ' ἐπιτηδειότητα, τὸ κοινῶς ἐξ ἔργου.* M. *ἐπιτηδείως, ἤγουν ἐξ ἔργου καὶ μετὰ σπουδῆς.* E. *ἐπ' αὐτῷ τούτῳ, τὸ κοινῶς ἐξέργου.* P. *ἐξ ἔργου.* Stop. *ἐσκεμμένως.* C.

43) *Ῥόπαλον.* P.

44) *Δεδημιουργημένον.* Vim. — *Ὅλον φυτὸν ἐκ τοῦ Διὸς κατεσκευασμένον εἰς ἀλήθειαν.* P. *κλάδος. τὸ δὲ ἐκ Διός, ὅτι φιλαλήθης.* L.

45) [*Ὥς*:] *λίαν, οὕτως.* C. L. *ἐπεί.* E. N. *ὡς μέγα ἀντὶ τοῦ πλεῖστον.* Lips. — *Ζητεῖ, λέγει.* M. *καυχᾶται.* C.

---

2) *ἐπιτεταμένως* cod. 4) //Gen.[a] sola habet *φυτὸν .... εἰργασμένον* post partem scholii sequentis, quae ibi legitur. *Lips. *ταύτην σοι — χαρίσομαι .... εἰργ.* 5) *ὅτι ὑπάρχεις* E. M. N. Y. — *ὑπὸ τοῦ Διὸς*] omnes hoc loco, E. M. N. Y. Lips., *ὑπὸ Διὸς* Gen.[a], *ἐκ Διὸς* post *ὅλον* vulg. 6) *ὂν* pro *ὅλον* Gen.[a] 8) //Gen.[b] 9) Gen.[a] hinc habet scholium: *ἐκ Διὸς ἔρνος: ὅτι ὁ Ζ. ἀψ. ἐστιν.* 11) *Hom. Il. A*, 526. — *οὐδ' ἀπ.* seqq. om. Gen.[b] 16) //Gen.[a] Lips., ille c. lemm. *καὶ τέκτων.* 18) *ἴσον*] ante Scult., *ἶσον* vulg. 19) *ἐστὶ* pro *εἶναι* Lips. 20) //Gen.[b] sine *ὁ τέκτων ὁ.*

ὑπαρχούσης. ἢ Ὠρομέδοντα τὸν Πᾶνα συνθέτως, ὅ ἐστι βασιλέα τῶν ὀρῶν ἢ τοῦ οὐρανοῦ. ὁ δὲ νοῦς· μισῶ καὶ τέκτονα, ὃς ἐρευνᾷ οἶκον τελέσαι μέγεθος ἔχοντα τῆς τοῦ ὄρους κορυφῆς. ἢ ὄρος ἐν Κῷ ἀπὸ Ὠρομέδοντος τοῦ τῆς Νάξου νήσου βασιλεύσαντος. καὶ ὁ Διονύσιος τὸν Πᾶνά φησι παρὰ τὸ μέδειν τῶν ὀρῶν, ἄλλοι δὲ τοῦ οὐρανοῦ. ἄλλοι τὸν ἥλιον, ἄλλοι μοιχὸν Ἥρας εἶναι τοῦτον. ἢ ὠρομέδοντος: τοῦ ὄρους τοῦ ὑψηλοτάτου, τοῦ τῶν ὀρῶν μέδοντος τῷ ὕψει. ἢ Ὠρομέδοντα φησὶ τὸν Πᾶνα· ἀγροικικὸς γὰρ ὁ θεός. ὄρος δὲ αὐτοῦ, οὗ κατοικεῖ, τὸ τῆς Θετταλίας, ὡς προϊὼν οὗτος λέξει. — Ἄλλως. Ὠρομέδοντα οἱ μὲν τὸν Πᾶνά φασιν ὡς τῶν ὀρέων μέδοντα κατ' ἔκτασιν τοῦ ο· οἱ δὲ τὸν ἥλιον ὡς βασιλεύοντα τῶν τεσσάρων ὡρῶν τοῦ ἐνιαυτοῦ, τὸ δὲ ἀληθές· Ὠρομέδων ἐστὶν ὄρος ἐν Κῷ ὑψηλότερον τῶν ἐν τῇ Κῷ ἑτέρων ὀρέων, κατ' ἔκτασιν καὶ τοῦτο τοῦ ο. ὁ δὲ νοῦς· μισῶ τέκτονας τοὺς καυχωμένους καὶ ποιεῖν ἐπαγγελλομένους οἶκον ἴσον τῇ κορυφῇ τοῦ ὄρους τοῦ Ὠρομέδοντος. τοῦτο γὰρ ἀδύνατον.

Vs. 47. 48.

Rec. *Καὶ Μοισᾶν ὄρνιχες: Μουσῶν ὄρνιθες λέγονται πάντα τὰ εὔφωνα τῶν ὀρνέων. ἐνταῦθα δὲ τοὺς ποιητὰς λέγει Μουσῶν ὄρνιθας μεταφορικῶς διὰ τὰ μέτρα καὶ τὴν ἐν αὐτοῖς ἐμμέλειαν. — Καὶ Μοισᾶν ὄρνιχες: τὰ ἀνωτέρω συνυπακούεται ἀπὸ κοινοῦ κατ' ἀναλογίαν τοῦ προρρηθέντος, ἤγουν ἀπέχθονται πλεῖστον ἐμοὶ καὶ οἱ ὄρνιθες τῶν Μουσῶν πάντες, τουτέστιν οἱ ποιηταί, ὅσοι πρὸς τὸν*

46) [*Ὠρομέδοντος:*] *μεγάλου.* M.

47) [*Ὄρνιχες:*] *ὄρνιθες Αἰολικῶς.* L. *ἀπὸ κοινοῦ· πλεῖστον ἀπέχθονταί μοι καὶ οἱ ποιηταί.* E. N.

1) *ἢ* om. Gen.[b] — *Ὠρομέδοντος* L. Gen.[b] 1) *συντέτως* Gen.[b] 3) *δόμον* pro *οἶκον* Gen.[b] 4) *ἀπὸ* ... *βασιλ.* etiam in Gen.[a] extant, praecedenti scholio adhaerentia. 4) *Νάξου νήσου*] 3.[1] 4.[1] L. Gen.[a.b.], *Νάξου* 3.[2] 4.[2], *νήσου* vulg. 5) *βασιλεύοντος* Gen.[a] 5) *ὁ*] add. L. Gen.[b] 6) *δὲ*] add. Gen.[b] — *τὸν οὐρανὸν* vulg. 6) *οἶνον* pro *ἥλιον* L. 7) *τοῦτον*] L. Gen.[b], *τοιοῦτον* vulg. 7) *ἢ* potius post *ὠρομ.* Gen.[b] — *Ὠρομ.* vulgo post Scult. 8) *τῷ*] add. Gen.[b] 9) *ὠρομέδοντα* ante Bas. II. — *φησὶ*] add. L. Gen.[b] 10) *ᾧ* pro *οὗ* Gen.[b] et ante Heins. 10) *κατοιχεῖ τῆς* Gen.[b] 10) *λέγει* Gen.[b] 11) //Om. Gen.[a.b.] Lips. 17) *ἴσον* vulg. 20) //Gen.[a] sine lemmate et Lips. 23) *τὴν αὐτῶν* E. 23) //Gen.[a] ante SchRec. ad Vs. 40. et Lips., etiam hic c. lemm. 24) *προρρηθέντος*] E., ut conj. Geelius, *προσρ.* vulg. 25) *ἀπέχθηνται* 2.

ποιητὴν τὸν Χῖον, ἤτοι τὸν Ὅμηρον, ἀπεναντίας ᾄδοντες, ὁμοῦ ἀντὶ τοῦ ἐρίζοντες, μάταια μοχθοῦσι, τουτέστι ματαιοπονοῦσιν.

Vs. 50. 51.

Rec. Σιμιχίδα, κἠγὼ μέν: *ἄλλως ἀρξάμενος ἄλλως ἀποδίδωσιν ὥσπερ ἀπὸ μεταμελείας. εἰ γὰρ κατὰ τὴν ἀκολουθίαν τῆς ἀρχῆς ἀπεδίδου, εἶχεν ἂν ὁ λόγος οὕτως· ὦ Σιμιχίδα, καὶ ἐγὼ μὲν ᾄσω τὸ μελύδριον, ὃ πρὸ ὀλίγου ἐν τῷ ὄρει πονήσας εἰργασάμην· σὺ δὲ ὅρα, εἴ σοι τοῦτο ἀρέσκει.*

Vs. 52—56.

Vet. Ἔσσεται Ἀγεάνακτι: *ἑαυτὸν παρεισάγει Λυκίδας Μιτυληναίου τινὸς ἐρῶντα καὶ τοῦτο εὐχόμενον*[. *ᾄδει οὖν ταῦτα εἰς τὸν Ἀγεάνακτα, εὐχόμενος*] *αὐτὸν ὑγιᾶ ἀπελθεῖν εἰς Μιτυλήνην, καὶ ὅταν δύνωσιν οἱ ἔριφοι καὶ καταφέρηται ὁ Ὠρίων εἰς ὠκεανὸν καὶ ὁ νότος πνέων ἐλαύνῃ τὰ κύματα, ἐὰν ἐμὲ τὸν Λυκίδαν τοῦ ἐρᾶν παύσῃ. — (Τὸν Λυκίδαν ὁ Θεόκριτος εἰσάγει ἐρῶντα Μιτυληναίου παιδὸς Ἀγεάνακτος, ὅθεν καὶ εὔχεται ἵνα εὐπλοῇ, κἂν χειμῶνι νότος τὴν θάλατταν διαταράσσῃ καὶ τῶν ἐρίφων δυνόντων σφοδροὶ χειμῶνες γίνωνται.* 3.)

Rec. Χὤταν ἐφ' ἑσπερίοις ἐρίφοις νότος: *καὶ ὅταν ὁ νότος τὰ ὑγρὰ ἐλαύνῃ κύματα ἐπὶ τοῖς ἐρίφοις δύνουσι· τοῦτο γὰρ δύναται τὸ ἑσπερίοις, τουτέστι κατὰ τὸν*

48) *Ἠχοῦντες, τουτέστιν ὁμοίως ἐκείνῳ βουλόμενοι γράφειν.* M. *ἐναντία, ἀντιπρόσωπον ᾄδοντες ὁμοῦ.* P. — *Κακοπαθοῦσι.* L. *πάσχουσι, μοχθοῦσι.* M. *πονοῦσι.* N.

51) *Ὑποκοριστικῶς τὸ μέλος.* E. N. *μέλος, ᾠδάριον.* M. *τὸ ἡδὺ μέλος.* P. — *Ἐποίησα.* M.

52) *Ἀντὶ τοῦ εἴη.* M. P. Lips. — *Τῷ αὐτοῦ ἐρωμένῳ λέγει.* M. P. *οὗ ἦρα ὁ αἰπόλος.* E. — *Ἐπιτήδειος, ἀκίνδυνος.* M. P. Lips. *εὔδιος.* E. — *Ἐς Μιτυλήνην, ἀπερχομένῳ δηλονότι ἐντεῦθεν ἀπὸ τῆς Κύδωνος ἡμετέρας πόλεως.* M.

---

1) *ἀπ' ἐναντίας* N., *ἀπεναντίως* E., *ἐξ ἐναντίας* C. 2) *μάταια πον.* (Gen.[a] 5) //Gen.[a] Lips. — *κἠγὼ μὲν* om. Gen.[a] 7) *οὗτος* (Gen.[a] ?) Kiessl. 8) *προλέγον* pro *πρὸ ὀλίγου* Gen.[a] 11) //Gen.[b] 12) *τοῦτο*] L. Gen.[b] vulg., *τούτῳ* Reisk. seqq. 13) *ταῦ* ante Brub. 15) *εἰς τὸν ὠκ.* (Gen.[b] 15) *ἐλαύνει* Gen.[b] 17) *τοῦ Μιτ.* Wart. 18) *εὔπλο...καν* Wart. 20) *γίνωνται*] Gail., *γίνονται* cod. 21) // Gen.[a] sine lemmate et Lips. 22) *ἐλαύνει* ante Brub. 23) *ἑσπερίας* Lips.

καιρὸν ὅτε οἱ ἔριφοι ἑσπέριοι γίνονται, ἤγουν κατὰ τὸν δυτικὸν ὁρίζοντα, τουτέστι δύνουσι, τὴν ἑῴαν δηλονότι δύσιν· καὶ ὅτε ὁ Ὠρίων (ἐπὶ τῷ ὠκεανῷ τοὺς πόδας ἔχει, ἤγουν καὶ ὅτε ὁ Ὠρίων 2. P. Gen.[a] Lips.) δύνει, τὴν ἑῴαν δηλονότι δύσιν. δύνει δὲ οὗτος τὴν ἑῴαν δύσιν μετὰ τὰς Πλειάδας εὐθύς. — (Ἐν γὰρ τῷ χειμῶνι ἀνίσχοντος τοῦ ἡλίου οὗτος τὴν ἑῴαν δύσιν δύνει. *M. Gen.[a] — *Θερμὸς γὰρ ἔρως*: ἀντὶ τοῦ θερμαντικός, καυστικὸς ἔρως αὐτοῦ, ἤγουν ὃν ἐγὼ ἐρῶ αὐτοῦ. E. M. N. P. Gen.[a] *Lips.)

Vet. Ἄλλως. *Ἐφ' ἑσπερίοις ἐρίφοις*: δυνόντων γὰρ τῶν δύο ἐρίφων ἑσπέρας, τὸ πέλαγος νότος ταράσσει, [ἢ σφοδροὶ κατὰ τὴν θάλασσαν γίνονται χειμῶνες·] καὶ ὅταν ὁ Ὠρίων εἰς τὸν ὠκεανὸν καταφέρηται, (χειμῶνες γίνονται. L. Gen.[b]) — *Καλὸς πλόος ἐς Μιτυλήνην*: ἐπειδὴ Μιτυληναῖος ὢν ὁ Ἀγεάναξ μέλλει χωρίζεσθαι εἰς τὴν πατρίδα, φησὶν ὅτι αὐτῷ καλὸς πλοῦς ἔσται, κἂν χειμῶνος πλέῃ, ὥστε τοὺς μὲν ἐρίφους ἑσπέρας δύνειν καὶ τὸν Ὠρίωνα καταφέρεσθαι, τὸν δὲ νότον ταράσσειν τὸ πέλαγος. κατασταθήσεται δέ, φησίν, ὁ χειμών, καὶ εὐπλοήσει ὁ Ἀγεάναξ, ἂν αὐτὸν τοῦ ἐρᾶν παύσῃ χαρισάμενος τῆς ὥρας. — (Ἡνίκα τὸ ἄστρον οἱ ἔριφοι <δύνει ἑσπέρας,> σφοδροὶ γίνονται χειμῶνες κατὰ θάλατταν, καὶ ὅτε Ὠρίων δύνει. Gen.[b]) — Ἔριφοι δέ εἰσιν ἀστέρες· ὅταν δὲ ἀνατέλλωσιν οὗτοι, ἀγριαίνεται ἡ θάλασσα.

53) Ἐν χειμῶνι, ὅτε οἱ ἔριφοι τὴν ἑῴαν δύσιν δύνουσι. K. M. — [*Ἑσπερίοις*:] δύνουσι. E. L. — [*Διώκει*:] ἐγείρει. M.

54) [*Χ' ὡρίων*:] τὸ κοινῶς ἀλετροπόδιον λεγόμενον. M.

55) Ὅπως, ἵνα, ἐάν. E. M. ἀντὶ τοῦ ἵνα. Lips. — *Καιόμενον*, φλογιζόμενον. C. M. καιόμενον, φλεγόμενον. Vim. φλεγόμενον. K. P. Lips. — Ἐξ ἐνεργείας τῆς Ἀφροδίτης. K. M. P. Y. Lips. ἐκ τοῦ ἔρωτος. E.

56) *Λυτρώσηται*, ἀπαλλάξῃ, τῆς ὀπτήσεως δηλονότι. K. M. P. Y. Lips. ἀπαλλάξῃ με τῆς ὀπτήσεως. Stop. — *Καταφλέγει*. M. P. Lips.

---

1) *γίνονται*] Lips. vulg., *γίγνονται* Reisk. seqq. 1) *ἤγ. κ. τ. δ. ὁρ.*] hoc loco M. N. P. Y. Lips. et ante Heins., post proximum *δύσιν* vulg. 2) *τουτέστι* om. N. 2) *δηλονότι*] add. M. N. P. Y. Lips., *δηλαδὴ* Gen.[a] 4) ὁ om. 2. (Gen.[a]) 4) *δηλονότι*] add. Lips. 6) Schol. in Gen.[a] legitur post SchRec. ad Vs. 57. — τῷ et τοῦ om. Gen.[a] 7) *καὶ τὴν* Gen.[a] 8) *καυστικὸς* om. Gen.[a] 10) //Gen.[b] post *θάλασσα* lin. 23. sine *ἄλλως*. 11) *τὸ πέλαγος*] add. 3. 4. L. Gen.[b] 11) *ἢ .... χειμῶνες* om. L. Gen.[b] 13) *χειμῶνος* L. 14) //Gen.[b], ubi *Μιτυλήναν*. 15) ὁ *Ἀγ.* om. Gen.[b] 16) *καὶ χειμ. πλέοι* Gen.[b] 19) *εὐπλοήσοι* ante Brub., *εὐπλοή σοι* Gen.[b] 19) *ὁ Ἀγ. τ' ἂν αὐτὸν τοῦ ἐραστοῦ πᾶσι* Gen.[b] 22) *θάττατταν* cod. 22) //Gen.[b] sine *δέ*. 23) *ἀνατέλλουσιν* Gen.[b]

— (*Αἴκεν*: τὸ αἴκεν ἀντὶ τοῦ ἵνα· ἵνα, φησί, τὸν Λυκίδαν ὀπτώμενον ὑπὸ τοῦ ἔρωτος καὶ καιόμενον ῥύσηται. p.)

Vs. 57.

Vet. *Χ' ἁλκυόνες*: Ἀλκυὼν θυγάτηρ μὲν Αἰόλου καὶ Κανώβης, γυνὴ δὲ Κήϋκος. Ἀλέξανδρος δέ φησιν ὁ Μύνδιος, ὅτι αὕτη θεῶν λέλογχε [Νηρηΐδων] ⟨φιλίαν· λέγει δὲ⟩ Λευκοθέαν, Παλαίμονα, Ἀφροδίτην. ἁλκυόνες οὖν ἐκλήθησαν παρὰ τὸ ἐν ἁλὶ κύειν. Ἀντίγονος δέ φησιν· ὅταν γηράσωσιν αἱ ἁλκυόνες, κήρυλοι καλοῦνται. Ἀριστοτέλης δὲ διῄρησεν ἁλκυόνα καὶ κήρυλον καὶ κορώνην. οἱ δέ φασιν ὅτι τὰ ἄρρενα τούτων κήρυλοι καλοῦνται· ὅπερ ἀληθές ἐστι. θρηνητικὸν δὲ τὸ ζῷον καὶ παρὰ τοῖς αἰγιαλοῖς νεοττεῦον· καὶ τὸ κῦμα ἀφαιρεῖται τοὺς νεοσσοὺς αὐτοῦ. δεκατέσσαρας δὲ ἡμέρας φασίν, ὅταν γεννᾷ, περὶ τὰς χειμερινὰς τροπὰς εὐδιάζειν, ἃς καλοῦσιν ἁλκυονίδας, ἑπτὰ πρὸ τῆς γεννήσεως καὶ ἑπτὰ μετὰ τὴν γέννησιν. — (Ἀντίγονος δέ φησιν, ὅτι γηράσκουσαι αἱ ἁλκυόνες κήρυλοι γίνονται. τὸ δὲ ζῷον βιοτεύει περὶ τὸν αἰγιαλόν, καὶ τὸ κῦμα ἀφαιρεῖται αὐτοῦ τοὺς νεοσσούς. ιδʹ δὲ ἡμέρας φασὶ περὶ τὰς χειμερινὰς τροπὰς εὐδιάζειν, ἃς καλοῦσιν ἁλκυονίδας. εἴρηται δὲ ἁλκυὼν παρὰ τὸ ἐν ἁλὶ κύειν. p.) — *Στορεσεῦντι τὰ κύματα*: καταστορέσουσι τὰ κύματα, γαληναῖα ποιήσουσιν, ἐάν με τοῦ ἔρωτος ἐξέληται, τὸν Λυκίδαν. — *Ἁλκυόνες* δὲ ὄρνιθες θαλάσσιοι, ὧν τικτουσῶν στορέννυται ἡ θάλασσα.

57) *Καὶ αἱ ἁλκυόνες*. M. Lips. — Ἡμερώσουσι. L. κατασιγάσουσι. E. N. καταπραΰνοιεν. K. P.

---

2) ὀπτεύμενον cod. 4) //Gen.[b.], ubi *Χ' ἁλκύονες*. — Ἀλκυὼν L. Gen.[b.] — μὲν Αἰόλου] Reisk. seqq., μαινόλου 3. 4. L. Vulc., μαινολοῦ Gen.[b.], μαιόλου ante Brub., Αἰόλου vulg. 5) Κανόβης Vulc., μανώρης 3. 5) Κύηκος Gen.[b] et ante Heins. 5) Μύνδου 3. 4. L. Gen.[b.] 6) ἄτη Gen.[b.] 7) Λευκοθέαν] 4. L. Gen.[b.], -ων 3., -ην vulg. 7) παλαίμεναν L. Gen.[b.], παλαίμναν 3. 7) Ἀφροδίτη Gen.[b.] 7) ἁλκ— hic et in seqq. ante Brub. II. 8) ἀπὸ τοῦ ἐν 3. 8) καὶ Ἀντ. φησι Gen.[b.] — *Antig. Car. c.* 27. 8) γηράσωσιν] Gen.[b.], γηράσκωσιν 3. 4. L., γηράσουσιν ante Brub., γηράσκουσιν vulg. 9) *Aristot. H. An.* 8, 3. 12) αἰγιαλοῖσι Gen.[b.] 13) καὶ τὸ] Gen.[b.], τὸ vulg. 13) δεκατέσσαρες Kiessl., ιδʹ δέ φασι παρὰ τὰς χειμ. ἡμέρας εὐδιάζει Gen.[b.] 16) Verba Ἀντ. δέ φ. ex cod. non diserte afferuntur. 21) //Gen.[b.], ubi *στορεῦντι*. 21) καταστορέουσι ante Reisk. 23) //Gen.[a.b] et praemisso παλαιόν M., qui libri scholium hoc loco habent, quum vulgo post SchRec Vs. 59 legatur. — ἁλκυόνες] M. Gen.[a.b.], εἰσὶ vulg. — δὲ om. M. Gen.[a] 24) θαλάσσιοι Gen.[b.] — τίκτουσι Gen.[a.] — 25) ἁλκυόνες M.

Rec. (*Ἁλκυόνες στορεσεῦντι*: Phav. ἀντὶ τοῦ στορέσαιεν, ἤγουν κατακοιμίσαιεν. *M. *P. Gen.[a] *Lips. Phav.)

Vs. 58.

Vet. *Ἔσχατα φυκία κινεῖ*: τὸ φυκίον εἶδος βοτάνης. — Ἡ *φῦκός* ἐστι τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα. οἱ δὲ φυκίον φασὶ βοτάνην τὴν ἐν τῷ βυθῷ γινομένην παρὰ τὸ φύεσθαι· ἕτεροι δὲ φυκία φασὶ τὰ ἐν τοῖς αἰγιαλοῖς βρύα κικιννοειδῆ.

Rec. (*Ἔσχατα φυκία*: τὰ κατώτατα, ἤγουν τὰ ἐν τῷ βάθει τῆς θαλάσσης κείμενα βρύα σαλεύει. *M. *N. Gen.[a])

Vs. 59.

Rec. *Ἀλκιόνες γλαυκαῖς*: ἐπανάληψις τοῦτο.

Vet. *Γλαυκαῖς Νηρηΐσι*: γλαυκὰς τὰς Νηρηίδας φησὶ διὰ τὸ ἐν θαλάσσῃ διάγειν· οὐ γάρ εἰσι γλαυκαὶ τὸν χρῶτα. **** λέγει δὲ Λευκοθέαν, Παλαίμονα καὶ Ἀφροδίτην.

Vs. 60.

Vet. *Ἐφίλαθεν*: ἐφιλήθησαν ἢ φιλοῦνται. ἔστι δὲ Αἰολικόν, ὡς καὶ τὸ ἐκόσμηθεν. Καλλίμαχος δὲ [τοῦτο] παροξύνει.

Vs. 61. 62.

Rec. *Ὤρια πάντα γένοιτο*: ὡραῖα, ἔγκαιρα, ἐπιτήδεια.

58) Τὰ κατώτατα. Lips. τὰ κατώτατα τοῦ βυθοῦ. P. τὰ εἰς βάθη. E.

59) Ἐπαναφορά. E. L. ἐπανάληψις τὸ σχῆμα. M. — Διὰ τὸ εὐειδεῖς εἶναι. K. M. ταῖς καταπληκτικαῖς ἢ ταῖς καλαῖς. E. ἢ ταῖς λευκαῖς. N.

60) Πασῶν ὀρνίθων ἐφιλήθησαν. Lips. — Ἐστὶν ἐκ τῆς θαλάσσης ἡ ἄγρα. M. P. Lips., ἤγουν ἡ τροφή. M. P.

---

1) στορέσαιεν, κατακομίσαιεν Gen.[a] reliquis omissis, κατακοιμήσαιεν Phav., ubi haec s. v. στορεσεῦντι. 4) //Om. Gen.[a. b.] Lips. 5) //Gen.[b] post Schol. Vs. 64. 6) γινομένην] ante Heins., γενομένην vulg. 8) κικιννοειδῆ] conj. Duebn., κοκκινοειδῆ vulg., κοκκυνοειδῆ Gen.[b] 10) σαλεύει om. Gen.[a] 12) //*Lips. ἐπανάληψις. 13) //Gen.[b], ubi γαυκαῖς. 14) ἐν τῇ θαλ. Gen.[b] 17) //Gen.[b], ubi ἐφίλαθεν: τὸ ἐφίλαθεν δωρικός ἐστιν ὡς τὸ ἐκ. — Δωρικόν 4. L. 18) δὲ om. Gen.[b], τοῦτο om. 3. 4. L. Gen.[b] 21) //*Lips. ἔγκ. ἐπιτ. — ὡραῖα] ὥρια vulg. — 25) καλαῖς] Duebn., κακαῖς cod.

Vet. Ἢ ὥ ρ ι α: τῷ Ἀγεάνακτι ἀποπλέοντι εἰς Μιτυλήνην γένοιτο πάντα τὰ ὥρια, ἤγουν τὰ διὰ φροντίδος αὐτῷ. ἢ ὥ ρ ι α π ά ν τ α γ έ ν ο ι τ ο: ἀντὶ τοῦ φυλακτικὰ ἀπὸ τοῦ ὠρῶ τὸ φυλάσσω.

Vs. 63.

Rec. (Κ ἠ γ ὼ τ ῆ ν ο: καὶ ἐγὼ κατὰ τὴν ἡμέραν ἐκείνην, ἤγουν ὅταν εἰς τὴν Μιτυλήνην ἀπέρχηται. *M. Gen.[a])

Vet. Κ ἠ γ ὼ τ ῆ ν ο κ α τ' ἆ μ α ρ ἀ ν ή τ ι ν ο ν: εἶδος ἄνθους [τὸ ἀνήτινον]· ἀνητίνοις δὲ ἐχρῶντο στεφάνοις, ὡς Ἀλκαῖος καὶ Σαπφώ. φασὶ δέ τινες καὶ πᾶν ἄνθος ἀνήτινον παρὰ τὸ ἄνω τείνεσθαι, ἤγουν ἵεσθαι. — Ἄνηθον τὸ μάλαθρον η, ἄνισον δὲ τὸ γλυκάνισον ι.

Vs. 64.

Vet. (Π α ρ ὰ κ ρ α τ ὶ φ υ λ ά σ σ ω ν: ἀντὶ τοῦ ἔχων·

ἐνθάδε μοι τόδε δῶμα ⟨φυλάσσοις·⟩

⟨ἀντὶ τοῦ⟩ ἔχοις. ⟨ἢ⟩ μὴ ἀποτίλλων τὰ ἐξ αὐτοῦ ἄνθη, ὃ δηλοῖ πεφυλαγμένῳ αὐτῷ χρώμενος. L. Gen.[b])

Rec. (Φ υ λ ά σ σ ω: ἤγουν ἔχων, φορῶν περικείμενον. ἢ φυλάσσων ἐκείνῳ. *M. Gen.[a] — Παρὰ τῇ κεφαλῇ μου τιθεὶς καὶ πεφυλαγμένον αὐτὸν ἔχων. *M. Gen.[a] *Lips.)

62) *Καιριότατα.* C. *ἁρμόδια.* K. *εὔδιεινά, φυλακτικά.* E. N. — *Μετὰ εὐπλοίας εἰς τὸν λιμένα ἀφίκοιτο.* M. P. Y. Lips. *μετ' εὐπλοίας.* 6. *εἴθε εὐπλοήσοι.* E.

63) *Ἀπὸ ῥόδων πεποιημένον.* M. Lips.

64) *Λευκῶν ἴων.* M. — *Περὶ τῇ κεφαλῇ αὐτοῦ τοῦ Ἀγεάνακτος.* E.

---

1) //Gen.[b], ubi ὦ ρ ι α ut ante Heins. 2) τα ὥρια] add. Gen.[b] (ubi ὦ.), quo recepto prius ὥρια pro lemmate scripsi. 3) ὦρια et ὠρῶ Gen.[b] 3) γ έ ν ο ι τ ο om. Gen.[b] 6) ἐκείνηην et postea τὴν om. M. 7) ἀπέχεται Gen.[a] 8) //G e n.[b] c. lemm. ἀ ν ή τ ι ν ο ν, et ita in lemm. etiam L. Can. et ante Heins., ἀ ν ή θ ι ν ο ν vulg. 9) τὸ ἀνήτινον] Q. Can. et ante Heins., item Reisk. seqq., τὸ ἄνηθον vulg., om. L. Gen.[b] 9) ἀνητίνοις] L. Q. Can. et ante Heins., ἀνηθίνοις Gen.[b] vulg. 10) ἀνήτινον] 3.[l] et ante Heins., item Reisk. seqq., ἀνήθινον Gen.[b], ἄνηθον vulg. 11) τείνεσθαι] 3. Gen.[b] et Kiessl., τίνεσθαι vulg. 11) ἤγ. ἵεσθαι om. Gen.[b], ἵεσθαι Phav. s. v. ἀ ν ή τ ι ν ο ν. 11) //Om. Gen.[a.b.] Lips. — Phav., ubi praecedenti adhaeret, habet ἄν. δὲ τὸ μάραθρον, ἢ ἄνισον τὸ γλ. 15) *Hom. Od.* E, 208, ubi ἐνθάδε κ' αὖθι μένων σὺν ἐμοὶ τόδε δ. φ. — ἐνθάδε] ἃ δὲ L. Gen.[b] — δῶμαι L. 16) ἔχοις] ἔχεις L., ἔχει Gen.[b] 16) αὐτῶν L. 17) πεφυλαγμένῳ αὐτῷ] fortasse L., ut conj. Adert., πεφυλαγμένον αὐτοῦ Gen.[b] 18) ἤγουν om. Gen.[a] — φορῶν om. M. 18) ὁ περικ. Gen.[a] 18) καὶ φυλάσσων ἐκεῖνον M. 19) παρὰ τ. κ. μου et καὶ om. Gen.[a] Lips. 20) αὐτὸς Gen.[a]

Vs. 65.

Vet. Τὸν Πτελεατικὸν οἶνον: Πτελέα τόπος ἐν Κῷ ἢ ἐν Ἀρκαδίᾳ· ἢ τὸν Θεσσαλικὸν οἶνον· ἢ τὸν ὑγείας καὶ ῥώμης παρασκευαστικόν· ἢ τὸν ἐν ἀναδενδράσι, παρόσον ταῖς παρακειμέναις πτελέαις ἐμπλέκονται· ἢ Ἐφέσιον· Πτελέα γὰρ ἡ Ἔφεσος ἐκαλεῖτο· ἢ τόπος ἐν αὐτῇ, ἢ ἐν Ἀρκαδίᾳ. Ὅμηρος·

Πτελεὸν καὶ Ἕλος.

ἢ τὸν ἐξ ἀναδενδράδων, αἳ ταῖς πτελέαις ἐποχοῦνται. ἢ ἀπὸ τόπου· ἔστι δὲ τόπος μέσον Ἐφέσου καὶ Μιλήτου.

Vs. 66.

Vet. Κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ: οὐ μάτην τοῦτό φησιν. ὁ γὰρ κύαμος διψοποιός. πόσεως δὲ χάριν τοῦτό φησιν.

Vs. 67. 68.

Vet. Χ' ἁ στιβὰς ἐσσεῖται: ὑποστρώσομεν καὶ στιβάδα πήχεως.

Rec. Ἠ· καὶ ἡ στρωμνὴ ἔσται ἐστιβασμένη ἔς τ' ἐπὶ (πᾶχυν, ἀντὶ τοῦ εἰς) πῆχυν, τουτέστι μέχρι πήχεως (— περισσὴ γὰρ ἡ ἐπί —) διὰ κνύζης καὶ ἀσφοδέλου καὶ σελίνου πολυγνάμπτου, ἤγουν πολυελίκτου, πολυκαμποῦς. —

65) Ἀπὸ Πτελέας τόπου. Lips. — Πίθου καταχρηστικῶς. M. — Ἀφύξω, ἤγουν ἀρύσομαι. M. Y. Lips. ἀντλήσω. P. ἀπαντλήσω. C. E.

66) Πυρὶ παρακαθήμενος. M. Lips. κείμενος. C. L. — Κυάμους. P. Lips. ὄσπρια. P. — [Τις:] ἄλλος. L. ἤγουν ἐγώ. E. — Καύσει. M. P. ξηρανεῖ. M. P. Lips. Stop.

67) Κεκαλλωπισμένη, κεκοσμημένη. M. ὑπεστρωμένη. E.

---

2) //Gen.[b.], ubi πτελιακόν. — Πτ. τόπος om. Gen.[b.] 3) τὸν Θ.] L. Gen.[b.], τὸν om. vulg. 4) τὸν ἐν ἀναδ.] Amstel., τὴν ἐν ἀναδ. δρόσον vulg. 4) παρόσον ταῖς] ante Scult. et Reisk. seqq., om. vulg. 5) ἐμπλέκεται Vulc. 7) Ὅμηρος om. Gen.[b.] 8) *Hom. Il.* B, 594. — Πτελεὸν καὶ Ἕλος] Kiessl. auctore Wartono, πτελέον ἔλαιον vulg., Πτελέον ἔναιον Brub. Xyl., πτελεὴν ἔλεος 3.[2.] Can. Vulc., πτελεην ἔλαιος 3.[1.], πτελέην ἔχεος L., om. Gen.[b.] 9) ἢ τῶν ἐξ et ἐπολοῦνται Gen.[b.] 10) ὁ τόπος Gen.[b.] 10) μεταξὺ Can. 12) //Om. Gen.[a.b.] Lips. 16) //Gen.[b.] 17) πήχεως] Gen.[b.] et vulg., μέχρι πήχεως Reisk. seqq. 18) //Gen.[a.] inde ab ἔς τ' et *Lips. 18) ὡς pro ἔς τ' Gen.[a.], ἔτ' ante Heins., ἔς τ' ἐπὶ πᾶχυν om. Lips. 19) Additamenta accesserunt ex E. M. N. Y. Gen.[a.] Lips. 20) Ante διὰ κν. in Gen.[a.] est lemma κνύζᾳ τε. — 27) καλλωπισμένη M.

(*Ἔς τ' ἐπὶ πᾶχυν*: ἡ ἐς καὶ ἡ ἐπὶ ἐκ παραλλήλου. *M. Gen.[a])

Vet. *Στιβὰς* δέ ἐστι στρωμνὴ ἐπὶ τῆς γῆς ἐκ φύλλων (πῆχυν ἔχουσα τὸ ὕψος. Gen.[b]) — (Πῆχυν ἕνα ἐστοιβασμένη. p.) — *Κνύζα τ' ἀσφοδέλω*: τὴν κόνυζαν κνύζαν εἶπεν. ἔστι δὲ φυτὸν ψυκτικώτατον, ἔνθεν καὶ ἐν τοῖς Θεσμοφορίοις ὑποστρωννύουσι τὸ φυτὸν τὴν θερμότητα τὴν κατὰ τὰ ἀφροδίσια ἐκκόπτοντες. ἀσφόδελος δὲ βοτάνη πλατύφυλλος, ἧς ὁ καυλὸς καλεῖται ἀνθέρικος. καὶ Ἡσίοδος·

οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.

καὶ ἀσφοδελὸς ὁ τόπος ὁ ἔχων ἀσφοδέλους, καὶ Ὅμηρος·

βῆ κατ' ἀσφοδελὸν λειμῶνα.

— *Πολυγνάμπτω τὲ σελίνω*: πολύγναμπτον λέγεται, ὅτι οὖλόν ἐστιν, ὡς καὶ καμπάς τινας ἔχειν.

Rec. (Ἀσφόδελος βοτάνη παύουσα τὰ ἀφροδίσια. N.)

Vs. 69. 70.

Rec. *Καὶ πίομαι μαλακῶς*: ἤγουν ἡδέως, ἐν ἀναπαύσει.

Vet. (*Αὐταῖσιν κυλίκεσσι*: οὐ διαιρῶν εἰς μικρά, ἀλλ' ἐν αὐταῖς ἀπνευστὶ πίνων. p.) — (*Αὐταῖσι κυλίκεσσιν*: ἀντὶ τοῦ) ἀθρόως (πίνων καὶ ἀπνευστὶ ἐν αὐταῖς,) οὐ διαιρῶν εἰς τὰ σμικρότερα τῶν ἐκπωμάτων. — (*Τρύγα* δὲ τὸν νέον οἶνον·

τρύγα δ' εἶχεν ἐδωδήν. L. Gen.[b])

68) Οὔλῳ, πολυκαμπεῖ. τοιοῦτον γὰρ τὸ σέλινον. M. πολυελίκτου. N.
69) [*Μαλακῶς*:] ἐν ἀναπαύσει, ἀναπεπαυμένος. P. ῥαδίως. L.
70) [*Ἐς τρύγα*:] μέχρις οὗ ἅπαν ἐκροφήσῃ τὸ πόμα. M. — Ἐπιστηρίζων. M.

---

1) Schol. in Gen.[a] ante praecedens legitur sine priore ἡ. 3) //Gen.[b] 5) //Gen.[b] sine τ'. 5) κόνιζαν κνίζαν 4. 6) τὸ ψυκτ. Gen.[b] 6) δεσμοφ. Gen.[b] 7) τὸ φυτὸν om. Gen.[b] 8) ἀσφοδέλῳ sine δὲ Gen.[b] 10) *Hesiod. Op.* 41. — μαλάκῃ Gen.[b], ubi desunt μέγ' ὄν. 11) ἀσφ. δὲ τόπος Gen.[b] 12) *Hom. Od.* Λ,539, ubi φοίτα μακρὰ βιβῶσα κατ' ἀ. λ. — βῆ] ante Brub., βῆ δὲ Gen.[b] et vulg. — ἀσφοδελῶν ante Heins. 13) //Om. Gen.[a.b.] Lips. — πολυγνάπτῳ et πολύγναπτον p. 17) //*Lips. ἐν ἀναπαύσει. 20) //3. 4. L. Gen.[b], quibus e libris additamenta accesserunt. — αὐταῖσιν κυλίκεσι Gen.[b] 21) ἀθρόως] καὶ ἀθρόως vulg., ἡδέως 3. 4. L. Gen.[b] 21) καὶ ἀπνευστὶ] L. ut Kiessl. divinaverat, καὶ ἀναπνευστὶ 3.[2] 4.[2], καὶ ἀνπνευστὶ 3.[1] 4.[1], καταπνευστὶ Gen.[b] 21) ἐν αὐταῖς] 3.[1] 4.[1.2], om. rell. 22) σμικρότερα] L., μικρότατα 3. 4. vulg. — 25) ὅλῳ cod., cf. l. 14.

Rec. Καὶ ἐς τρύγα χεῖλος ἐρείδων: ἤγουν μέχρι τρυγὸς ἀντὶ τοῦ τοῦ ἐν τῷ πυθμένι τῆς κύλικος οἴνου. τρὺξ δὲ κυρίως ὁ νέος οἶνος λέγεται, καταχρηστικῶς δὲ καὶ ὁ παλαιός· νῦν δὲ τὸν τρυγίαν λέγει.

Vs. 71.

Rec. Αὐλησεῦντι δέ: ἀντὶ τοῦ αὐλήσουσι. αὐλεῖν τὸ δι' αὐλοῦ μέλπειν· ἐνταῦθα δὲ τὸ αὐλήσουσιν ἀντὶ τοῦ ᾄσουσιν. — (Ἀχαρνεύς: Ἀττικὸς ἀπὸ δήμου, ἢ ὄνομα κύριον. *E. *N. Gen.[a]) —

Vet. Εἷς μὲν Ἀχαρνεύς: Ἀττικός· Ἀχάρναι γὰρ δῆμος τῆς Ἀττικῆς, (ὃς οὕτως ὠνόμασται ἀπό τινος Ἀχαρνέως ἄρχοντος. M. Gen.[a])

Vs. 72.

Vet. Εἷς δὲ Λυκωπίτας: ἤγουν Αἰτωλός. Λυκωπίτας γὰρ ὁ ἀπὸ Λυκώπης, ἡ δὲ Λυκώπη πόλις Αἰτωλίας. ἢ ἀπὸ δήμου· Λύκωπος γὰρ δῆμος Αἰτωλῶν. ἢ Λυκωπίτας: ⟨ὁ ἀπὸ Λυκώπης, πόλεως Αἰτωλίας⟩ ἐκ Λυκωπέως ἐχούσης τὴν κλῆσιν. — Ὁ δὲ Τίτυρος: ὄνομα κύριον αἰπόλου. τινὲς δὲ παρὰ Δωριεῦσι τοὺς Σατύρους ἀποδεδώκασι λέγεσθαι. — (Ὄνομα κύριον, ἢ ὁ Σάτυρος. p.)

Vs. 73.

Vet. Ὡς ποκα τᾶς Ξενέας ἠράσατο: ὄνομα κύριον.

71) Ἀττικός. Lips.

72) Αἰτωλὸς ἀπὸ Λυκώπης πόλεως Αἰτωλίας. M. Lips. — [Τίτυρος:] ὄνομα ποιμένος. E. ὄνομα κύριον. Lips. — [Ἔγγυθεν:] ἱστάμενος. E. — Ἀπὸ τοῦ πλησίον ᾄσει (διὰ στόματος. M.) M. Lips.

---

1) //*Lips. et *P. μέχρι ... οἴνου. 1) καὶ νέου οἴνου post μέχρι inserit *P. 2) ἀντὶ τοῦ τοῦ] ἀντὶ τοῦ *P. Lips., τῆς vulg. 2) οἴνου] P., τοῦ οἴνου Lips. vulg. 6) //Gen.[a] Lips. inde ab αὐλεῖν. 7) αὐλήσουσιν] Lips., αὐλησεῦντι vulg., αὐλησέντι ante Heins. 8) ἢ pro Ἀττικὸς E. N. 8) ἤγουν pro ἢ Gen.[a] 10) //Gen.[b] sine εἷς μέν. 10) Ἀχάρνα Gen.[b] 11) τῆς om. Gen.[b] — δῆμος τ. Ἀ. (δ. Ἀττικὸς Gen.[a]) etiam M. Gen.[a] cum seqq. — ὃς οὕτως om. Gen.[a] 14) //Gen.[b], ubi ἧς Λυκ. 14) αἰπόλος· Λυκώπη γὰρ πόλις mediis omissis L. Gen.[b] 15) Λυκῶπις pro Λυκώπη Vulc. 16) Αἰτωλῶν] Geel., ἀποίκων vulg. 16) Λυκωπίτας om. L. Gen.[b] — ἐν Gen.[b] 17) ἐχούσης] L. Gen.[b], ἔχων vulg. 18) //Gen.[b] omisso κύριον. 22) //Gen.[b] c. lemm. ὡς πόκα τ. Ξ. — 24) Αἰτωλίας om. M.

⟨ἢ⟩ ὡς τὸ κενεᾶς. ἀπέδοσαν δὲ τῆς ἐκ Κρήτης ξένης. ἢ γράφεται τᾶς Ξάνθας [ὡς ἔν τισιν]. — Ἄλλως. Μία τῶν Νυμφῶν ἡ Ξενέα· ἢ ὄνομα κύριον. — (Μοῦσα ἦν ἡ Ξενέα. L.)

Vs. 74—77.

Rec. [Χ' ὡ ς ὄ ρ ο ς: τὸ πᾶν·] καὶ ὅπως περιήρχετο τὸ ὄρος ζητῶν αὐτήν, καὶ ὅπως αἱ δρύες αὐτὸν ἐθρήνουν, αἵτινες ἐκπεφυκυῖαί εἰσι παρὰ ταῖς ὄχθαις τοῦ ποταμοῦ τοῦ Ἱμέρα, ὁπηνίκα ὡς χιὼν διερρεῖτο ὑπὸ τοῦ ἔρωτος ὑπὸ τὸν Αἶμον τὸν ἐπιπολὺ διήκοντα, ἢ ὑπὸ τὸν Ἄθων ἢ ὑπὸ τὴν Ῥοδόπην, ἢ ὑπὸ τὸν Καύκασον τὸν περὶ τὰ ἔσχατα τῆς γῆς ὄντα.

Vet. Ἱ μ έ ρ α α ἶ τ ε φ ύ ο ν τ ι: Ἱμέρα γενικὴ πτῶσις. ἔστι δὲ πόλις Σικελίας καὶ πηγὴ καὶ ποταμὸς ἀπὸ ταύτης ἔχων τὴν ἀρχήν. ἢ ποταμὸς Σικελίας καὶ πόλις ὁμώνυμος. — Ὑφ' Α ἶ μ ο ν ἢ Ἄ θ ω ἢ Ῥ ο δ ό π α ν: Αἶμος ὄρος Θρᾴκης ἀπὸ Αἵμου τοῦ Βορέου καὶ Ὠρειθυίας. καὶ ἡ Ῥοδόπη ὁμοίως ὄρος τῆς Θρᾴκης.

Rec. (Ὁ Αἶμος καὶ ἡ Ῥοδόπη ὄρη τῆς Θρᾴκης, Gen.[a.] Lips.) καὶ ἔτι ὁ Ἄθως, ὡς παρ' Ἀπολλωνίῳ τῷ Ῥοδίῳ·

Ἄθω ἀνέτελλε κολώνη
Θρηικίη.

73) [Ξ ε ν έ α ς:] γυναικός τινος. M. — Ἠράσθη, ἔρωτα ἔσχεν. M. Lips. ἐπεθύμησε. P.

74) [Ἀ μ φ ε π ο ν ε ῖ τ ο:] ἀνεστρέφετο. γράφεται ἀ μ φ ε π ο λ ε ῖ τ ο. 6. ἡ Ξενέα ψηλαφοῦσα τὸν Δάφνιν. L.

76) Καλῶς τὸ τήκειν· σημαίνει γὰρ τὸ τὸ κατὰ μικρὸν ὑπορρεῖν. L. — Τὸν μέγαν. P. τὸν εἰς μῆκος ἐκτεταμένον, ὑψηλόν. ὄρος Θρᾴκης ἀπὸ Αἵμωνός τινος ἄρξαντος ἐν τούτῳ. M.

---

1) κενεᾶς] Duebnerus, qui praeterea primus post κύριον puncto distinguendum esse vidit, καινέας L. Gen.[b.], Κενέας vulg., Κινέας Reisk. seqq. 1) ἀπέδωσαν ante Xyl., ἀπέδομαν L. 1) δὲ] L. Gen.[b.], δέ τινες vulg. 1) καὶ pro ἢ Gen.[b.] 2) τᾶς] L. Gen.[b.], τῆς vulg. 2) Ξάνθας] ξανθᾶς vulg. 2) ὡς ἔν τ. om. B. Gen.[b.] 2) //Om. Gen.[a.b.] Lips. 3) ἡ ξενία ἢ νύμφη 3., ξενία p. 5) //Gen.[a.] sola habet αἵτινες ... Ἱμέρα cum lemm. α ἶ τ ε φ ύ ο ν τ ι. *Lips. καὶ ὅπως .... ὅπως αἱ — αἵτινες ... ὁπηνίκα — διερρεῖτο ... διήκοντα — ὑπὸ τὸν — ὑπὸ τὴν — ὑπὸ — τὸν περὶ κτλ. 11) //Om. Gen.[a.b.] Lips. 14) //Om. Gen.[a.b.] Lips. 15) Ὠρειθυίας] Toup., Ὠριθείας vulg., Ὠρειθείας Kiessl. 18) //Gen.[a.] Lips. 18) παρ'] Gen.[a.] Lips., παρὰ vulg. 19) *Apoll. Rh.* I, 601. — Ἄθω] M. E. Gen.[a.] Lips. vulg., Ἄθως Reisk. seqq. 20) θρηικίω 2., θρηικία Gen.[a.] — Sequuntur in Gen.[a.] glossae Suideae: Ἄ θ ω ς κ α λ ύ π τ ε ι (ubi ἐπειδὴ καὶ τὴν βοῦν) et Ῥ ο δ ό π η. ὄ. κ. καὶ ὄρος Θρ., ὅ. τὰ ῥ. ἔχει Ἕβρος ποτ. Θρ.

Vet. (*Ἦ Ἄθω ἢ Ῥοδόπαν*: Gen.[b.]) [*καὶ*] *Σοφοκλῆς*· *Ἄθως σκιάζει νῶτα Λημνίας ἁλός.* *ὠνόμασται δὲ ἀπό τινος γίγαντος Ἄθου, ὃς ἦν Ποσειδῶνος καὶ Ῥοδόπης τῆς Στρυμόνος. ἀπὸ τῆς μητρὸς οὖν τῆς Θρᾴκης τὸ ὄρος, ἀπὸ δὲ τοῦ υἱοῦ τὸ πέλας ἐπωνόμασται.* (*Ἄθως δὲ καὶ Ῥοδόπη ὀνόματα ὀρῶν Θρᾴκης.* Gen.[b.]) — (*Αἷμος καὶ Ῥοδόπη ὄρη Θρᾴκης.* ⟨*Ἄθως*⟩ *ὄρος Θετταλίας, ὃ διέκοψεν ὁ Ξέρξης. Καύκασος ὄρος Σκυθίας.* p.[1.]) — *Ἢ Καύκασον ἐσχατόεντα*: *τὸν ἐν ἐσχάτοις μέρεσι τῆς γῆς ὄντα.* — *Ἄλλως.* (*Ἢ Καύκασον ἐσχατόωντα*: Gen.[b.]) *Ἀετόν φασιν εἶναι ποταμόν, περὶ* [*δὲ*] *τοὺς τόπους τοῦ Καυκάσου ὄρους λάβρως φερόμενον, τὴν χώραν Προμηθέως λυμαινόμενον, ὃν ἀπέστρεψεν Ἡρακλῆς, ἐξ οὗ φασιν ὁ μῦθος.*

Vs. 78. 79.

Vet. *Ἀσεῖ δ' ὡς ποκ' ἔδεκτο εὐρέα λάρναξ*: *τὶς αἰπόλος καλούμενος Κομάτας — ταὐτὸν δέ ἐστιν εἰπεῖν Μενάλκας — τοῦ οἰκείου δεσπότου θρέμματα νέμων ἐν Σικελίᾳ ἐν τῷ ὄρει τῆς Θουρίας ἔθυε συχνάκις ταῖς Μούσαις. ὁ δὲ δεσπότης αὐτοῦ δυσχεράνας κατέκλεισεν αὐτὸν εἰς λάρνακα ξυλίνην πειράζων εἰ σώσειαν αὐτὸν αἱ Μοῦσαι. δύο δὲ μηνῶν διελθόντων παραγενόμενος καὶ ἀνοίξας ζῶντα μὲν αὐτὸν εὗρε, πλήρη δὲ καὶ τὴν λάρνακα κηρίων.* — *Ἄλλως. Εὐρέα λάρναξ*: *Λύκος φησὶ τῆς Θουρίας ὄρος Θάλαμον, ὑφ' ᾧ ἄντρον τῶν Νυμφῶν· καλοῦσι δὲ αὐτὰς Λουσιάδας οἱ ἐπι-*

77) [*Καύκασον*:] *ὄρος Σκυθίας.* M. P. — *Τὸν εἰς τὰ ἔσχατα τῆς γῆς διήκοντα.* K.

78) *Ἐδέδεκτο.* M. Lips. *ἐδέξατο τὸν Κομάταν.* M. — *Πλατεῖα.* M. Lips. *σκοτεινή.* E.

---

1) //Gen.[b.] sine *καί*, et Phav. s. v. *Ἄθως* inde ab *Ἄθως σκιάζει.* 2) *Soph. fr.* 362. W. — *Ἄθω* Gen.[b.] 3) *Ἄνθου* 3., *ἄρχου* Gen.[b.], *ἀρχαίου* 4., *ἄρχοντος* L. 4) *ἀπὸ μητρὸς* Gen.[b.] 4) *γοῦν* 4. L. Gen.[b.] 5) *δὲ υἱοῦ* Gen.[b.] 5) *πέλας*] *πέλαγος* vulg. 7) Wartonus inter *Θρᾴκης* et *ὄρος* lacunam significavit; *καὶ ἔτι ὁ Ἄθως* supplevit Kiessl. 7) *ὃ διέκοψεν*] Kiessl., *ὅδε ἔκοψεν* cod. 8) *αυκασος* cod. 8) //Om. Gen.[a.b.] Lips., habet p.[1.] sine *ἢ Καύκ.* deinceps post sch. praec. 9) *τὸν* et *τῆς γῆς* om. p. 9) //Gen.[b.] 11) *δὲ* om. L. Gen.[b.] 15) //Om. Gen.[a.b.] Lips. 20) *σώζονδα* p. 21) *ἐλθόντων* vulg. ante Reisk. 22) *δὲ τὴν* p., *δὲ καὶ λάρν.* Reisk. seqq. 23) //Gen.[b.] — *Λύκος*] Kiessl. auctore Toupio, *Λύκιος* Gen.[b.] vulg. 23) *Θάλαμον*] L. Bar. Can. Gen.[b.] vulg., *θαλαμὼν* Reisk. seqq., *θαλ. καλούμενον· ἐκεῖ δὲ ὑπάρχει ἄντρον* Bar. 23) *ὑφ' ᾧ*] Gen.[b.], *ὑφ' ὃ* vulg. 24) *αὐτὰς Λουσιάδας*] Duebnerus viam monstrante Valckenario ad Id. I, 22., *αὐτὸ Ἀλουσίας* vulg., *αὐτὸν Ἀλουσίαν* Can.

χώριοι ἀπὸ τοῦ παραρρέοντος Λουσίου ποταμοῦ. ἐν τουτῳ ποιμὴν ἐπιχώριος δεσπότου θρέμματα βόσκων ἔθυεν ἐπὶ συχνὰ ταῖς Μούσαις. οὗ χάριν δυσχεράνας ὁ δεσπότης εἰς λάρνακα κατακλείσας αὐτὸν ἀπέθετο[. ἐν τούτῳ ἐδίσταξεν ὁ δεσπότης βουλευόμενος], εἰ σώσειαν αὐτὸν αἱ θεαί. παραδραμόντος δὲ διμηναίου χρόνου παραγενόμενος καὶ τὰ ζύγαστρα τῆς λάρνακος διανοίξας ζῶντα κατείληφε. καὶ τὴν λάρνακα πεπληρωμένην κηρίων εὗρεν. ἄνακτα δέ φησι τὸν δεσπότην.

Rec. (*Τὸν αἰπόλον*: *οὗτος φθονηθεὶς ὑπὸ τοῦ δεσπότου διὰ τὸ συχνὰ θύειν ταῖς Μούσαις ἐναπεκλείσθη ξυλίνῃ λάρνακι.* Gen.[a]) — *Κακῇσιν ἀτασθαλίῃσιν ἄνακτος*: *διὰ τὰς κακοτρόπους δυσσεβείας τοῦ δεσπότου αὐτοῦ.*

Vet. (*Ἀτασθαλίῃσιν ἄνακτος*: Gen.[b]) *φασὶν ὅτι ὁ Θεόκριτος τὰ τοῦ Δάφνιδος εἰς τὸν Κομάταν τοῦτον μετέθηκε. τοῦτον γὰρ ἡ μήτηρ ἐξέθηκε τὸν πατέρα ἄνακτα εὐλαβουμένη, εἰδυῖα ὅτι οὐ πείσει ὑπὸ τοῦ Ἑρμοῦ διακορηθῆναι λέγουσα.*

Vs. 80. 81.

Rec. *Ὥς τέ νιν αἱ σιμαί*: *ὅπως τε αὐτὸν αἱ σιμαὶ μέλισσαι ἔτρεφον ἀπὸ τοῦ λειμῶνος δι᾽ ἀνθέων ἁπαλῶν ἐρχόμεναι εἰς τὴν κέδρον, ἤγουν τὴν λάρνακα, ἥτις ἦν ἀπὸ κέδρου κατεσκευασμένη, τὴν ἡδεῖαν, διὰ τὴν ἐπισκοπὴν δηλονότι τῶν θεῶν.*

Vet. (*Ὥστε νιν αἱ σιμαί*: Gen.[b]) *σιμὰς καλεῖν ἔθος τὰς μελίσσας· τὸ γοῦν πρὸς ὑποδοχὴν τῆς ἐργασίας αὐτῶν ἄγγος σίμβλον καλοῦμεν, ὅπου τὸν κάματον τῶν σιμῶν βάλλουσι, σιμοβόλον τι ὄν.* —

79) *Μωρίαις.* C. E. — *Τοῦ κυρίου αὐτοῦ.* 6.

81) *Τὴν λάρνακα τὴν ἀπὸ κέδρου κατεσκευασμένην, ἥτις εἶχεν ἐκεῖνον.* M. — *Ἁπαλοῖς, νεαροῖς.* M.

---

1) *Λουσίου*] Duebnerus, *Ἀλουσίου* vulg. 2) *ἔθυεν ἐπὶ συχνὰ*] Gen.[b], *ἐθ. ἐπισυχνὰ* 4. Can., *ἐθ. ἐπὶ συχὰρ* L., *ἐπέθυε συχνὰ* Vulc., *ἔθυε συχνῶς* vulg. 4) *ἐδίσταξεν* L. 5) *θεαὶ*] 3. 4. L. Gen.[b] Vulc., *Μοῦσαι* vulg. 6) *διμηναίου*] Gen.[b] vulg., *μηναίου* L., *διμηνιαίου* Reisk. seqq. 8) *δεσποτὰν* Gen.[b] 11) //* Lips. 13) //Gen.[b] 14) *μετέθηκε*] Toup., *ἐξέθηκε* vulg., *μετέθ. τ. γὰρ* om. L. Gen.[b] 16) *πείσῃ* L. 16) *Ἑρμοῦ*] Lennepius *de Daphn.* p. 161, *χρυσοῦ* vulg. 16) *διακορισθῆναι* Gen.[b] 19) // Gen.[a] c. lemm. *κέδρον ὡς τε νῦν αἱ σ.*, Lips. c. lemm. *ὥς τέ νιν.* 21) *ἤγουν*] Gen.[a] Lips. et ex Vat. Wart. seqq., om. vulg. 24) //Gen.[b], ubi *οὕτω* pro *σιμάς*. 26) *βάλλουσι*] 3. 4. L. Gen.[b], *βάλουσι* Vulc., *βάλλομεν* vulg. 27) *σιμοβόλον τι*] ante Heins, *σιμόβολόν τι* vulg. 27) *ὢν* ante Brub.

Vs. 82.

Rec. Οὕνεκά οἱ γλυκὺ Μοῖσα κατὰ στόματος χέε νέκταρ: ἤγουν διότι ἔχεε κατὰ τοῦ στόματος αὐτοῦ ἡ Μοῦσα γλυκὺ νέκταρ· ἤγουν διότι ἦν ἄριστος μουσικός.

Vet. (Κατὰ στόματος χέε νέκταρ: Gen.[b.]) αἱ Μοῦσαι γὰρ αὐτὸν ᾄδειν ἐποίησαν· ἢ αἱ Μοῦσαι αὐτὸν γλυκύτατον τραγῳδὸν ἐποίησαν. δηλοῖ δὲ διὰ τοῦ νέκταρος ὑπερβολικήν τινα μελιχρότητα, ἤτοι τὴν γλυκυφωνίαν. συνεκδοχικῶς δὲ ἀπὸ μιᾶς τὰς πάσας δηλοῖ, (διὰ δὲ τοῦ νέκταρος τὸ γλυκύφωνον. Gen.[b.])

Rec. Ἐπὶ ἀορίστου τὸ ἔχεε· τὸ πρῶτον πρόσωπον αὐτοῦ ἔχεα. — Νέκταρ τὸ τῶν θεῶν πόμα, ἀμβροσία δὲ ἡ τούτων τροφή.

Vs. 83—86.

Rec. Ὦ μακαριστὲ Κομάτα: [τὸ πᾶν·] ὦ μακαρισμοῦ ἄξιε Κομάτα, σὺ δὴ ταῦτα ἔπαθες, καὶ σὺ κατεκλείσθης εἰς λάρνακα, καὶ σὺ μελισσῶν κηρόμελι σιτούμενος χρόνον μιᾶς ὥρας τοῦ χρόνου, ἤγουν τοῦ ἔαρος, ὅτε τὸ μέλι ἐργάζονται αἱ μέλισσαι, ἐξεπόνασας [— ἢ ἐξετέλεσσας· γράφεται γὰρ καὶ οὕτως —] ἤγουν μετὰ πόνου διήνυσας. εἴθε ἀποκείμενον ἦν εἶναί σε ἐναρίθμιον τοῖς ζῶσιν ἐπ᾽ ἐμοί, ἤγουν ἐπὶ τῇ ζωῇ τῇ ἐμῇ. — (Ἔτος ὥριον: χρόνον ἕνα, ἢ μίαν ὥραν τοῦ χρόνου, ἤγουν τὸ ἔαρ, ὅτε τὸ μέλι ἐργάζονται αἱ μέλισσαι. E. — Ὤφελες: ἀποκείμενος ὑπῆρχες. E.)

Vet. (Ὦ μακαριστὲ Κομάτα: Gen.[b.]) πέπλασται τὰ περὶ τοῦ Κομάτα ὑπὸ τοῦ Θεοκρίτου παρὰ τοῖς ἀρχαίοις οὐ

82) Ὅτι ἦδε γλυκύ, δηλονότι μουσικὸς ἄριστος. L. — Πόμα ἡδύ, ὃ οἱ θεοὶ πίνουσιν, ἤγουν τὴν ᾠδήν. M.

83) Τὸ τρέφεσθαι ὑπὸ μελισσῶν ἔπαθες. M.

---

2) //*Lips. praeter prius ἤγουν et τοῦ. 5) //Gen.[b.] omissis αἱ Μοῦσαι ... ἤ. 6) τὸν αὐτὸν Gen.[b.] 8) τὴν pro τινα Gen.[b.] et vulg. ante Reisk. — ἤτοι] ἢ vulg. 9) τὰς om. Gen.[b.] 11) //*Lips. — ἐπὶ ἀ. τὸ ἔχεε] Lips., τὸ δὲ χέε νέκταρ ἐπὶ ἀ. vulg. 11) αὐτοῦ] Lips. et ante Heins., om. vulg. 12) //Gen.[a.] Lips. 15) //Gen.[a.] inde ab σιτούμενος pro duobus scholiis habet αἴθ᾽ ἐπ᾽ ἐμοί: εἴθε ἀποκ. κτλ. (haec etiam M.) et ἔτος ὥριον: χρόνον ... μέλισσαι. Lips. s. l. ὦ μακ. ἄξιε — σὺ δὴ — ἔπαθες — κατεκλείσθης — σὺ — κηρόμελι σιτ., tum in marg. χρόνον ... μέλισσαι, postremo s. l. μετὰ τοῦ πόνου κτλ. 18) ἐργάζονται αἱ μέλισσαι] Gen.[a.] Lips., ἐργάζεται vulg., cf. lin. 23. 19) ἐξετέλεσας Call., ἐξετέλασας Bas. II. et ante Scult. 21) ζωοῖς (M.) Gen.[a.] 22) ἢ] τουτέστι cod. 25) //Gen.[b.] 26) παρὰ τοῦ Κομήτου Gen.[b.] 26) παρὰ om. Gen.[b.]

παραλαμβανόμενα. *ὑπὸ μελισσῶν τρεφόμενον* ⟨*ἐποίησε*⟩ *τὸν Κομάταν, καθάπερ ὁ Δάφνις ἱστορεῖται·*

οὐχὶ κεράσταν, ὅν ποτε θρέψατο ταυροπάτωρ.

— *Κατεκλάσθης*: *ἡ κλεὶς παρὰ Δωριεῦσι κλὰξ λέγεται, ἀφ' οὗ τὸ κατεκλάσθης.* — *Ἔτος ὥριον* [*ἐξετέλεσσας* — *γράφεται καὶ*] *ἐξεπόνασας*: *τινὲς τὸν ὅλον ἐνιαυτόν. δύναται δὲ ἔτος οὐ πάντως τὸ δωδεκάμηνον λέγειν, ἀλλὰ τὴν τῶν ὡρῶν μεταβολήν. διαιρεῖται δὲ εἰς δ'. τὸ γοῦν ἔαρ ὁ Θεόκριτος ὥριον εἶπε, τουτέστι τὸν τριμηνιαῖον καιρόν. διὰ γὰρ* [*τοῦ*] *τριμηνιαίου καιροῦ πληροῦνται αἱ τέσσαρες ὧραι τοῦ χρόνου.* — *Ἤ εἰς ὥρας περιεγένου, ἢ εἰς δύο μῆνας τοῦ ἔαρος.* — *Αἴθ' ἐπ' ἐμοί*: *Δωρικὸν τὸ αἴθε, Ἰωνικὸν τὸ εἴθε· ἔστι δὲ ἐπίρρημα εὐκτικόν. τὸ δὲ ἦμεν ἀντὶ τοῦ εἶναι Δωρικῶς.*

Vs. 87—92.

Rec. *Ὥς τοι ἐγὼ ἐνόμευον*: [*τὸ πᾶν·*] *ἵνα ἐγὼ τὰς καλάς σου αἶγας κατὰ τὰ ὄρη ἔβοσκον τῆς σῆς φωνῆς ἀκούων,* (— *Ἀριστείδης· ἵν' ἀμφοτέροις ἐκέρδαινον.* M. —) *σὺ δὲ ὑπὸ δρυσὶν ἢ ὑπὸ πεύκαις ἡδέως μελίζων, ἤγουν ᾄδων, κατέκεισο θεῖε Κομάτα. καὶ οὗτος μὲν τόσα εἰπὼν ἐπαύσατο, μεθ' ὅν αὖθις καὶ ἐγὼ τοιαῦτα ἔφην, ἀντὶ τοῦ οὕτως ἔφην.*

Vet. *Λυκίδα φίλε· πολλὰ μὲν ἄλλα Νύμφαι κἠμὲ δίδαξαν*: *ἐν εἰρωνείᾳ ὡς πρὸς αἰπόλον· ἐχρῆν γὰρ εἰπεῖν*

85) *Κηρόμελι σιτούμενος, τρεφόμενος.* M. — *Καιρὸν ἐαρινόν.* M. *ὁλόκληρον χρόνον. ἢ τὸ ἔαρ.* E. — *Μετὰ πόνου διήνυσας, ἐξετέλεσας.* E. N. *ἐπλήρωσας.* M. —

86) *Ἐν τῇ ζωῇ ἐμοῦ.* L. *ἐπὶ τῶν ἡμερῶν ἐμοῦ.* E. N. *νῦν ὅτε εἰμὶ ἐγώ.* M.

90) [*Ἀπεπαύσατο*:] *περισσὴ ἡ ἀπό.* E. — *Μεθ' ὅν αὖθις, μετὰ τόνδε κατὰ ἀντιστροφήν.* M. *μετὰ τοῦτον δὲ αυθις.* E.

92) *Κατὰ τὰ ὄρη βοῦς νέμοντα.* M. Lips.

---

3) *Pseudo-Theocr. Syring. Vs.* 3. *ἐφάψατο* pro *θρέψατο* 4. Gen.[b], *ποτ' ἐφάψατο* L. 4) //Om. Gen.[a.b.] Lips. 5) //Gen.[b.] — *ἐξετέλεσσας γρ. καὶ* om. L. Gen.[b.] 6) *τὸν* om. Gen.[b.] 7) *δὲ*] add. L. 7) *ἔτος*] *οὗτος* 3. L. Gen.[b.] et ante Heins., *οὕτως* vulg. 8) *διαρεῖται οὖν* Gen.[b.] 10) *τοῦ* om. Gen.[b.] 11) //Gen.[b.] — *παρεγένου* vulg. 12) //Gen.[b.], ubi *εἴθε· Δ. δὲ τὸ αἴθε. Ἰακὸν δὲ τὸ εἴθε· εὐκτ. ἐπίρρημα* Gen.[b.] 13) *ἦμεν*] Gen.[b.], *ἦμες* vulg. 16) //* Lips. *ἵνα .... ἀκούων — σὺ — ἤγουν ἡδέως ... κατέκεισο — καὶ ὁ — ἀντὶ τοῦ ἐπαύσατο κτλ.* 17) *αἶγάς σου* Lips. 18) *Ἀριστείδης*] Duebn. tac., *-δας* M.[3.] 19) *ἡδέως*] Lips., *ἡδέα* vulg. 21) *ἔφην* prius] Lips., *ἔφαν* vulg., *ἐφάμαν* Reisk. seqq. 22) //Gen.[b.] c. lemm. *κἠμὲ ἐδίδαξεν.*

αἱ Μοῦσαι. εἰ μή τις παρέργως τὰς Νύμφας ἀκούει Μούσας· οὕτω γὰρ αὐτὰς οἱ Λυδοὶ καλοῦσιν.

Vs. 93.

Vet. Ζηνὸς ἐπὶ θρόνον ἄγαγε φάμα: ἐπὶ τὴν τοῦ Διὸς βασιλείαν· λέγει δὲ τὸν οὐρανόν.

Vs. 94. 95.

Rec. Ἀλλὰ τόγ᾽ ἐκ πάντων: ἀλλὰ ἐκ πάντων τοῦτό ἐστι καταπολὺ ὑπερέχον, ὅπερ ᾄδειν ἄρξομαι· ἀλλ᾽ ἐπάκουσον.

Vet. [Ὅ,ττι κ᾽ ἀείδειν: τὸ ὅττι κ᾽ ἀείδειν γράφεται καὶ] ὧ τυ γεραίρεν [ἔν τισιν ἀντιγράφοις· καὶ λέγει·] ᾧτινί σε τιμήσω, ἢ δι᾽ οὗ, ἵν᾽ ᾖ γενική. τὸ δὲ ἐκ πάντων ἀντὶ τοῦ· ὃ μέλλω λέγειν παρὰ τὰ ἄλλα διενήνοχε. — (Γράφεται καὶ ὧ τὺ γεραίρευ ἀντὶ τοῦ ὦ φίλε σύ. p.)

Rec. Ἐπεὶ φίλος ἔπλεο Μοίσαις: ἐπεὶ φιλῇ ὑπὸ τῶν Μουσῶν, τουτέστιν ἐπεὶ μουσικὸς εἶ. ἄρχεται τῆς ᾠδῆς ὁ Θεόκριτος.

Vs. 96. 97.

Vet. Σιμιχίδᾳ μὲν Ἔρωτες ἐπέπταρον: καθὸ τῶν πταρμῶν οἱ μὲν ὠφελοῦσιν, οἱ δέ εἰσι βλαβεροί. [καὶ γάρ, φησίν, αὐτὸς σφόδρα Μυρτοῦς ἐρᾷ.] ὁ δὲ Ὅμηρος ἐπ᾽ ἀγαθῷ τὸν πταρμόν φησιν·

93) [Που:] ἴσως, ἢ περισσόν. M. περισσόν. Lips. — Παροιμία. L. — Τουτέστιν ἐξάκουστα ἐγένοντο. E. N.

94) [Γερέρευν:] ψάλλειν. w.

95) Ὑπάρχεις. M. N. P. Lips.

96) Ἤγουν ἐμοί. E. M. P. — Ἐπῆλθον, ἐπὶ κακῷ ἔπεσον καὶ ἐγένοντο, ἢ ἐπὶ καλῷ. L. ἐπέπνευσαν. M. P. Lips. ἐπῆλθον ἱπτάμενοι. M. P. ἐμνήσθησαν, βαρέως ἐπέπνευσαν. C. συνέβησαν. E.

---

1) ἀκούει. Μούσας γὰρ L. Gen.[b] cod. 4) //Om. Gen.[a.b.] Lips. 7) //Gen.[a.] *Lips. 8) περιέχον Gen.[a.] 8) ἄρχομαι M. 8) ἀλλ᾽ ἐπ. om. Gen.[a.] Lips. 9) //L. Gen.[b.] sine circumscriptis. 10) ᾧτινι pro ὧ τυ Gen.[b.] 12) περὶ pro παρὰ vulg. ante Reisk. 12) Ex p. ab Gaisf. afferuntur ὧ τυ seqq. tanquam post γράφεται καὶ l. 10. posita, unde haec praemisi. 13) τυ γεραίρεν cod. 14) //Lips. 15) εἶ] Lips, εἷς vulg. Seqq. om. Lips. 18) //Gen.[a.b.] c. lemm. ἐπέπταρον, illo post SchRec. Vs. 100 μέγ᾽ ἄριστος. 19) ὠφελοῦσιν, οἱ δέ εἰσι] Gen.[a.b.], εἰσιν ὠφέλιμοι, οἱ δὲ vulg. 19) καὶ γὰρ ... ἐρᾷ om. Gen.[a.], φησὶν om. Gen.[b.] Ante Reisk. post αὐτὸς distinctum erat, ut ea vox cum φησὶν jungeretur. 20) Ὅμ. δὲ Gen.[a.] 20) ἐπ᾽ ἀγαθῶν φησὶν Gen.[b.]

οὐχ ὁράᾳς, ὅ μοι υἱὸς ἐπέπταρεν.

(*ὡς καὶ ἐνταῦθα.* Gen.[a]) — *Ἦ γάρ: περὶ ἑαυτοῦ ὁ ποιητής φησι· τῷ Σιμιχίδῃ οἱ Ἔρωτες ἐπέπταρον. τῆς γὰρ Μυρτοῦς τοσοῦτον ἐρᾷ, ὅσον αἱ αἶγες ἔαρος. τὸν δὲ πταρμὸν ἐπὶ τῇ χείρονι μοίρᾳ.*

Vs. 98—102.

Rec. *Ὡ῏ρατος δ' ὁ τὰ πάντα φιλαίτατος κείνω τἀνδρί:* *ὁ Ἄρατος δὲ ὁ κατὰ τὰ πάντα φίλτατος ἐκείνῳ τῷ ἀνδρί, ἤγουν τῷ Σιμιχίδῃ, ἔχει πόθον παιδὸς ἐντὸς τῶν σπλάγχνων, τουτέστιν ἐν τῇ καρδίᾳ. ἡ ὑπὸ τὸ ἐντὸς δηλοῖ ἐνταῦθα.* — (*ΑΝΕΡΙ: ἤγουν ἐμοὶ τῷ Σιμιχίδῃ. ὑπαλλαγὴν γὰρ ποιεῖται τοῦ προσώπου.* Q.)

Vet. (*Ἄρατος δ' ὁ πάντα:* Gen.[b]) *ὁ δὲ τοῦ Σιμιχίδα ἑταῖρος Ἄρατος ἐρᾷ παιδός· ἐπίσταται δὲ αὐτοῦ τὸν ἔρωτα Ἄριστις ὁ κιθαρῳδός, ὄνομα δὲ τοῦ παιδὸς Φιλῖνος.* — *Οἶδεν Ἄριστις: τὰ περὶ Ἀρίστιδος διὰ μέσου κεῖται. τὸ δὲ ἑξῆς· οἶδεν ὁ Ἄριστις, ὡς ἐκ παιδὸς Ἄρατος καὶ τὰ λοιπά.* (*ὁ νοῦς· οἶδεν ὁ ἀγαθὸς Ἄριστις, οὗτος δὲ κιθαρῳδός.* L. Gen.[b]) *τοῦτον δέ, φησί, τὸν Ἄριστιν οὐδὲ ὁ Ἀπόλλων ἐν Πυθῶνι παρὰ τοῖς ἰδίοις τρίποσι κιθαρῳδοῦντα βλέπων ἀποστρέφεται οὐδὲ φθονεῖ αὐτῷ ᾄδειν ἐκεῖ.* —

97) [*Ἐρᾷ:*] *ἐρῶ.* L. P.

98) [*Ὡ῏ρατος:*] *φίλος ἦν οὗτος τοῦ Σιμιχίδα.* E. — *Τήνῳ: τῷ Σιμιχίδᾳ, ἤγουν ἐμοί.* 6.

99) *Νεανίσκου τινὸς Φιλίνου.* M. — *Ἠπίστατο ὁ Ἄριστις τὸν ἔρωτα τοῦ Ἀράτου.* E.

---

1) *Hom. Od. P*, 545. Verba Homeri om. Gen.[a] — *ὁρᾷς* Gen.[b] — *ἔπταρεν* Gen.[b] et ante Heins., *ἔπταρε* L. 2) //Gen.[b] — *Ἦ γάρ: περὶ*] *ἣ γὰρ περὶ* vulg. 2) *περὶ αὐτοῦ ἄδ. ὁ π. φ.* Gen.[b] in Aderti collatione, ubi nescio quid *ἄδ.* velit, fort. *ἄδων.* 3) *ὅρα τὸν Σιμιχίδα* pro *τῷ Σ.* Gen.[b] 7) //Lips. s. l. *ὁ Ἀρ.* — *κατὰ* — *φίλτατος ... Σιμ.* — *ἐντὸς ... καρδίᾳ,* tum in marg. verba *ἡ ὑπὸ κτλ.* post proximum SchRec. ut vulgo, unde transposui. 13) //Gen.[b] — *ὁ δὲ ... ἐπίσταται δὲ*] Gen.[b], *ὁ Ἀρ. δὲ τοῦ Σ. φίλος ὢν ηρα παιδός· ᾔδει δὲ καὶ ἠπίστατο* vulg., *ἐρᾷ* etiam L. 15) *ὁ κιθ.* om. Gen.[b] 15) *τοῦ παιδὸς*] 4. L. Gen.[b], *τῷ ἐρωμένῳ παιδὶ* vulg., *παιδὶ* om. p. 15) //Gen.[b] c. lemm. *οἶδα Α.*, omissis *τὰ περὶ ... κεῖται* et *δέ.* 17) *ὑπ' ὀστέον ἐθέλγετ' ἔρωτι* pro *καὶ τὰ λοιπὰ* L. Gen.[b] (leg. *αἴθετ'*). 18) *ὁ νοῦς*] *ὁμολας* L., *ὁ μόλας* Gen.[b] 19) Ex Vat. Wartonus verba *τοῦτον δέ φασι τὸν Ἀρίστιδα* tanquam novum scholium post *ἐπιτάσεως* pag. 269. 7. inseruit, omisit Gaisf. 20) *βλέπων*] L. Gen.[b], *ἰδὼν* vulg. 20) *ἀποστρέφεται οὐδὲ φθονεῖ*] 3. 4. L. Gen.[b], *ἀποστραφήσεται οὐδὲ φθονήσει* vulg. 21) *αὐτὸν* Gen.[b] — 23) Gl6. male ad Vs. 96 relata erat hoc modo *Σιμιχίδᾳ: τήνῳ τῷ* etc., quod Duebn. correxit.

Rec. *Οἶδεν Ἄριστις*: οἶδεν ὁ Ἄριστις ὁ κιθαρῳδός, ὁ ἀγαθὸς ἀνήρ, ὁ μέγα ἄριστος, ὃν ᾄδειν σὺν φόρμιγγι οὐδὲ αὐτὸς ἂν ὁ Φοῖβος παρὰ τῷ τρίποδι μεγαίροι, ἀντὶ τοῦ μέμψαιτο, ὅπως ἕνεκα παιδὸς ὁ Ἄρατος καίεται ὑπὸ τοῦ ἔρωτος ὑπ' ὀστέον, ἤγουν μέχρι μυελῶν. — *Μέγ' ἄριστος*: ἀντὶ τοῦ καταπολὺ ἄριστος. ποιητῶν δὲ καὶ αὕτη ἐστὶν ἐξουσία, τὸ ὑπερθετικοῖς χρῆσθαι μετὰ ἐπιτάσεως. — *Μεγαίροι*: τὸ μεγαίρειν τὸ φθονεῖν δηλοῖ. ἐνταῦθα δὲ τὸ μεγαίροι ἀντὶ τοῦ μέμφοιτο λέγεται. σύνηθες δὲ τοῦτο τοῖς ποιηταῖς τῷ φθονεῖν ἀντὶ τοῦ μέμφεσθαι χρῆσθαι, καὶ τῷ φθόνῳ ἀντὶ τῆς μέμψεως, ὡς παρ' Εὐριπίδῃ·

ὡς ἀποκτείνειν φθόνος
γυναῖκας, ἃς τὸ πρῶτον οὐκ ἐκτείνατε.

Vs. 103—105.

Vet. *Τόν μοι Πὰν ὁ μόλας*: ἐπικαλεῖται τὸν Πᾶνα, ἐπεὶ καὶ αὐτὸς τοιοῦτός ἐστιν. (καὶ Καλλίμαχος·

Πὰν ὁ Μαλειήτης τρύπανον αἰπολικόν.

3. 4. L. Gen.[b.]) — *Ὁμόλας* δὲ Θετταλίας ὄρος ὡς Ἔφορος καὶ Ἀριστόδημος ὁ Θηβαῖος, ἐν οἷς ἱστορεῖ περὶ τῆς ἑορτῆς τῶν Ὁμολωίων, καὶ Πίνδαρος ἐν τοῖς Ὑπορχήμασιν. — Ἄλλως. Ὅμολος ὄρος Θετταλίας, ἔνθα τιμᾶται ὁ Πάν. εὔχεται δὲ αὐτῷ ὡς παιδεραστῇ.

Rec. (*Τόν μοι Πάν*: Gen.[a.]) [ὁ νοῦς·] ὅν, παῖδα δηλον-

100) Ὃν ᾄδειν σὺν φόρμιγγι ἐπῄνει. P.

101) Κωλύει ἀποτρεπόμενος. L.

102) Οὕτως. C. E. M. — Ἐκ παιδικῆς ἡλικίας, ἢ ἕνεκα παιδός τινος. E. L. — Ἤγουν μέχρι μυελοῦ τοῦ ὑπὸ τὸ ὀστοῦν. M.

103) Ἐπιθυμητὸν διὰ τὸ εὐπρεπὲς εἶναι. M. ἀγαπητόν. E. — Ἐκληρώσω οἰκεῖν. M.

---

1) //Gen.[a.] Lips., etiam hic c. lemm. 1) ὁ κιθ. om. Gen.[a.] 2) ὁ μέγα om. Gen.[a.], μέγα om. Vatt. E. Lips. 4) ὅπερ ἔννεκα Gen.[a.] 4) τοῦ] add. E. P. Gen.[a.] 5) ὀστέον] E. Lips., ὀστέων vulg. 5) //Gen.[a.] Lips., etiam hic c. lemm. — ἀντὶ τ. κ. ἄρ. om. Gen.[a.], ubi τῶν ποιητῶν καί. 7) //Gen.[a.] Lips. sine lemm. 8) μεγαίρει Lips., μεγαίρειν iterum Gen.[a.] 9) τὸ φθονεῖν Gen.[a.] 12) *Eur. Hec.* 288. 15) //Gen.[b.] 17) *Callim. fr.* 412. — ὁ Μαλειήτης] Toup., ὁμαλιήτης 4., ὁμαλιητὴς L., ὁ ὁμαλιήτης Gen.[b.], ὁμαλιήτην 3. 18) //Gen.[b.] — Ὁμόλας] 3. L. Gen.[b.], Ὁμόλος ante Scult., Ὅμολος vulg. 18) Εὔφορος 3. L. Gen.[b.] 20) Ὁμολωίων] Meursius in Graec. fer., Ὁμόλων vulg., ὁμήρων 3.[2.] 4. Gen.[b.], ὁμηρῶν L., μηρων 3.[1.] 20) //Om. Gen.[a.b.] Lips. — ἄλλως] 3.[1.], ἢ vulg. 23) //Gen.[a.] omissis ὁ νοῦς et παῖδα δηλ., *Lips. ὃν δι' ἐμὴν χάριν — ὃς ... Ὅμολος — μὴ κεκλ. αὐθ. — ἄγων .... ἔμβαλον — ὁ τρυφερός.

ότι, δι' ἐμὴν χάριν ὦ Πάν, ὃς ἔλαχες τὸ ἐπέραστον χωρίον τοῦ Ὁμόλου — ὄρος ἐπὶ Θετταλίας ὁ Ὅμολος — ἄκλητον, ἤγουν μὴ κεκλημένον, αὐθόρμητον, εἰς τὰς ἐκείνου, τοῦ Ἀράτου, χεῖρας ἄγων ἐμβάλοις, ἀντὶ τοῦ ἄγων ἔμβαλον. λέγω, εἴτέ ποτε Φιλῖνός ἐστιν ὁ τρυφερός, εἴτέ τις ἄλλος. — (*Φιλῖνος ὄνομα κύριον· ἢ φιλῖνος ὁ φίλιος, ὁ τὰ περὶ τῆς φιλίας ἐπισκοπῶν.* Gen.[a])

Vet. (*Ἄκλητον κείνοιο: ἤγουν καὶ πρὸ τοῦ καλεσθῆναι αὐτὸν παρ' ἐμοῦ ἐμβιβάσαις μου ταῖς χερσὶν αὐτόν, τὸν Φιλῖνον.* L. Gen.[b]) — (*Εἴτ' ἐστ' ἄρα* Gen.[b]) *Φιλῖνος ὁ μαλθακός: μαλθακὸς ὁ τρυφερός,* (*ἁπαλός* 4. Gen.[b]) *ἐκ τῆς μάλθης. αὕτη δέ ἐστι κηρὸς ἀμόργῃ συνηψημένος· χρίουσι δὲ αὐτῇ τὰς τῶν σανίδων γομφώσεις, ἀφ' οὗ διὰ τὴν ἔκλυσιν καὶ τὸ* [*τρυφερὸν καὶ*] *ἐν τῷ βίῳ λοιδόρημα λέγεται.*

Vs. 106—108.

Rec. Κὴν μὲν ταῦθ' ἔρδοις: καὶ ἐὰν τοῦτο ποιήσαις ὦ Πὰν φίλε, εἴθε μηδαμῶς σε οἱ παῖδες οἱ Ἀρκαδικοὶ μαστίζοιεν ὑπὸ τὰς πλευρὰς καὶ τοὺς ὤμους τηνικαῦτα, ὅτε ὀλίγα κρέα παρείη. — (*Σκίλλαισι:* Gen.[a]) *ἑορτή, φασίν, ἐτελεῖτο ἐν τῇ Ἀρκαδίᾳ, ἐν ᾗ οἱ παῖδες τὸν Πᾶνα σκίλλαις ἔτυπτον, ὅτε οἱ χορηγοὶ λεπτὸν ἱερεῖον ἔθυον καὶ μὴ ἱκανὸν τοῖς ἐσθίουσιν.* — (*Σκίλλα εἶδος βοτάνης πικρὰ καὶ θανατηφόρος τοῖς ἐσθίουσι.* Gen.[a])

104) *Ἐπιθήσαις, ἤγουν ἀγαγὼν ἔμβαλε.* M.
105) *Ὁ τρυφερὸς νέος.* P.
106) [*Ἀρκαδικοί:*] *Ἐνταῦθα τὸ μαστίσδοιεν σύναπτε.* M. — *Βοτάνη δηλητήριος ἀκανθώδης.* M.

---

1) *χωρίον*] Gen.[a] Lips., *πεδίον* vulg. 2) *τῆς Ὁμ.* ante Heins., *τὸ Ὁμ.* Gen.[a] 2) *ὄρους* Gen.[a] — *ἐπὶ*] Gen.[a] Lips., *γὰρ* vulg. 2) *ὃν ὁ Ὅμ.* Gen.[a], ubi sequentia sic: *ἐρείσαις: ἐμβάλῃς ἀντὶ τοῦ ἔμβαλε εἰς τὰς χεῖρας ἐκείνου Ἀράτου μὴ κεκλ. αὐθ. τὸν παῖδα.* 4) *ἔμβαλον*] Lips. et ante Heins., *ἔμβαλε* Gen.[a] vulg. Seqq. om. Gen.[a] 6) *ἢ*] *καὶ* cod. 10) //Gen.[b] omissis *μαλθ. ὁ.* 12) *αὕτη γὰρ* L. Gen.[b] 12) *ἀμόργῃ*] p. et auctore Toupio Kiessl., *ἀμόλγῃ* L. Gen.[b] vulg. 12) *συνηψημένος*] 3., *συνεψ.* vulg., *συμμεμιγμένος* 4. L. Can. Gen.[b] Vulc. 13) Verba *χρίουσι* seqq. in 3. Can. bis posita sunt. — *χρ. γὰρ δὲ* Gen.[b] 13) *αὐτῷ* 4. Gen.[b] Vulc., *τῇ μάλθῃ* 3.[β] Can.[β] 13) *ἥλων* pro *σανίδων* p. 3.[β] Can.[β] 14) *ἐκκλησίαν* p. 3.[β] L. Can.[β] Gen.[b] — *καὶ τὸ τρ. καὶ* om. 3.[α] Can.[α], *τὸ τρ. καὶ* om. 3.[β] Can.[β], *τρ. καὶ* om. L. Gen.[b] 14) *γίνεται* 3.[α] Can.[α] 16) //Lips. 16) *ποιήσῃς* E. 19) //Gen.[a] Lips. — *τοῦ Ἀπόλλωνος ἑορτὴ* E. 22) Schol. in Gen.[a] legitur post *τραγόπους* pag. 271. 19.

Vet. Ἄλλως. *Παῖδες Ἀρκαδικοὶ* (*σκίλλαισιν* Gen.[b.]): οἱ Ἀρκάδες ἐπὶ θήραν ἐξιόντες, ἂν μὲν εὐτυχήσωσι, τιμῶσι τὸν Πᾶνα· εἰ δὲ τοὐναντίον, σκίλλαις [εἰς αὐτὸν] ἐμπαροινοῦσι, παρόσον ὄρειος ὢν τῆς θήρας ἐπιστατεῖ. — Μούνατος δέ φησιν ἑορτὴν Ἀρκαδικὴν εἶναι, ἐν ᾗ οἱ παῖδες τὸν Πᾶνα σκίλλαις βάλλουσι· γίνεται δὲ τοῦτο, ὅταν οἱ χορηγοὶ λεπτὸν ἱερεῖον θύσωσι καὶ μὴ ἱκανὸν ᾖ τοῖς ἐσθίουσι. διό φησι· *κρέα τυτθὰ παρείη*. — Τῶν ἐφήβων ἐν Σικελίᾳ γίνεται ἀγὼν ἐν σκίλλαις· καὶ οἱ νικήσαντες ταῦρον τὸν ὑπὸ τῶν γυμνασιαρχῶν τιθέμενον λαμβάνουσιν ἔπαθλον.

Vs. 109. 110.

Vet. *Εἰ δ' ἄλλως νεύσαις*: εἰ δ' ἄλλως ὦ Πὰν τὰ κατὰ τὸν Φιλῖνον τελέσειας καὶ μὴ βούλει συνελθεῖν αὐτὸν τῷ Ἀράτῳ, ἐπὶ κνιδῶν κοιμηθείης. — Τὸν [δὲ] Πᾶνά φασι γεννηθῆναι ἐκ τῆς Πηνελόπης συλλαβούσης ἐκ τῶν μνηστήρων, διὸ καὶ Πὰν καλεῖται, ὅτι ἐκ πάντων ἐσπάρη. ἕτεροι δὲ λέγουσι τὸν Ἑρμῆν εἰς τράγον μεταβληθέντα, καὶ τούτου ἐρασθεῖσα ἡ Πηνελόπη καὶ ἐξ αὐτοῦ ὀχευθεῖσα ἔτεκε τὸν Πᾶνα. ἔστι δὲ ὁ Πὰν ⟨ὁ⟩ τραγόπους. — (Πηνελόπη γυνὴ γέγονεν Ὀδυσσέως. τούτου πλανωμένου τὴν πλάνην, ἣν ἐπλανήθη μετὰ τὸν Τρωικὸν πόλεμον, πολλοί τινες ἦλθον μνηστευόμενοι τὴν Πηνελόπην. ἣ δὲ ἡμέραν ἐξ ἡμέρας ἀνε-

107) Ὅτε τὸ ἱερεῖον οὐχ ἱκανὸν εἴη. M. — Ὀλίγα. M.

108) *Εἰ μὴ οὕτω ποιήσεις ὡς λέγω, ἀλλὰ ἄλλως*. M. — *Ποιεῖν προθυμηθείης*. M. P. Lips. — *Σιδηροῖς ὄνυξι*. M.

---

1) //Gen.[b.] 2) *θήρας* Gen.[b.] 2) *ἂν ... τιμῶσι*] L. Gen.[b.] Vulc., *εἰ μὲν εὐθηρίας ἔτυχον, ἐτίμων* vulg. 3) *σκίλλαισιν* Gen.[b.], *σκύλλαισι* L. — *εἰς αὐτὸν* om. Gen.[b.] — *ἐμπαροινοῦσι*] *ἐμπαρσινοῦσι* Gen.[b.], *παροίνουν* ante Heins., *παρῴνουν* vulg. 4) *ὄρειος ὢν*] Bar. ut conj. Toup., *ὡρίων* vulg., *ὡρίαν* L. — *θύρας* ante Brub. 4) *ἐστι σταει* pro *ἐπιστατεῖ* Gen.[b.] 4) //Gen.[a.b.], qui *Μόνατος*. 5) *παῖδες*] Bar. Can. Gen.[a.b.] Vulc. mg. ut conj. Jacobs., *Παίονες* vulg. 6) *σκίλλαισι* L. Gen.[a.b.] 6) *γίνεται δὲ τοῦτο*] Bar., *Χῖοι δὲ* vulg. 8) //Gen.[b.] 9) *ἐπὶ σκ.* Gen.[b.] 9) *τὸν*] add. L. 10) *γυμνασίων ἀρχῶνται θέμενον* Gen.[b.] 12) //Om. Gen.[a.b.] Lips. 14) //Gen.[a.b.] sine *δέ*. 14) *φησὶ* Gen.[a.b.] 15) *συλλαβοῦσαν* vulg. ante Reisk., *συλλαμβάνων* Gen.[a.b.] 17) *καὶ τούτου*] Gen.[a.b.], *καὶ* om. vulg. 18) *ὀλευθεῖσα* Gen.[b.] 19) Leguntur haec etiam in Nonni Monachi *συναγωγῇ ἱστοριῶν* ad Greg. Naz. (ed. Montagu Etonae 1610) I nr. 40, et apud Eudociam, quae saepius ex Nonno hausit, Viol. p. 323. — *Πηνελόπην τὴν τοῦ Ὀδυσσέως γυναῖκα*, *τούτου* omisso postea *τὴν Πηνελόπην* Eudoc., *τούτου δὲ πλανωμένου μετὰ* Nonn. 22) *μνηστευόμενοι*] Eudoc., *μνηστευσόμενοι* Nonn., *μεμνηστευόμενοι* L. 22) *ἡμέραν ἐξ ἡμέρας*] Nonn. Eud., *ἡμέρας καὶ ἡμέρας* L.

βάλλετο μηδενὶ θέλουσα γαμηθῆναι διὰ τὸ περιμένειν τὸν Ὀδυσσέα τὸν ἄνδρα αὐτῆς. πάντες οὖν συμφραξάμενοι συγγεγόνασιν αὐτῇ, καὶ ἐγκυμονήσασα ἔτεκε τὸν Πᾶνα. διὸ καὶ Πὰν καλεῖται, ὅτι ἐκ πάντων ἐσπάρη. ἕτεροι δὲ λέγουσιν, ὅτι πάνυ εὔμορφος καὶ σώφρων ἦν ἡ Πηνελόπη καὶ διὰ τοῦτο ἠράσθη αὐτῆς ὁ Ἑρμῆς, καὶ μετεβλήθη εἰς τράγον καὶ ἐκνοήσας αὐτὴν μαγείᾳ ἠράσθη τοῦ τράγου καὶ ὠχεύθη ὑπ' αὐτοῦ καὶ συνέλαβεν ἐξ αὐτοῦ καὶ ἔτεκε τὸν Πᾶνα. οὗτος δέ ἐστιν ὁ Πὰν ὁ τραγόπους. L.) — *Καὶ ἐν κνιίδαισι καθεύδοις: κνίδη ὑφ' ἡμῶν, ἀκαλήφη δὲ ὑπὸ τῶν Ἀττικῶν. ἔστι δὲ ἀγρία κνίδη, ἧς τὸν καρπὸν συλλέγουσιν, ὅταν τὸν πυρὸν ἀλοῶσιν. ἔστι δὲ καὶ ἄγριον λάχανον.*

Vs. 111.

Vet. Εἴης δ' Ἠδωνῶν ἐν οὔρεσιν: ἔθνος Θρᾴκης. οὕτω δὲ ψυχροτάτη ἐστὶν ἡ Θρᾴκη, ὡς τρόπον τινὰ ἐργαστήριον ἀνέμων κληθῆναι. καὶ Ὅμηρος·

Βορέης καὶ Ζέφυρος, τώτε Θρῄκηθεν ἄητον.

— *Ἄλλως. Οἱ Ἠδωνοὶ ἔθνος Θρᾳκικόν, ἔνθα ψῦχος πολὺ γίνεται· δυσχείμερον γάρ ἐστι. παρὸ καὶ τοὺς ἀνέμους ἐν αὐτῷ κατοικεῖν ἐμυθεύοντο.*

110) *Κεντούμενος.* M. *ξαινόμενος.* E. — *Λυπηθήσῃ.* M. *κατακνάσαιο.* M. Lips. *κατατμηθείης.* E. N. *κατακοπείης.* P. — *Ταῖς λεγομέναις τζουκνίδαις.* M. *ἐπὶ κνιδῶν* (*ὑπνώττοις*, M.) *κατακλίνοιο.* M. Lips.

111) *Μακεδόνων.* 6. M. P. *Ἠδωνοὶ ἔθνος ἐν Μακεδονίᾳ.* E. N. — *Ἐν ὄρεσι βόσκειν τὸ αἰπόλιον.* M.

---

1) *περιμένειν αὐτὴν τὸν* Nonn. Eud. 2) *συμφραξάμενοι*] *συμφρασάμενοι* Nonn., *φραξάμενοι* L., *δραξάμενοι* Eud. 3) *ἡ δὲ ἐγκυμ.* Nonn. 4) Post *ἐσπάρη* apud Eudociam quaedam de Pane Aegyptio interserta sunt, quae apud Nonnum alio loco II nr. 27 leguntur. 5) *εὔμορφος*] Nonn., *εὐμορφοτάτη* L. Eud. — *σώφρων ἦν ἡ Π. καὶ*] Nonn. Eud., *σωφρονοῦσα ἡ Π.* L. 7) *ἐκνοσήσασα αὕτη μανίαν* Eud. — *εἰς ἔρωτα αὐτοῦ ἐκίνησεν καὶ ὠχεύθη ὑπὸ τοῦ τράγου* pro *ἠράσθη τ. τρ. κ. ὠχ. ὑπ' αὐτοῦ* Nonn., *ὀχευθεῖσα ὑπ' αὐτοῦ συνέλαβεν* Eud. 8) Post *Πᾶνα* addunt *τοῦτον δὲ ἐθεοποίησεν* Nonn. et *καὶ ἐθεοποίησεν αὐτὸν* sequentibus omissis Eud. 9) *ἐστιν ὁ Πὰν*] Nonn., *ἐστι .. ει* (?) L. 9) //Gen.[b.], ante schol. *τὸν Πᾶνα* pag. 271. 14., ubi *κνηῖδεσσι.* 10) *ἀκαλύφη* ante Heins., *ἀκαλύφθη* Gen.[b.] 10) *ἀπὸ* Gen.[b.]. 11) *δὲ καὶ* Gen.[b.]. — *αγριελαία* prō *ἀγρία* Can. Gen.[b.] Vulc., sed in Can. *λαι* ex corr. 12) *ἀλῶσιν* L. Gen.[b.] et ante Heins., *ἀλοῶσιν* Reisk. seqq. 14) //Gen.[b.], ubi recte *μὲν ἐν.* 15) *ψυχρότιτη* Gen.[b.] 15) *τόπον* Gen.[b.] 16) *καὶ*] add. Gen.[b.] 17) *Hom. Il. I*, 5. — *τύτε* et *ἄηττον* Gen.[b.] 18) //Om. Gen.[a.b.] Lips. 20) *ἐμυθεύοντο*] p., *ἐμυθεύσαντο* vulg.

Vs. 112.

Vet. *Εὖρον πὰρ ποταμόν*: Ἀλκαῖός φησιν, ὅτι Ἕβρος κάλλιστος ποταμῶν. Διοκλῆς δὲ καταφέρεσθαι αὐτὸν ἀπὸ Ῥοδόπης καὶ ἐξερεύγεσθαι κατὰ πόλιν Αἶνον.

Rec. (Παρὰ τὸν Ἕβρον τὸν ποταμὸν τετραμμένος, ἤγουν νενευκώς, ⟨ἐγγύθεν,⟩ λέγω ἐγγὺς τῆς ἄρκτου, ἤγουν τοῦ βορείου μέρους. M. Y. *Lips.)

Vs. 114.

Rec. *Πέτρα ὑπὸ Βλεμύων*: λέγω ὑπὸ τῇ πέτρᾳ, ἤγουν τῷ ὄρει τῶν Βλεμύων, ἀφ' οὗ ὁ Νεῖλος οὐδαμῶς ἐστιν ὁρατός, ἤγουν βλέπεσθαι δυνάμενος. ἔθνος Αἰθιοπικὸν οἱ Βλέμυες, ἐν τοῖς ἐσχάτοις τῆς Αἰθιοπίας ᾠκισμένον.

Vet. Ἄλλως. (*Ὑπὸ Βλεμμύων*: Gen.[b]) Βλέμυες ἔθνος Αἰθιοπικὸν μελανόχρουν· οἱ αὐτοὶ δὲ τοῖς Τρωγλοδύταις. — *Οὐκέτι Νεῖλος ὁρατός*: οὐ πάνυ δὲ ἐπαληθεύει τὸν Νεῖλον ἀθέατον εἰπών. — Ἤ· (*Ὅθεν οὐκέτι Νεῖλος ὁρατός*: ὑπὲρ γὰρ p.) τοὺς Βλέμυας οὐκέτι γινώσκεται ὁ Νεῖλος πόθεν ἔχει τὰς πηγάς. — Νεῖλος δὲ ἀπὸ Νείλεω, ὃς μετὰ μάχην ἔκτισε Ναύκρατιν· ἢ ἀπὸ τοῦ νάειν λείως, ὅ ἐστι ⟨μὴ⟩

112) [*Εὖρον*:] τὸν ποταμόν. 6.

113) Ἐν τῷ καιρῷ τοῦ θέρους παρὰ τοῖς Αἰθίοψι τοῖς περὶ τὰ ἔσχατα τῆς Αἰθιοπίας ᾠκισμένοις. M. Y. Lips.

114) Ὄρους Αἰγύπτου ἀπὸ Βλεμύων τῶν ἐν αὐτῷ κατοικούντων. M.

---

2) //Gen.[b] — φησὶν ὅτι] L., φησιν Vat. (Gen.[b]), om. vulg. ante Wart. 2) *Alc. fr.* 102 *Bgk.* — Ἕβρος] 4., Εὖρος L. vulg. 3) ποταμός L. 4) ἐξερεύσεσθαι Gen.[b] 5) εὖρον Lips. pr., ἕβρον corr. — τετρ. ἤγ. νεν. om. Lips. 9) //Gen.[a] Lips. 10) *Βλεμμ.* E. L. P. in toto scholio (sed L. potius in seqq.). 10) ὁρατός] Gen.[a] Lips. vulg., ὁρατικός Kiessl. 12) ἐν τῇ ἐσχάτῃ τῇ Αἰθιοπίᾳ Gen.[a] 13) //Gen.[b], qui *Βλέμμ.* hic et infra ut L., de quo supra dictum. 14) μελανόχαιτον p., ubi sequuntur ὅθεν ... πηγάς l. 16. 14) τρωγλωδ. Gen.[b] et ante Heins. 15) //Gen.[b] — Lemma om. (Gen.[b]) Reisk. seqq. 16) //p. Gen.[b] — ἢ] L. Gen.[b] vulg., εἰς Reisk. seqq., om. p. Verba ἢ (vel εἰς) τοὺς *Βλ.* vulgo antecedenti scholio adhaerent, puncto post *Βλ.* posito, quod cum p. delevi. — ὅθεν ... ὁρατός] ὅθεν ο. ο. *Ν.* ο. cod. ap. Gaisf. 17) ὁ *Νεῖλος* om. p. 18) //Gen.[b] Phav. — *Νείλεω*] *Νειλέως* vulg., *Νείλου* 3. L. Can. Gen.[b] Vulc. 18) κατὰ μάχην 3. 19) ἔκτισε *Ναύκρατιν*] Reisk. seqq. (sed *Ναυκράτιν* ante Gaisf.), ἔκτισεν *Εὐκράτιν* vulg. (*εὔκρατιν* ante Xyl.), ἔκτισεν *Εὔκραντιν* L. Can. Gen.[b] 19) λείως] 3. 4. L. Can. Gen.[b] Vulc., λαίως vulg., ναίως Phav.

κατὰ συστροφήν· ἢ παρόσον νέαν ἰλὺν φέρει, ἢ [ὅτι] κατ' ἔτος πλημμυρῶν ὡρισμένον χρόνον νεάζειν δοκεῖ.

Vs. 115—119.

Vet. *Ὕμμες δ' Ὑετίδος καὶ Βιβλίδος*: *ποιησάμενος τὸν λόγον πρὸς τὸν Πᾶνα, πρὸς τοὺς Ἔρωτας [τὸν λόγον] ἀπέστρεψεν ἐπικαλούμενος αὐτούς, καί φησιν· ὦ μήλοις ἐρευθομένοισιν ὅμοιοι Ἔρωτες, τουτέστιν ἐρυθροῖς, Ὑετίδος καὶ Βυβλίδος νᾶμα λιπόντες καὶ τὰ ἑξῆς, ἐρασθῆναι ποιήσατε τὸν Φιλῖνον. Ὑετὶς δὲ καὶ Βυβλὶς ὄρη Μιλήτου καὶ κρῆναι. (ἔνθα καὶ ἱερὸν Ἀφροδίτης.* p.) *Μιλήτου γάρ, φασί, ⟨τοῦ Ἀπόλλωνος⟩ καὶ Ἀρείας ἐγένοντο παῖδες Καῦνος καὶ Βυβλίς, ἧς ἐρασθεὶς ὁ Καῦνος ἀπέλιπε Μίλητον. ἐκείνη δὲ μὴ φέρουσα ἀπήγξατο. ταύτης ἡ κρήνη ὁμώνυμος.*

Rec. (*Οἰκεῦντα*: *ἀντὶ τοῦ οἰκούμενον, ἐνεργητικὸν ἀντὶ παθητικοῦ καὶ τὸ ἀρσενικὸν ἀντὶ οὐδετέρου· ἀπέδωκε γὰρ αὐτὸ πρὸς τὸ σημαινόμενον τοῦ ἕδους, ἤγουν τὸν χῶρον.* E.) — *Καὶ οἰκεῦντες ξανθᾶς ἕδος*: *καὶ οἰκοῦντες τὸν ὑψηλὸν χῶρον τῆς ξανθῆς Διώνης, ἤγουν τὸν ἀφιερωμένον*

115) *Πηγαὶ αὗται ἐν τῇ Μιλήτῳ.* Lips. *πηγαὶ Μιλήτου.* E. — [*Ὑετίδος*:] *πηγῆς Μιλήτου.* P. — [*Βυβλίδος*:] *πηγὴ ὁμοίως καὶ αὕτη.* P. — *Βύβλος πόλις. τὸ βυ ψιλόν.* M.

116) *Ὕδωρ.* P. — *Ἔδαφος ὑψηλόν.* M. — [*Διώνας*:] *τῆς Ἥρας ἡ μήτηρ.* L.

117) *Κοκκίνῳ βάμματι κεχρωματισμένοις.* 6. M. P. Y. Lips. *βεβαμμένοις* (?), *κοκκίνοις.* L.

---

1) *ἰλὺν* Call., *ἰλὴν* Brub. et ante Scult. 1) *ὅτι* om. Gen.[b] Phav. et ante Heins. 2) *ὡρ. χρ.* distinctione praeposita, ad *νεάζειν* trahebatur, quae potius cum *πλημμυρῶν* jungenda esse Geelius vidit. 4) //Gen.[b] sine *ὕμμες δ'*. 5) alterum *τὸν λόγον* om. Gen.[b], ubi *ἀπέστρεψε* supra post *Πᾶνα* legitur, et desunt verba *καί φησιν ... λιπόντες καί.* 6) *ἐρευθ.*] add. L. Vat. 7) *ἐρυθροὶ* vulg., cf. Gl. 8) Post *ἐπικαλ. αὐτοὺς* in Gen.[b] pergitur *Ὑετὶς ... ὁμώνυμος*, tum *τὸ ἑξῆς ἐρασθῆναι ... Δαῦνος καὶ Βυβλίς.* Etiam in L. pars scholii bis legitur. 9) *δὲ* om. Gen.[β] — *Βιβλὶς* Gen.[α] 9) *Μιλήτου* post *κρῆναι* Gen.[β], om. L.[α] Gen.[α] 10) *φησὶ* L.[α], om. L.[β] Gen.[β] 11) *καὶ Ἀρείας* om. L.[α] Gen.[α] Vulc., *Ἀρείου* sine *καὶ* Gen.[β] 11) *παῖδες* om. Gen.[α] 11) *Καῦνος*] Nic. Heinsius ad Ovid. Metam. IX. 451 et auctoribus Koehlero Toupioque Kiessl., *Δαῦνος* L. Gen.[β] vulg., *Δάφνος* Gen.[α] 12) *ἐραστὴς* Can. — *ὁ* om. L. Gen.[b] 12) *Καῦνος*] L. Can. Gen.[b] Brub. mg. et Kiessl. iisdem auctoribus, *Δαῦνος* vulg. 12) *περὶ Μίλητον* Vulc. 17) //*Lips. *τὸν ὑψηλὸν* seqq. Gen.[a] sola ultima habet *ἤγουν τὸν ἀφ. κτλ.* c. lemm. *ἕδος αἰπὺ Διώνας.* — 20) *Μιλήτου*] *σεμνύτητος* cod. „ortum ex *Μιλήτου* male lecto.“ Duebn. 21) *βυ*] *βλυ* vel *βλι* cod. 22) fort. *ἢ μητρὸς ⟨τῆς Ἀφροδίτης⟩.* 24) *βαμμ. κοκκ.* M. P. Y. — *καὶ χρώματι* pro *κεχρ.* 6.

τῇ ξανθῇ Διώνῃ, τῇ μητρὶ τῆς Ἀφροδίτης. (<Ἄλλως. Διώνας:> ἤγουν τῆς Ἥρας. E. N.) — Βάλλετέ μοι τόξοισι: βάλλετε τοῖς ὑμετέροις τόξοις, ἤγουν τοξεύετε δι' ἐμὴν χάριν τὸν ἐπέραστον Φιλῖνον, ἐπεὶ τὸν ἐμὸν φίλον οὐκ ἐλεεῖ ὁ δύσμορος, ἤγουν ὁ κακῶς ἀποθανούμενος, ὁ κακῶς ἀπολούμενος.

Vs. 120.

Rec. Ἀπίοιο πεπαίτερος: ἀπίου χαυνότερος, ἀσθενέστερος, γένοιτο δηλονότι ὁ Φιλῖνος.

Vet. (ΠΕΠΑΙΤΕΡΟΣ: ἀπὸ μεταφορᾶς τῶν ἐπὶ πλέον τῆς προσηκούσης πεπάνσεως πεπανθέντων ὀπωρῶν καὶ διὰ τοῦτο σαπέντων καὶ χαυνωθέντων. E. L. N. Q.)

Vs. 121.

Rec. Τό τοι καλὸν ἄνθος: τὸ καλὸν ἄνθος σου, ἤγουν ἡ ἀνθηρὰ καὶ εὔμορφος ὄψις σου διαρρεῖται, φθείρεται.

Vs. 122—124.

Rec. Μηκέτι τοι φρουρῶμες: [ἀπέστρεψε τὸν λόγον πρὸς τὸν Ἄρατον καί φησι·] μηδαμῶς εἰς τὸ ἑξῆς Ἄρατε ἐπὶ τοῖς προθύροις τῶν ἐρωμένων καθήμενοι σκοπῶμεν. [Μὴ δὲ πόδας τρίβωμες:] μηδὲ τοὺς πόδας ἡμῶν κατατρίβωμεν, ἤγουν καταπονῶμεν, ἐπὶ τὴν ζήτησιν αὐτῶν δηλονότι κινοῦντες αὐτούς.

Vet. Ἄλλως. (Μήκ' ἔτι φρουρεῦμες: Gen.[b.]) ἀποστρέφει τὸν λόγον πρὸς τὸν Ἄρατον καί φησι· μηκέτι αὐτὸν φυλάσσωμεν ἐπὶ τῶν προθύρων τοὺς πόδας κατατρίβοντες.

119) Τὸν φίλον μου Ἄρατον. M. — Ὁ δυσμόρους ἄλλους ποιῶν. L.
120) Ὡριμώτερος. 6. C. χαυνότερος, ἀσθενέστερος, γένοιτο δηλονότι. 6. εἴθε ἀπέλθοις διαλελυμένος. ὠχρότερος γένοιτο ὑπὸ τοῦ ἔρωτος. E. N.
121) Λέγοιεν. M. Lips., εἴθε λέγοιεν. E.
122) Ἀποστροφὴ πρὸς τὸν Ἄρατον. E. N. — [Τοι:] περισσόν. M. — [Προθύροισιν:] τοῦ Φιλίνου (δηλονότι. 6.) 6. E.

1) τῇ μητρὶ τῆς Ἥρας L. (?) 2) //Gen.[a.] sine lemm. et *Lips. 3) ἤγουν] 2. M. Gen.[a.] Lips., ἢ vulg. 8) //*Lips. 14) //*Lips. 17) //Gen.[a.] sine lemm. et *Lips. — Circumscripta om. Gen.[a.] Lips., quae potius ex Sch Vet. manarunt. 19) καθήμενοι] add. E. M. P. Gen.[a.] Lips. 20) Lemm. om. Gen.[a.] Lips. 23) //Gen.[b.] 25) φυλάσσομεν L. Gen.[b.] — 27) ὡριμεύτερος 6., -ότερος C. 31) περισσὸν a Gailio male ad μηκέτι relatum.

— *Ἄλλον ἀλέκτωρ κοκκύσδων*: ὡς ἅμα ⟨τῷ⟩ τοὺς ἀλεκτρυόνας ᾄδειν παραγενόμενον καὶ φρουροῦντα τὸν Φιλῖνον. — (Ὁ νοῦς τοιοῦτος· ἡμεῖς μὲν μέχρι καὶ τοιᾶσδε τῆς νυκτὸς φυλακῆς τοῖς αὐτοῦ προθύροις ἐπεμείναμεν· κατὰ δὲ τὸν ὄρθριον ἀλέκτορα καὶ ἄλλος ἐραστὴς τοῖσδε τοῖς προθύροις ἐπιμείνῃ. L.)

Rec. Ἤ· ὁ δὲ ἀλέκτωρ κοκκύζων ὄρθριος, ἀντὶ τοῦ κατὰ τὸν ὄρθρον, ἄλλον διδότω ἀπραξίαις ἀλγειναῖς. τοῦτο δέ φησιν, ἐπεὶ μετὰ τὰς φωνὰς τῶν ἀλεκτόρων διεγειρομένων ἤδη τῶν ἀνθρώπων ἐπὶ τὰ ἔργα ἐν ἀπραξίᾳ γίνονται οἱ τὰς κρυφίους ζητοῦντες ὁμιλίας.

Vs. 125.

Vet. *Εἷς δ' ὑπὸ τᾶς δε φέριστε Μόλων*: ἀλλὰ εἷς ἐξ ἡμῶν, ὁ Μόλων — ἢ *μολών* — ἐπὶ ταύτης τῆς παλαίστρας τῇ φυλακῇ κακοπαθείτω. πάλην δὲ εἶπε τὴν κακοπάθειαν, ἤτοι τὴν πρὸς τὸν ἔρωτα πάλην. — Ἄλλως. (*Εἷς δ' ὑπὸ τᾶσδε*: Gen.[b]) ἡμῶν, φησίν, εἷς καὶ μόνος ὁ Μόλων ἐπὶ ταύτης τῆς παλαίστρας ἀπαγχέσθω.

Rec. (Ἄλλος δὲ ὑπὸ τῆσδε τῆς παλαίστρας τῆς ἐρωτικῆς ἀγχέσθω, *M. P. *Y. *Lips.) μεταδιώκων αὐτὴν δηλονότι.

Vet. Λέγει δὲ ἢ τὴν παλαίστραν κυρίως, ἐν ᾗ ἐγυμνάζετο Φιλῖνος, προσλιπαρούντων αὐτῷ· ἢ μεταφορικῶς, ὡς καὶ ἡμεῖς φαμεν ὀρθίαν τὴν παλαίστραν. Μόλων καὶ Σίμων

123) Ὁ πρωινός. M. — [*Ἄλλον*:] τινα τῶν ἐρώντων. M. [*ἄλλως*:] μάτην τοῦ ὄρθρου. 6.

124) Κοκκύζων, ἤγουν πρῶτον καὶ δεύτερον. E. ἠχῶν. M. — Ἀπραξίαις, ἀργίαις. ναρκᾷ ὁ ἀργὸς καθήμενος. M. — Διδότω τοὺς τὰ τοιαῦτα ζητοῦντας. E.

---

1) //L. Gen.[b] — *ἄλλον ἀλ. κοκκ.* ὡς] L. Gen.[b], καὶ ὁ ἀλέκτωρ λυπεῖ ἡμᾶς vulg. Ex Vat. Wartonus post ἀλέκτωρ inseruit κοκκύσδων. 1) τοὺς ἀλ. ᾄδειν] L. Gen.[b], τῇ ᾠδῇ τῶν ἀλεκτρυόνων vulg. 2) παραγενόμενον] παραγενομένων L. Gen.[b], ἐγειρομένων vulg. 2) φρουροῦντα] φρουρούντων L. Gen.[b] vulg. 4) ἐμείνομεν cod. 5) ἄλλος] Gail. tac., ἂν L.[4] 7) //Gen.[a] Lips. — ὁ δὲ ἀλέκτωρ ... ἀλγειναῖς in Gen.[a] post ὁμιλίας leguntur. 7) ὁ κοκκ. Gen.[a] 8) ἄλλῳ Gen.[a] 8) ἀλγειναῖς] E. P. Gen.[a] Lips. Phav. s. v. *κοκκύσδων*, ἀλεγειναῖς vulg. 9) ἐπεὶ om. Gen.[a] 13) //Om. Gen.[a.b.] Lips. 15. 16) πάλιν bis ante Brub. 15) κακοπάθειαν] p., προσκαρτέρησιν vulg. 16) τὴν et τὸν om. p. 17) //Gen.[b], ubi ὑμῶν. 17) ὁ om. L. Gen.[b] 18) ταύτην τὴν παλαίστραν ἀπαρχέσθω Gen.[b] 20) //*Lips. et *M. P. *Y. deinceps post praecedentia. — αὐτὸν P. 21) //Om. Gen.[a.b.] Lips. 22) αὐτῷ] L., αὐτὸν vulg. 23) ὀρθείαν L. 23) ἢ pro καὶ L. — 27) ναρκᾷ ὁ] ναρκοῖς cod., ναρκᾷ γὰρ ὁ conj. Duebn.

Ἀράτου ἀντερασταί. παλαίστραν δὲ λέγει τὸν ἔρωτα τοῦ παιδὸς καὶ τὴν κακοπάθειαν. — Ὁ Μόλων ὀνομαστικῶς εἴρηται· (τὴν δὲ προσκαρτέρησιν παλαίστραν εἶπε. Gen.[b]) *δύναται δὲ καὶ μ ο λ ὼ ν μετοχὴ εἶναι ἀντὶ τοῦ μετερχόμενος. — (Ἔξωθεν τοῦτο ἐπιφωνοῦσιν· εἷς δὲ ἀπὸ ταύτης τῆς παλαίστρας ἀπαγχέσθω.* L.)

Vs. 126. 127.

Rec. *Ἄ μ μ ι ν δ' ἀ σ υ χ ί α: ἡμῖν δὲ ἡσυχία μελέτω καὶ γραῖα παρέστω, ἥτις ἐπᾳδουσα τὰ μὴ δεξιῶς ἡμῖν προχωροῦντα χωρὶς ἡμῶν ἀποπέμπουσα κατέχοι. — (Τ ὰ μ ὴ κ α λ ὰ ν ό σ φ ι ν ἐ ρ ύ κ ο ι: ἀποδιοπομποῖτο ἀφ' ἡμῶν, ἀποπέμπουσα κατέχοι.* Gen.[a])

Vet. (*Γ ρ α ῖ α τ ε π α ρ ε ί η:* Gen.[b] *παρὰ Δωριεῦσι ἡ μὲν πρώτη συλλαβὴ ὀξύνεται, ἡ δὲ δευτέρα μηκύνεται.* 4. L. Gen.[b]) — *Ἄ τ ι ς ἐ π ι φ θ ύ σ δ ο ι σ α: ἥτις δι' ἐπαοιδῶν τὰ καθ' ἡμῶν ἀποδιοπομπήσαιτο. φθύζειν δὲ τὸ πτύειν* (*Δωρικῶς* L. Gen.[b]). *εἰώθασι δὲ αἱ γραῖαι, ὅταν ἐπᾳδωσιν, ἐπιπτύειν. τινὲς δέ· ὀλίγῳ χρόνῳ συμπαροῦσα. (φθύδιον γὰρ τὸ ὀλιγοχρόνιον κατὰ γλῶσσαν.* L. Gen.[b])

Vs. 128. 129.

Rec. *Τ ό σ σ' ἐ φ ά μ α ν: τόσα ἔφην.*

Vet. *Ὁ δ έ μ ο ι τ ὸ λ α γ ω β ό λ ο ν ἁ δ ὺ γ ε λ ά ξ α ς ὡ ς π ά ρ ο ς: αὐτὸς δέ, φησίν, ἡδὺ γελάσας, ὡς πρότερον ἐπηγγείλατο, διὰ τὴν μουσικὴν ᾠδήν, ἣν ᾖσα, δῶρόν μοι ἔδωκε τὸ λαγωβόλον εἶναι, ὅπερ ἄνωθεν κορύνην εἶπε· εἴρηται δὲ παρὰ τὸ βάλλειν τοὺς λαγωούς.*

125) *Ἄλλος δέ τις.* E. — *Τῆς σπουδῆς.* E.

126) *Μάντις γοητεύουσα.* M. — *Παρέστω.* E. M. Lips.

127) *Ἐπιπτύουσα.* E. *ἐπᾳδουσα, ἢ πτύουσα ἐν τῷ γοητεύειν.* M. *ἐπᾳδουσα τὰ μὴ δεξιῶς ἡμῖν προχωροῦντα εἴργοι.* P. — *Ἀποδιώξοι.* L. *ἀποδιοπομποῖτο.* N.

---

2) //Gen.[b], ubi *ὁ δὲ M.* 2) *ὀνομαστῶς* L. Gen.[b] 3) *παλαίστρας* cod. 4) *καὶ*] add. Gen.[b] 8) //*Lips. *ἡμῖν — μελέτω — παρέστω — ἐπᾳδουσα κτλ.* 9) *γραία* vulg. — *παρέστω*] add. Lips. 12) *κατέχοι*] Adert., *κατέχει* cod. 13) *ἡ μὲν α συλλ.* 4., *ἡ μετὰ συλλ.* Gen.[b] 15) //Gen.[b] c. lemm. *ἐ π ι φ θ ύ ζ ο υ σ α.* 15) *ἥτις ἐπαοιδαῖς* L., *ἥτις ἐπ' ἀοιδαῖς* Gen.[b] 17) *πτύειν* Gen.[b] 18) *φθύδιον*] *ἀμφίβιον* codd. — *δὲ γὰρ* Gen.[b] 21) //*Lips. *ἔφην.* 22) //Om. Gen.[a.b.] Lips. 23) *ἐπιγγείλατο* ante Brub. — 30) *εἴργουσα* cod.

Rec. Ἁδὺ γελάξας ὡς πάρος: ἡδέως γελάσας, καθάπερ πρότερον ἐγέλασεν, ἕνεκα τῶν μουσῶν, τουτέστι τῆς ἐμῆς ᾠδῆς, δῶρον φιλικὸν ἔδωκεν εἶναι, τὸ λαγωβόλον δηλονότι.

Vs. 130. 131.

Vet. Τὰν ἐπὶ Πύξας: Πύξα δῆμος τῆς Κῶ, ἢ τόπος οὕτως ὀνομαζόμενος παρὰ τὴν φύξιν τοῦ Ἡρακλέους τὴν ὑπὸ τῶν Κῴων γενομένην. — Ἄλλως. (Τὰν ἐπὶ Πύξας: Gen.[b]) οἱ μὲν τὸν ἐν Κῷ δῆμον· οἱ δὲ τόπον, ἐν ᾧ ἱερὸν Ἀπόλλωνος, ἀφ᾽ οὗ Φύξιος λέγεται. Ἄλλως. τὴν ἐπὶ Πύξαν φέρουσαν ὁδὸν ἐβάδιζεν. [ἢ] Πύξα ὄνομα πόλεως, ἀφ᾽ οὗ καὶ Φύξιος Ἀπόλλων καὶ Πάν. ἢ <δῆμος ἐν Κῷ,> φύξα τις ὤν· ἐκεῖθεν γὰρ ἔφυγεν Ἡρακλῆς, αἴφνης ἐπιθεμένων αὐτῷ τῶν Κῴων.

Rec. (Τὰν ἐπὶ Πύξας: τὴν ἄγουσαν ἐπὶ Πύξας. δῆμος ἢ ἱερὸν Ἀπόλλωνος. Gen.[a] Πύξας: πόλις τῆς Κῶ, ἐν ᾗ καὶ ἱερὸν Ἀπόλλωνος· ἐξ οὗ Φύξιος Ἀπόλλων. M. Gen.[a])

Vs. 132. 133.

Vet. Ἀδείας σχοίνοιο: ἔξωθεν δεῖ προσλαμβάνειν τὸ

129) [Ὡς πάρος:] λείπει ἐπηγγείλατο. L. ὑπεσχέθη. E. N. — Ἐκ τῶν ᾀσμάτων. E. τῆς ἐμῆς ᾠδῆς. δῶρον φιλικόν. Vim. — Ἐπεὶ διὰ τὴν μουσικήν. δωρεάν. L.

130) Τραπόμενος. M. P. Lips. ἀποχωρήσας. E. N. — [Ἀριστερά:] μέρη δηλονότι. M. P. Lips. — Τὴν ἄγουσαν ἐπὶ τὴν Πύξαν πόλιν. P. ἄγουσαν. Lips.

131) Ἀντὶ τοῦ ἐπορεύετο. M. Lips. — [Τε:] περισσὸς ὁ τε. M. P. περισσός. Lips. — Εἰς τὰ τοῦ Φρασιδάμου οἰκήματα. M. P. Y. Lips. οἰκήματα. Stop. εἰς τὸν οἶκον τοῦ Φρασιδάμου. E. N.

132) Στραφέντες, ἀντὶ τοῦ πορευθέντες. M. P. Lips. — Ὑποκοριστικῶς ἀντὶ τοῦ Ἀμύντας. M. N. P. Lips. — Εἰς βάθος ἐστιβασμέναις. M. Lips. βαθέως ἐστρωμέναις. P. παχείαις. E.

133) Ἀπὸ ἡδείας σχίνου κατεσκευασμέναις χαμεύναις, στρωμναῖς ἐνεπέσομεν, ἀνεκλίθημεν. M. P. Lips.

---

1) //*Lips. ἡδέως — καθὰ πρότερον· ... ἔδωκεν εἶναι. 5) //Om. Gen.[a.b.] Lips. 7) //Gen.[b] 8) τὸν pro τόπον Can. Gen.[b] — κῶ pro ᾧ Can. 9) Φύξιος] ante Xyl., Πύξιος vulg. 9) ἄλλως] κῶς Can. Gen.[b], ἤγουν vulg. 10) ἢ om. Gen.[b] 10) ἐξ οὗ Gen.[b] 11) Φύξιος] Gen.[b], Πύξιος vulg. 11) ἢ] Gen.[b], ἤγουν vulg. 12) γὰρ om. Gen.[b] 15) Πύξα M.[3] 16) Φύξιος] Πύξιος M., Πύξις Gen.[a] 18) //Gen.[b] c. lemm. σχίνοιο. 18) προσλαμβ.] 4. Gen.[b], περιλ. vulg., παραλ. Reisk. seqq. — 29) ὁ Ἀμ. pro ἀντὶ τοῦ Ἀμ. Lips. 31) χαμ. στρ. ex P. non afferuntur; ἐνεπέσομεν om. Lips.

παραγενόμενοι. ἐπὶ στιβάδος κατεκλίθημεν σχοίνοιο, ἤγουν ἀπὸ σχοίνου γεγενημένης καὶ ἀπὸ φύλλων ἀμπέλου.

Vs. 134.

Vet. *Οἰναρέοισιν:* *κυρίως τὰ φύλλα τῆς ἀμπέλου. Φανίας δέ φησιν οἰναρίζειν τὸ περιαιρεῖν τῶν οἰνάρων· „καὶ τρυγᾶν· δεῖ γὰρ καὶ οἰναρίζειν τὰς ἀμπέλους, ἐπειδὰν πεπαίνωσιν οἱ βότρυες."*

Rec. (*Ἀπὸ τοῦ οἶνος γίνεται οἰναρὸν ὡς ἀπὸ τοῦ νέος νεαρόν· ἡ δοτικὴ τῶν πληθυντικῶν, τοῖς οἰναροῖς καὶ Ἰωνικῶς οἰναρέοισι.* E.)

Vs. 135. 136.

Rec. *Πολλαὶ δ' ἄμμιν:* *πολλαὶ δὲ αἴγειροι καὶ πτελέαι ἐπάνω κατὰ τῆς κεφαλῆς ἡμῶν ἐδονοῦντο, ἤγουν ὑπὸ τοῦ πνεύματος ἐκλονοῦντο, ἐκινοῦντο. — ΤΟ Δ' ΕΓΓΥΘΕΝ: τὸ δέ μετὰ τάσεως· ὡς ἐπὶ διαιρέσεως γὰρ σχηματίζει τὸν λόγον.* 2. *M. *P. *Y. Lips.)

Vs. 138. 139.

Vet. ⟨*Σκιεραῖς*⟩ *ὀροδαμνίσι:* *σκιὰν ποιούσαις, πολυφύλλοις. ὀροδαμνίδας δὲ παντὸς δένδρου τοὺς κλάδους λέγει. Μούνατος δὲ ἐτυμολογεῖ, οἷον ἐν ὄρεσι θάμνοι.*

134) *Ἔν τε νεοτμήτοις οἰναρέαις, ἤγουν φύλλοις ἀμπέλου νεωστὶ τμηθεῖσι.* P. Lips. — *Ἀρτὶ τμηθεῖσι.* M. *νεοκλαδεύτοις.* E. — *Κλάδοις ἀμπέλου.* M. *ταῖς ἀπὸ τῶν ἀμπελοφύλλων.* E.

135) *Ἐκινοῦντο ὑπὸ τοῦ ἀέρος.* M. *ἐσείοντο.* N.

137) *Κατερχόμενον καὶ καταρρέον.* M. P. Lips. *ῥεόμενον.* E. N.

---

1) *παραγενόμενον* Gen.[b], *περιγενόμενοι* 4. 1) *ἐπὶ στιβάδος*] 4., *ἐπὶ στιβάδας* Gen.[b], om. vulg. — *κατεκλίθησαν* Gen.[b] Vulgo post *κατεκλ.* distinctum, non post *παραγενόμενοι.* 1. 2) *σχοίνοιο* et *σχοίνου*] ante Heins., *σχιν.* vulg., *σχίνοιο ἤγ.* om. Gen.[b] 2) *γεγενημένης*] Gen.[b] vulg., *γενομένης* Kiessl. 4) //Gen[b] c. lemm. *οἰνάρεοι.* 5) *φιλανίας* Can. Gen.[b], *φύλλανος* Vulc. 5) *οἰναξαρίζειν τὸ ὑπεραίρειν* Gen.[b] 5) *οἰναρέων* vulg. Post hanc vocem primus Duebnerus distingui jussit; sequentia ipse suis signis Phaniae vindicavi. 12) //*Lips., ubi *πολλαὶ ἔγειροι.* Gen.[a] sola ultima habet hoc modo: *ἐκλονοῦντο: ὑπὸ τῶν ἀνέμων καὶ πνεύματος ἐκινοῦντο.* 14) *ἐκιν. ἐκλ.* Lips. 15) *ὡς* om. 2. 18) //Gen.[b], ubi *ὀροδαμνίσιν* et postea *ὀροδαμνίδας.* Lemma *σκιεραῖς* posuit Reisk. 19) *παντὸς ... Μουν. δὲ* om. Gen.[b], *παντὸς δένδρου κλάδοι ὀροδαμνίδες λέγονται* p. 20) *οἱ* pro *οἷον* 4. — 21) *ἐν νεοτμ. οἰνάραις* P. 23) *ταῖς*] *τοῖς* cod. Suppl. *στρωμναῖς.* 25) *καὶ* om. Lips.

Rec. Ὀροδάμνους λέγουσι κυρίως καὶ ὀροδαμνίδας τοὺς ἐν ὄρει θάμνους. ἀπὸ τούτου δὲ λέγονται ἁπλῶς οὕτω καὶ οἱ κλάδοι τῶν δένδρων, ὡς ἐν τούτοις·

πάντας δ' ἀκρέμονάς τε καὶ εὐθαλέας ὀροδάμνους
κέκλασμαι.

Vet. Αἰθαλίωνες: οἱ τέττιγες παρὰ τὸ αἴθεσθαι ὑπὸ καύματος. ὅταν γάρ ἐστι νότος καὶ καῦμα, μᾶλλον φθέγγονται. ἢ αἰθαλίωνες οἱ αἰθαλώδεις διὰ τὸ αἴθεσθαι ὑπὸ τοῦ ἡλίου.

Rec. Οἱ δὲ τέττιγες οἱ αἰθαλίωνες, ἤγουν οἱ τῇ θέρμῃ τοῦ ἡλίου χαίροντες, πόνον εἶχον, ἤγουν ἐπόνουν, ᾄδοντες ἐπὶ τοῖς κλάδοις τοῖς σκιεροῖς, δασέσι, τοῖς σκιὰν ἐμποιοῦσι τῇ συνεχείᾳ τῶν φύλλων. — Ἁ δ' ὀλολυγών: ἡ ἀηδὼν ἡ τὸν Ἴτυν ὀλοφυρομένη.

Vet. Ἡ ὀλολυγών: εἶδος ὀρνέου. οἱ δὲ ζῷόν τι ἐν βορβορώδεσι τόποις μάλιστα διάγον, ἢ ἀηδών. — Ὀλολυγὼν δὲ ἀπὸ τοῦ ὀλολύζειν. ὁ γὰρ Ἀριστοτέλης φησὶ πάνυ ὀλολύζειν τὸ ζῷον ἐν τοῖς ἑλώδεσι τόποις [καὶ] κατὰ τὴν νύκτα. [ἔχον πόνον.] πολλὰ τῶν ζῴων ἀπὸ φωνῆς ἔχει τὴν κλῆσιν· ὀλολύζω ὀλολυγών, [στάζω σταγών,] ἀείδω ἀηδών, τρύζω τρυγών, [πλάσσω πλαγγών,] κοκκύζω κόκκυξ.

138) *Παντοίων δένδρων κλάδοις.* M. τοῖς ὀρεινοῖς κλάδοις τοῖς δασέσι. E. N. — *Οἱ ὑπὸ τοῦ ἡλίου αἰθόμενοι, ὅθεν καὶ ᾠδικώτεροι γίνονται.* M.

139) *Ἠχοῦντες.* M. *ᾄδοντες.* N. — [Ἔχον πόνον:] *διὰ τὸ ᾄδειν.* M. — *Ἡ ἀηδών.* L.

140) *Μακρόθεν.* M. N. Lips. — *Πυκναῖς.* M. P. Lips. — *Ἔτρυζε, τουτέστιν ὠλόλυζεν.* M. Lips. *τουτέστιν ὠλόλυζεν ἐν ταῖς ἀκάνθαις.* N. P. *ἐφώνει.* E. *ποιὰ φωνή.* L. — *Ἐν ὀξυακάνθαις.* M. *καθημένη δηλονότι.* E.

---

1) //Lips., post proximum SchRec., et Gen.[a.] 4) *Anth. Pal. IX*, 3. — πάντα et εὐθαλὶς Gen.[a.] 6) //Gen.[b.] hoc ordine: αἰθαλίωνες δὲ οἱ αἰθαλώδεις ... ἡλίου τέττιγες ... φθέγγονται. 7) νότος ἐστὶ sine καὶ καῦμα Gen.[b.] 10) //Gen.[a.] sola ἐπόνουν seqq. habet c. lemm. ἔχον πόνον. Lips. s. l. οἱ δὲ ... ᾄδοντες, quibus reliqua in marg. adhaerent. 12) ἐπὶ γὰρ τοῖς κλάδοις Lips., ἐν τοῖς σκ. κλ., ἤγουν τὴν σκιὰν ἐμπ. τῶν φίλων τῇ συνεχείᾳ Gen.[a.] 13) //*Lips. 13) ἀηδὼν] M. N. Y. Lips., χελιδὼν vulg., cf. lin. 16. 15) //Om. Gen.[a.b.] Lips. 16) Post τόποις in Vulc. κατὰ τὴν νύκτα, vid. infra. 16) //Gen.[b.], ubi ὀλολυγὴν ἀπό. 17) γὰρ] Gen.[b.], δὲ vulg. 18) καὶ om. Gen.[b.], καὶ ... πόνον om. Vulc. 18) ἔχον πόνον] Gen.[b.], ἔχειν πόνον vulg., quae ex lemmate irrepsisse Adertus vidit. 19) χρῆσιν 3. 4. Gen.[b.] 20) ἀηδῶ pro ἀείδω ante Heins. 21) πλήσσω Gen.[b.] Vulc. 21) πλαγγὼν] Gen.[b.] Vulc., πλαγὼν vulg. 21) κοκύζω κόκυξ vulg. ante Reisk. — 28) ὀλολ. M.

Vs. 141.

Vet. (Τὸ δὲ ἀκανθίδες κατὰ τὸν αὐτὸν ὄρνεα νεμόμενα ἐπ' ἀκανθῶν. τούτων τὸ αἷμα καὶ τὸ τῶν αἰγιθάλλων μὴ μίγνυσθαί φασιν, ἀλλὰ ⟨καὶ⟩ ταῦτα διαφωνεῖν. Gen.[b] Vulc.) — Καὶ ἀκανθίδες: ἀκανθὶς δὲ ὄρνεόν ἐστι ποικίλον καὶ λιγυρόν· καλεῖται δὲ καὶ ποικιλὶς διὰ τὴν χροιάν. Ἀριστοτέλης δὲ καὶ Ἀλέξανδρός φασι διατρίβειν ἐπ' ἀκανθῶν. (ἀφ' οὗ τὴν ὀνομασίαν εἴληφε. Vulc.) τοῦτο νῦν Θεόκριτος ἀκανθίδα εἶπεν. — Ἢ ἀκανθίδες ὄρνεα νεμόμενα ἐπ' ἀκανθῶν. λέγονται δὲ καὶ ἀκανθυλλίδες. εἰσὶ ποικίλοι τὴν χροιάν, ὅθεν καὶ ποικιλίδες λέγονται. φησὶ δὲ Ἀριστοτέλης τὸ αἷμα αἰγίθου καὶ ἀκανθίδος μὴ μίγνυσθαι.

Vs. 142.

Rec. (Ἡ περὶ καὶ ἡ ἀμφὶ ἐνταῦθα ἐκ παραλλήλου λαμβάνονται. E. M. N.)

Vs. 143.

Vet. Μάλα πίονος: κατὰ πολὺ πλουσίου, ἤγουν εὐκάρπου. — Ἢ ⟨μάλα⟩ πίονος: μεγάλως λιπαροῦ, [λαμπροῦ]. ⟨Ὦσδεν:⟩ μεταφορικὸν τὸ ῥῆμα ἀπὸ τῶν εἰς αἴσθησιν πιπτόντων ὀσφραντικῶν. ἢ πίονα εἶπε τὸν καιρὸν τοῦ θέρους διὰ τὸ ἐν αὐτῷ συλλέγεσθαι τοὺς καρπούς.

141) *Οἱ κορυδαλοί.* C. *οἱ πίπυλοι λεγόμενοι.* M. — [*Ἀκανθίδες:*] *τὰ λεγόμενα σκανθία.* M. — *Ἤχει μετὰ στεναγμοῦ.* M.

142) *Περιεπέτοντο ξουθαὶ μέλισσαι περὶ τὰς πηγάς.* M. P. Lips. — [*Ξουθαί:*] *αἱ ξέουσαι τὰ ἄνθη, αἱ μέλισσαι.* L. *αἱ μέλισσαι αἱ ἐξιοῦσαι ἐπὶ τὰ ἄνθη.* E. N.

143) *Ὀσμὴν ἔπεμπε.* Lips. *ὀσμὴν καὶ εὐωδίαν ἔπεμπε.* E. — *Καρπῶν.* Lips. *τῶν καρπῶν κατὰ ἄθροισιν καὶ μερισμόν, ὃν καὶ ἐπάγει.* M.

---

2) Schol. hoc loco post κόκκυξ etiam in Vulc. — κατὰ τὸν αὐτὸν] καὶ τὰ τοιαῦτα codd. 3) τὸ αἷμα] τὰ μὲν codd. 3) Pro τὸ τῶν ... μίγν. lacuna in Vulc. — αἰγιθάλλων μὴ μίσγεσθαι] αἰγιθάλων μηγάγεσθαι Gen.[b] 4) φησὶν codd. 4) διαφωνεῖν] ἄφωνα codd. 5) //Gen.[b] sine lemmate et δέ. 5) ποικ. ἐστὶ Gen.[b] 6) δὲ ποικιλὶς Gen.[b] 7) διατριβεῖ Gen.[b] 8) τοῦτο γοῦν 4. Gen.[b] 9) //Om. Gen.[a.b.] Lips. 10) ἀκανθυλλίδες] p. E., ἀκανθιλίδες vulg. 10) εἰσὶ δὲ Gaisf. tac. 17) //Om. Gen.[a.b.] Lips. 18) //Gen.[b] 18) μεγάλως] μεγάλου hoc loco Gen.[b], post λιπ. Wart. ex Vat., om. vulg. — ἢ λαμπροῦ Gen.[b], om. Amst. 19) μεταφορικὸν τὸ ῥῆμα] Gen.[b], μεταφορικῶς vulg. distinctione non antecedente. — 24) ξανθαὶ M. P.

Rec. (Τουτέστι πάντα ὀσμὴν ἔπεμπεν εὐκαρπίας θερινῆς. E. M. P. *Lips.)

Vs. 144—146.

Rec. Ὄχναι πὰρ ποσί: ἄπια μὲν παρὰ τοῖς ποσὶν ἡμῶν (πλουσίως ἐκυλίετο· παρὰ δὲ ταῖς πλευραῖς ἡμῶν μῆλα Lips.) πλουσίως ἐκυλίετο· οἱ δὲ κλάδοι ἐκλίνοντο εἰς τὴν γῆν βραβύλοις καταβαρούμενοι.

Vet. Βράβυλα τὰ κοινῶς κοκκύμηλα, ἤγουν Δαμασκηνά. — (Παρὰ πλευρῆσι δὲ μῆλα: Gen.[b.]) καλῶς [δὲ] ἔφη τὰ μῆλα ταῖς πλευραῖς περικρεμάννυσθαι. τὸ γὰρ μῆλον τῆς Ἀφροδίτης, καὶ τὸ ἐπιθυμητικὸν περὶ τὰ σπλάγχνα εἶναι ⟨δοκεῖ⟩, τὰ δὲ σπλάγχνα παρὰ ταῖς πλευραῖς. — (⟨Βραβύλοισι⟩ καταβρύθοντες: κοκκυμήλοις, ἤγουν δαμασκηνοῖς. Gen.[b.])

Vs. 147. 148.

Vet. (Ὁ δὲ πίθων: οἱ Ἀττικοὶ ⟨τὸ⟩ ἔτος ἔνος λέγουσιν. ἄλειφαρ δὲ τὴν ἀλοιφήν. Gen.[b.]) — Νύμφαι Κασταλίδες: θαυμάσας τὴν πόσιν τοῦ οἴνου ἔστρεψε τὸν λόγον πρὸς τὰς Νύμφας, καὶ πυνθάνεται αὐτῶν, ἐπεὶ αὗται τὴν κρᾶσιν τοῦ οἴνου ἔχουσι. Κασταλίδας δὲ εἶπεν αὐτὰς ἀπὸ Κασταλίας τῆς ἐν Δελφοῖς κρήνης, ἔνθα καὶ διατρίβουσι. — Τετράενες δέ: ἤγουν τετραετές. Ἀττικῶς [ἢ] τὸ ἔτος ἔνος κατά τινας.

144) Κυδώνια ἢ ἄπια. L. M.

145) Ἐχεῖτο. M. — [Ἐκέχυντο:] ἔκλινον ἔρασδε· τοῦτο γὰρ ἐκεῖ συνάψεις. M. ἐξηπλοῦντο, ἢ ἐκλίνοντο, ἐβαροῦντο. E.

146) Ἁπαλοὶ κλάδοι. C. — Τοῖς λεγομένοις ἀβραβύλοις, ἤγουν δαμασκηνοῖς. M. εἶδος ὀπώρας. E. — Καταβαρούμενοι τοῖς καρποῖς. E.

147) Τεττάρων χρόνων. M. τετραετές. M. Lips. ἤγουν παλαιόν. E. — Ἀπὸ τῶν πίθων ἐχεῖτο κατὰ τῆς κεφαλῆς ἔλαιον. M. P. Lips. — [Ἀπελύετο:] ἀπεχύετο, ἠνοικτο. L. ἐχεῖτο, ἀπεχύετο. Stop. ἐκέχυτο, ἀπηντλεῖτο. E. [ἀπεχύετο:] ἀπεχεῖτο. 6. — Ἤγουν οἶνος, ἢ ἔλαιον. C. E. ἔλαιον. Stop.

---

1) ἔπεμπον E. M. P., εὐκρασίας Lips. 4) //* Lips. s. l. ἄπια ... μῆλα, rell. in marg. 8) //Om. Gen.[a.b.] Lips. 9) //Gen.[b.], ubi καλῶς ἔφη. 10) -κρεμμάννυσθαι Call., -κρεμάννυσθαι Brub. et vulg. ante Reisk. 11) εἶναι] Gen.[b] vulg., ἐστι Reisk. seqq. 12) παρὰ] Gen.[b]., περὶ vulg. 13) κοκκυμήλοις] Adert., -μίλοις cod. 17) //Gen.[b.], ubi ὦ νύμφαι K. 19) αὐταὶ Gen.[b.] 20) τοῦ om. Gen.[b.] 21) ὑπὸ Gen.[b.] 22) //Om. Gen.[a.b.] Lips. 22) Ἀττικῶς vulg. ad praecedentia trahebatur, τετραένες περὶ Ἀττικοῖς p. 22) τὸ ἔτος ἔνος] Valcken., τὸ ἓν ἔτος p. vulg. — 30) αὐτῶν pro κατὰ P.

Rec. (*Ἄλειφαρ*: ἤγουν πόμα ἢ οἶνος ἀπὸ τῆς κεφαλῆς τῶν πίθων ἐχεῖτο· διὰ τοῦτο γὰρ καὶ τὰ ἑξῆς θαυμαστικῶς ἐπάγει. *M. Gen.[a]) — (*ΑΛΕΙΦΑΡ*: οἶνον· πολλάκις δὲ λαμβάνεται καὶ τὸ ἔλαιον. Q.) — *Ἔχοισαι*: αἵ (ἔχουσαι, ἤγουν Lips.) οἰκοῦσαι τὸ ὕψος τοῦ Παρνασοῦ. ὄρος ἐν τοῖς Δελφοῖς ὁ Παρνασός, ἐν ᾧ ἦν τὸ μαντεῖον τοῦ Ἀπόλλωνος.

Vs. 149—153.

Rec. *Ἆρα γέ πα τοιόνδε Φόλω κατὰ λάϊνον*: κατὰ τὸ λίθινον σπήλαιον τοῦ Φόλου. ἱπποκένταυροι ἦσαν ὁ Χείρων καὶ ὁ Φόλος. ἀδολεσχίαν δὲ ἔχει τὸ λίθινον σπήλαιον. *Vet.* Ἄλλως. Φόλος ὄνομα κενταύρου, ᾧ ἐπιξενωθεὶς ὁ Ἡρακλῆς οἶνον ἔπιε καλὸν ἐκ Διονύσου δοθέντα. συνῆν δὲ αὐτῷ καὶ Χείρων. — Ἄλλως. (*Φόλῳ κατὰ λάϊνον ἄντρον*: Gen.[b]) οἱ μὲν τὸ Πήλιον, οἱ δὲ τὴν ἐν Ἀρκαδίᾳ Φολόην (λέγουσι Vulc.). ἐν ἀμφοτέροις γὰρ ᾤκησε Χείρων καὶ Φόλος, ὑφ' ὧν ξενισθέντα τὸν Ἡρακλέα φασὶ πολλά. ὁ μέντοι οἶνος ἐκεῖνος ὁ δοθεὶς ὑπὸ Διονύσου χαριστήριον, ἀνθ' ὧν αὐτῷ Νάξον προσένειμεν ὁ Φόλος, κρινομένῳ παρ' αὐτῷ πρὸς τὸν Ἥφαιστον. *Φόλω* δὲ ἀντὶ τοῦ Φόλου· οἱ γὰρ Δω-

148) Αἳ ἐν τῇ Κασταλίᾳ τῇ ἐν Δελφοῖς πηγῇ διατρίβουσαι P. Lips. — Ὕψος. M. κοίλωμα. E.

149) [Πα:] περισσὸν τὸ πα. M. P. περισσόν. Lips.

150) Ἔστησεν, ἤγουν παρέθηκεν. M. Lips. ἐκέρασεν. E. — Ἤγουν ὁ ἱπποκένταυρος. E. M.

151) [Πα:] περισσὸν τὸ πα. E. M. P. περισσόν. Lips. — Τὸν παρὰ τῷ Ἀνάπῳ. Lips. τὸν πρὸς τὸ μέρος τοῦ Ἀνάπου. E. ποταμὸς οὗτος ἐν Συρακούσαις. Lips. ποταμὸς καὶ ὄρος. L.

---

1) ἢ pro ἤγουν Gen.[a] 2) καὶ τὰ ἑξῆς om. M. 4) //Gen.[a] Lips. — Ante h. sch. in Gen.[a] ex Suida leguntur ὁ δὲ Παρνασσὸς ... Διονύσου, post idem ex eodem *Κασταλία* usque ad πνοῆς (παραδρέμειν pro παρεδρεύειν). Omnia tria extant post SchRec. Vs. 148. 8) //Gen.[a] inde ab ἱπποκ. et Lips. sine τό. 10) δὲ om. N. 10) τὸ λάϊνον σπ. N., σπ. τὸ λίθ. Lips. 11) //Om. Gen.[a.b.] Lips. 12) ὁ] add. L. 12) εἰς pro ἐκ L. 13) //Gen.[b.] 14) σπήλιον Gen.[b.], σπήλαιον Vulc. 14) τὴν ἀρκαδίαν Vulc., τὴν ἀρχαδίαν Gen.[b.] 14) Φολώην Gen.[b.] Vulc. et ante Brub. 15) ᾤκησεν ὁ Χ. Gen.[b.] 16) φόλως ante Brub., ὁ Φ. Gen.[b.] 16) ὧν] 4. Gen.[b.], οὗ vulg. 16) πολλὰ] 3. et ante Heins., πολλοὶ Gen.[b.] vulg., πολλὸν 4. 16) μὲν pro μέντοι Gen.[b] 17) ἐκεῖνος] add. 3. 4. Can. Gen.[b.] 18) αὐτῷ] add. 3. 4. Can. Gen.[b.] Vulc. 18) χόλος Gen.[b.] 18) κρινομένῳ] Duebnerus, κρινόμενος Gen.[b.] vulg., κρινομένου Kiessl. 18) αὐτὸν Gen.[b.] vulg. ante Kiessl. 19) πρὸς] 3. 4. Can. Gen.[b.], εἰς vulg. — 20) Ἀτταλίᾳ P.

ρικεῖς τὴν ου δίφθογγον εἰς ω μέγα τρέπουσι. ποιεῖ δὲ τὸν Χείρωνα συνυποδεχόμενον τῷ Φόλῳ τὸν Ἡρακλέα — Νέκταρ δὲ διὰ τὴν ἡδονὴν τὸν οἶνον εἶπε τοῦ Ὀδυσσέως. τὸ δὲ χορεῦσαι τὸν Κύκλωπα ἐξ Εὐριπίδου μετήνεγκε. — Τὸν ποιμένα τόν ποκ' Ἀνάπῳ: Ἄναπος ποταμὸς ἐν Συρακούσαις τῆς Σικελίας, οἱονεὶ ἄνευ πόσεως ὢν καὶ ἀβληχρὸν ἔχων ὕδωρ. ποιμένα δὲ τὸν Πολύφημον τὸν Κύκλωπα λέγει, ὃς ἀντὶ λίθων ὄρη ἔβαλλεν. — Ἢ (Ὄρεσι λᾶας ἔβαλλε: Gen.[b]) *τοὺς ἐν τοῖς ὄρεσι λίθους, ὡς Δημήτριός φησι*

τοὺς πεπτωκότας
οὐκ οἶδ' ὅπῃ, φιλότης.

— (*Ἀντιπτωτικῶς· τοὺς λᾶας τῶν ὀρῶν ἔβαλλε λιθάζων τὸν Ὀδυσσέα.* L.)

Vs. 154.

Vet. Διεκρανώσατε Νύμφαι: κατὰ περίφρασιν ἀντὶ τοῦ ἐκεράσατε. μᾶλλον ἐμεθήσατε καὶ ἀνακαλυφθῆναι ἐποιήσατε. [*ἢ ἐπηγάσατε*]

ὤιξαν δὲ θύρας, ἀπὸ δὲ κρήδεμνον ἔλυσαν

καθ' Ὅμηρον. — (Διεκρανάσατε: διεπληρώσατε, διετελειώσατε. ἢ ἐκεράσατε. p.) — (*Διεκρανώσατε: σημαίνει τὸ ἀνεῴξατε. παρὰ τὸ κάρα καρανῶ καὶ διακαρανῶ, διεκαρανώσατε. δοκεῖ γὰρ τῶν πίθων ἡ ἀλοιφὴ κάρα εἶναι. οὕτως*

152) *Τὸν ἰσχυρὸν λέγω.* M. Lips. — *Ὃς λίθους ἔπεμπε σὺν τοῖς ὄρεσιν.* P. Y. Lips. *ὅστις ἔρριπτε λίθους ἐοικότας ὄρεσιν.* *Q. *ὁμοίους ὄρεσι λίθους ἔπεμπεν.* M. *ἴσους ὄρεσι λίθους.* E. *ἴσους, ἢ σὺν τοῖς ὄρεσι.* N.

153) *Τοιοῦτον πόμα ἰσοδύναμον τῷ νέκταρι.* *N. Lips. — *Διήγειρε.* E. M. Lips. — *Πρὸς τὸν αὐλόν.* M. *κατὰ τὴν αὐλήν.* M. *N. Lips. *εἰς τὰς σκηνώσεις.* E. *N. — *Ὥστε σκιρτῆσαι.* E.

154) [*Διεκρανώσατε:*] *διεκεράσατε ἡμῖν.* E. M. N. *ἐπηγάσατε.* E. M. N. Lips. *συνεκεράσατε.* C. *ἐπληρώσατε.* L. *ἐβλύσατε.* P. [*Διεκρανάσατε:*] *ἐγεμίσατε, ἢ ἐτελειώσατε, ἐκαρανώσατε.* 6.

---

1) *πρέπουσι* Gen.[b] 2) //Gen.[b] post *φιλότης* l. 10., ubi *τοῖον νέκταρ: διά.* 3) *τὸ δὲ χ. ἐξ Εὐρ. μετ. τὸ χορεῦσαι τὸν Κ.* Gen.[b] — *Eurip. Cycl.* 4) //Om. Gen.[a.b.] Lips. 8) //Gen.[b] 9) *ὡς* om. Gen.[b] 15) //Gen.[b] Phav. 15) *περίφρασιν*] 3., *ἀντίφρασιν* vulg. 16) *ἐκεράσατε*] Gen.[b] Phav., *διεκεράσατε* vulg. 16) *ἐμεθύσατε* vulg. — *ἢ ἀποκαλ.* Gen.[b] Phav. 17) *ἢ ἐπηγ.* om. Gen.[b] et cum sequentibus Phav. 18) *Hom. Od.* Γ, 392, ubi *ὤιξεν ταμίη καὶ ἀπὸ κρ. ἔλυσεν.* — *ὤϊξαν*] *ὦξαν* 4. Gen.[b], *ὦξον* 3. et ante Heins., *ὤϊξεν* vulg. — *δὲ θύρας*] ante Heins., *καὶ θύρας* 3. 4. Gen.[b], *ταμίη* vulg. — *ἔλυσαν*] 4. et ante Heins., *ἔδυσαν* Gen.[b], *ἔλυσεν* vulg. 21) *διεκαρ.* vulg. ante *καρανῶ*, unde transposui, *διικρανώσατε* et *διακρανῶ* V. 22) *καλυφὴ* cum v. l. *ἀλοιφὴ* V. — 28) *καὶ* pro *εἰς* E. 29) *ἐπηγάσετε* E. M. N. 31) *ἐκαράσατε* cod.

Ἀμάραντος ὑπομνηματίζων τὸ ἠδύλλιον Θεοκρίτου, οὗ ἡ ἐπιγραφὴ Λυκίδας ἢ Θαλύσια. EtM. 273, 39.)

Rec. (*Πῶμα διὰ τὸ μέτρον ἐνταῦθα γράφεται διὰ τοῦ ω Δωρικῶς. ἀπὸ γὰρ τοῦ κοινοῦ κατὰ πλεονασμὸν τοῦ υ γίνεται ποῦμα Ἰωνικῶς, εἶτα τροπῇ τῆς ου εἰς ω Δωρικῶς πῶμα, ὥσπερ καὶ Διόνυσος Διώνυσος καὶ ἄλλα πλεῖστα.* E.)

Vs. 155. 156.

Vet. *Περὶ Δάματρος ἁλωάδος: ἡ Δημήτηρ παρὰ τὴν ἁλωὰν ἁλωὶς καὶ ἁλῳὰς λέγεται.* — (*Τῆς τὰς ἁλωὰς ποιούσης. λέγεται δὲ καὶ ἁλωίς.* L.) — *Ἆς ἐπὶ σορῷ: ὅταν δὲ λικμῶντες σωρεύωσι τὸν πυρόν, κατὰ μέσον πηγνύουσι τὸ πτύον καὶ τὴν θρινάκην κατέθεντο. τὴν δὲ αἰτίαν εἶπον ἐκ Τριπτολέμου.* — *Ἆς ἐπὶ σορῷ πάξαιμι: εἰώθασι γὰρ ἐκτρίψαντες τοὺς καρποὺς καὶ σωροὺς ποιήσαντες τὸ πτύον πήσσειν.*

Rec. (*Παρὰ τῷ ναῷ τῆς Δήμητρος τῆς ἐφόρου τῶν ἁλώνων.* *E. *M. *Lips.) *αὐτῆς δὲ λέγει τὸν σωρόν, ὅτι αὐτὴ δίδωσιν αὐτόν.* — *Ἁ δὲ γελάσαι: ἱλαρὰ γένοιτο,* [*γελάσειεν,*] *εὐφορίαν δηλονότι καρπῶν διδοῦσα.*

Vs. 157.

Vet. *Δράγματα καὶ μάκωνας: δράγματα τὰ πλεκώματά φησι·* (*μύκωνας*) *τοὺς σωροὺς ἢ τοὺς θημῶνας.* — (*Δράγματα καὶ μάκωνας:* Gen.[b]) *τὴν Δήμητράν φησι μὴ μόνον ἀστάχυς, ἀλλὰ καὶ μήκωνας ἔχειν. διὰ τοῦ ἀμφοτέραις δὲ τὸ δαψιλὲς ἐμφαίνει. λείπει τὸ χερσί· μὴ γὰρ τῇ μιᾷ χειρί.*

156) [*Αὖτις:*] *εἰς τὸ ἐπιὸν ἔτος.* M. N. P. Lips. — *Εὐφρανθείη.* M.

157) *Μήκωνας. καὶ ἐκ τούτου γὰρ ἄρτον οἱ παλαιοὶ κατεσκεύαζον.* M. *φυτά, κουδαίας.* P. *τὰς κοινῶς κωδίας.* E. — *Ἐν ἀμφοτέραις, ταῖς χερσὶ δηλονότι.* Lips.

---

8) //Om. Gen.[a.b.] Lips. 9) *ἁλῳὰς*] *ἁλωὰς* vulg. 10) //Gen.[b.], ubi *σωρῷ*. 11) *λικμῶντες*] *λικμῶνται καὶ* vulg. 12) *πύον* ante Heins. 12) *θρηνάκην* Gen.[b.] et ante Heins. 12) *εἶπον*] *εἶπεν* vulg. 13) //Om. Gen.[a.b.] Lips. 16) *ναῷ, παρὰ τῷ βωμῷ* E. M. 17) //*E. *Lips. sine *δέ*. 18) //*Lips. sine *γελάσειεν* et *δηλονότι*. 21) //Om. Gen.[a.b.] Lips. 22) *μύκωνας*] *μήκωνας* p., om. vulg. — *τοὺς σωροὺς φησί, τοὺς θ.* p. 23) //Gen.[b.] 24) *διὰ τὸ ἐν ἀμφοτέροις χερσὶ τὸ δαψιλὲς ἐμφαίνειν* Gen.[b.], ubi seqq. desunt.

Idyll. VIII.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Βουκολιασταὶ Δάφνις καὶ Μενάλκας. μικτὸν διηγηματικόν. — (Διηγηματικὸν καὶ δραματικὸν Δωρίδι. M.)

(Δημητρίου τοῦ Τρικλινίου. M. Σύγκειται τὸ παρὸν εἰδύλλιον ἐκ στίχων ϟγ', ὧν οἱ λβ' δακτυλικοὶ ἑξάμετροι ἀκατάληκτοι, οἱ κη' ἡρωελεγεῖοι, ἤγουν ὁ εἷς ἡρωικός, ὁ δ' ἄλλος ἐλεγεῖος· οἱ δὲ πάλιν ἡρωικοί, ὧν τελευταῖος· καὶ Νύμφαν ἄκρηβος ἐὼν ἔτι Ναΐδα γᾶμεν. συνίσταται δὲ τὸ ἐλεγεῖον ἐκ ποδῶν δύο καὶ συλλαβῆς ποτὲ μὲν μακρᾶς, ποτὲ δὲ βραχείας. πλὴν οἱ μὲν πρῶτοι ποτὲ μὲν ἢ δύο σπονδεῖοί εἰσιν ἢ δύο δάκτυλοι, ποτὲ δὲ σπονδεῖος καὶ δάκτυλος ἢ τὸ ἀνάπαλιν· οἱ δὲ ὕστεροι ἀεὶ δάκτυλοι. M. Gen.ᵃ) — (Τοῦ αὐτοῦ Μοσχοπούλου σχόλια. Ὁ Δάφνις βουκόλος, ὁ Μενάλκας ποιμήν, ὁ δὲ κριτὴς αὐτῶν αἰπόλος. M.)

Vs. 1—4.

Rec. Δάφνιδι τῷ χαρίεντι συνήντετο βουκολέοντι μᾶλα νέμων ὡς φαντὶ κατ' ὤρεα μακρὰ Μενάλκας. ἄμφω τώ γ' ἤτην πυροτρίχω, ἄμφω ἀνάβω: ὁ Μενάλκας, ὥς φασι, πρόβατα βόσκων κατὰ τὰ ὄρη τὰ ἐπιμήκη συνήντησε τῷ Δάφνιδι τῷ χαρίεντι βοῦς νέμοντι. — Ἄμφω τώ γ' ἤτην πυροτρίχω: ἀμφότεροι οὗτοι ἦσαν πυρρότριχες, ἀμφότεροι [δὲ] ἄνηβοι, ἤγουν ἀτελεῖς ἔτι τὴν ἡλικίαν.

Vet. Ἔνηβοι μὲν οἱ πεντεκαιδεκαετεῖς καὶ πορρωτέρω· ἄνηβοι δὲ οἱ δωδεκαετεῖς καὶ κατωτέρω.

1) Τῷ χαρίτων πλήρει. 6. M. N. P. Lips. εὐειδεστάτῳ. 6. τῷ εὐμόρφῳ. E. — Συνήντησεν ἀπὸ τοῦ συνάντω θέματος, ὡς καὶ Ὀππιανός φησιν. E.
2) Τὰ μεγάλα. M. ὑψηλά. C. N.
3) Ξανθότριχες. M. ξανθόμαλλοι. M.

---

5) καὶ τὸ παρὸν Gen.ᵃ 8) οἱ δὲ π. ἡρ. om. M. 20) //*Lips. τῷ χαρίτων πλήρει συνήντησε βοῦς νέμοντι πρόβατα βόσκων — φασὶ — κατὰ τὰ ὄρη τὰ ἐπ. 22) //Gen.ᵃ c. lemm. ἄμφω et *Lips. 23) πυρότριχες Lips. et ante Brub. 23) δὲ om. Gen.ᵃ Lips. 23) ἔτι om. Gen.ᵃ 25) //Gen.ᵇ — μὲν] Gen.ᵇ, γὰρ vulg. 26) οἱ κατ. δωδ. Gen.ᵇ — 28) συναντῶ cod.

Rec. (*Πυρροτρίχω*: ἡ εὐθεῖα ὁ πυρρότριχος ὡς ὁ μάρτυρος, ὁ φύλακος. τῶν Ἰώνων δὲ τοῦτό ἐστι τὸ τὰς γενικὰς ποιεῖν εὐθείας. 2. 4. Gen.[a] Lips. Stop. Phav.) Ἀμφότεροι [δὲ] διὰ σύριγγος μέλπειν δεδιδαγμένοι, (ἀμφότεροι ᾄδειν δεδιδαγμένοι. Lips.) ᾄδειν δέ ἐστι τὸ κοινῶς τραγῳδεῖν. — (Ἥβη λέγεται, ὅταν ἄρχηται τριχοῦσθαι τὰ ἐκ τῶν νέων ἄτριχα, ἤγουν τὰ αἰδοῖα. ἄνηβος οὖν ὁ μὴ ἔχων ἐπὶ τούτοις τρίχας κατὰ τὸ παλαιόν. ἐφ' ἡμῖν δὲ λέγεται ἔφηβος ὁ τεσσαρεσκαίδεκα χρόνων παῖς. Q.)

Vs. 6. 7.

Vet. *Μυκητᾶν ἐπίουρε βοῶν*: ἀντὶ τοῦ μυκητῶν. *ἐπίουρε* δὲ ἀντὶ τοῦ ἐπίσκοπε, φύλαξ. καὶ Ὅμηρος·

ὅς τοι ὑῶν ἐπίουρος·

καὶ

ὃς πρῶτον Μίνωα τέκε Κρήτῃ ἐπίουρον.

γίνεται δὲ ἡ λέξις ἀπὸ τοῦ ὠρῶ τὸ φυλάσσω. — (Θέλεις μοι συγκριθῆναι δι' ᾠδῆς. p.)

Rec. *Λῆς μοι ἀεῖσαι*: θέλεις ἐρίσαι πρὸς ἐμὲ ᾄδων. διατείνομαι σε νικήσειν ἐγὼ ᾄδων κατὰ τοσοῦτον, καθ' ὅσον ἐθέλω.

Vs. 8—10.

Rec. *Τόνδ' ἄρα χ' ὡ Δάφνις*: πρὸς τοῦτον καὶ ὁ Δάφνις ἠμείψατο, ἀπεκρίνατο διὰ τοιούτου λόγου· ὦ Μενάλκα συρικτά, ἤγουν σύριγγι μέλπειν εἰδώς, ἢ μεγάλως συρίζειν δυνάμενος, ποιμὴν προβάτων, ἐξ ὧν τὰ ἔρια τὰ εἰς πόκους

4) *Δεδαημένω*: Δυικόν, ἀντὶ τοῦ ἐπιστήμονες τραγῳδισταί. *L. — Ἄιδειν μετὰ στόματος, ἤγουν τραγῳδεῖν. M.

6) Ἀκόλουθε, φύλαξ. E. M. P. ἐπιστάτα, ἔφορε. E. M. P. Lips. — Σὺν ἐμοί. L.

7) Ἀξιωματικὸς ὁ λόγος. L. — Λέγων διατείνομαι. E. M. N. διαβεβαιοῦμαι. E. N.

---

1) Lemma etiam Lips. Ex 4. hoc sch. vix recte allatum. — ὁ om. Stop. 3) //Lips. sine δέ. 11) //Gen.[b] omissis ἀντὶ ... ἀντὶ τοῦ. 12) ὡς καὶ Gen.[b] 13) *Hom. Od. N*, 405. et *Il. N*, 450. — ὅς τ' οἴων 3. 4. Gen.[b] et ante Heins. 15) Κρήτῃ ἐπ. om. ante Heins. 17) ᾠδαῖς cod. 18) //*Lips. θέλεις ... διατείνομαι — νικήσειν — κατὰ τοσ. καθ' ὅσον — ᾄδων. — θέλεις πρὸς ἐμὲ ᾆσαι P. 22) //*Lips. πρὸς τοῦτον — ἀντὶ τοῦ ἠμ. ἤγουν ἀπεκρίνατο .... εἰδὼς — ποιμὴν ... ἐπιτήδεια — νικήσεις seqq. 23) τοιούτου] Lips., τούτου τοῦ vulg. 25) προβάτων ... ἐπιτ. etiam *P., ubi πόκα.

ἐπιτήδεια· οὐδέποτέ με σὺ νικήσεις, οὐδ' ὅπως (ἂν) διατεθείης (σὺ ᾄδων).

Vet. Ἢ οὐδ' εἰ διαῤῥαγείης ᾄδων· ἢ παρὰ τὸ ἐν τῇ συνηθείᾳ οὐδὲ ἐὰν ἀποθάνῃς, ἢ ⟨οὐδὲ⟩ ἐὰν ἀπάγξῃ.

Vs. 11.

Vet. Χρήσδεις δ' ὦν: θέλεις οὖν ἰδεῖν καὶ γνῶναι καὶ ἔργοις μαθεῖν, ὅτι σου κάλλιον ᾄδω δηλονότι;· θέλεις καταθεῖναι ἆθλον;

Rec. Ἆθλον (κυρίως E.) τὸ διδόμενον τῷ νικήσαντι τὸν ἀγῶνα· ἐνταῦθα δὲ ἄθλον (ἁπλῶς E.) τὸ κοινῶς λεγόμενον στοίχημα, ὃ λήψεται ὁ νικήσων κατὰ τὴν ᾠδήν.

Vs. 14.

Vet. (Ἰσομάτορα: ἴσον τῇ μητρί, τουτέστι μέγαν. p. *6. L.)

Vs. 18.

Vet. (Ἐννεάφωνον: τὴν ἀπὸ ἐννέα καλάμων συγκειμένην. p. L. ἢ ταῖς ἐννέα φωναῖς ἁρμόζουσαν· ἐννέα γὰρ πᾶσαι αἱ φωναί. L.)

10) Τὸ λεγόμενον ⟨ἐν⟩ τῇ συνηθείᾳ οὐδ' ἐὰν σχισθῇς, οὐδὲ εἰ διαῤῥαγείης ᾄδων. L.

11) Ἰδεῖν, ἀντὶ τοῦ γνῶναι, τοῦτο. E. M. Lips.

12) Θέλω τοῦτο γνῶναι. E. M. Lips.

13) Καταθήσομεν. E. M. Lips. θήσομεν. C. — Ἱκανόν. E. M. N. Lips.

14) Κατάθες ἀμνὸν ἴσον τῇ μητρὶ αὐτοῦ. E. M. P. Lips. ἴσον τῇ μητέρι αὐτοῦ. Stop. ἤγουν ἐνιαύσιον, ἴσον καθ' ἡλικίαν. E. M. P. τουτέστι μέγαν. L.

15) Βαρύς, ὀργίλος. E. M. N. P. Lips.

16) Καὶ ἡ μήτηρ μου, χαλεπὴ δηλονότι. E. M. Y. Lips. χαλεπὴ καὶ αὐτὴ δηλονότι. P. — Κατὰ τὰ πρὸς ἑσπέραν. E. M. N. Y. Lips. κατὰ τὴν ἑσπέραν. P.

17) Τί δὲ ἔσται, ὅπερ ἕξει ὁ νικῶν πλέον. M. P. Y. Lips.

---

1) Additamenta sunt ex Lips., cf. οὐδὲ ὅπως ἂν διατεθείης ᾄδων *E. *M. *N. *P. 3) //Om. Gen.a.b. Lips. 6) //Om. Gen.a.b. Lips. 7) σου] ante Brub. II, σοῦ vulg. 7) κάλλιον ᾄδω] Geel., καλλίων εἰμὶ vulg., fort. κρείσσων εἰμί. 9) //Gen.a. Lips. ἆθλον] Gen.a. Lips. vulg., ἄεθλον Reisk. seqq. 10) λεγόμενον om. Gen.a. Lips. 11) νικήσων] E. M. Gen.a. Lips., νικήσας vulg. 16) ἐννεάφθογγον p. 16) συνημμένην L. — 19) ἐν] add. Duebn. 29) μου om. E. M. Y. 30) τὸ E. N., om. Lips.

Vs. 19.

Rec. (*Σημείωσαι τὸ ἴσον καὶ παρὰ τοῖς τῷ ἡρῴῳ μέτρῳ χρωμένοις βραχυνόμενον.* E. N.)

Vs. 23.

Vet. (*Συνέπαξα: συνέπηξα, συνήρμοσα.* p.)

Vs. 26. 27.

Vet. *Τῆνον πῶς ἐνταῦθα τὸν αἰπόλον: ἀντὶ τοῦ· ἄγε δή πως ἐκεῖνον ἐφ' ἡμᾶς καλέσωμεν.*

Rec. *Ἢ· (Τῆνον πῶς:* Gen.[a]) *ἐκεῖνον τὸν αἰπόλον, οὗ παρὰ ταῖς ἐρίφοις ὁ κύων ὁ λευκὸς ὑλακτεῖ, (ἐάν πως ἐνταῦθα, ἀντὶ τοῦ δεῦρο, καλέσωμεν, κρινεῖ δηλονότι ἡμᾶς· τουτέστιν εἰ ἦν τρόπος, ὅπως ἂν δεῦρο ἐκαλέσαμεν ἐκεῖνον τὸν αἰπόλον, οὗ παρὰ ταῖς ἐρίφοις ὁ κύων ὁ λευκὸς ὑλακτεῖ,* I. M. Y. Gen.[a] Lips.) *ἔκρινεν ἂν ἡμᾶς.*

Vet. *Ἄλλως. Τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον: λείπει τὸ σκόπει, ἵν' ᾖ· σκόπει ἐὰν καλέσωμέν πως, ἤγουν τινὶ τρόπῳ, τὸν αἰπόλον ἐκεῖνον. (ἢ ἄλλως. ἐλλειπτικῶς· τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον, νοητέον ἔξωθεν κράξωμεν.*

18) *Ἐννέα ὀπὰς ἔχουσαν* E. M. Lips., *ἐξ ὧν ἐξέρχονται αἱ φωναί, ἔμπροσθεν μὲν ὀκτώ, ⟨ὄπισθεν δὲ μίαν.⟩* M. *δι' ὧν ἡ ποιότης τῶν φθόγγων διακρίνεται.* E.

20) *Ἀντὶ τοῦ καταθήσω.* M. Lips. *προθήσαιμι, προβάλλοιμι.* P.

21) *Τό τοι περισσόν.* M. — *Ἐννέα ὀπὰς ἔχουσαν.* E. M. N. Lips. *ἐννέα φωνὰς ἔχουσαν.* P.

22) *Ἀντὶ τοῦ ἄνω, ἤγουν κατὰ τὸ ἄνω μέρος.* M. Y. Lips.

23) *Πρὸ ὀλίγου.* M. Lips. — *Συνήρμοσα.* L. *κατεσκεύασα, ἤγουν ἥρμοσα.* M. *ἤγουν ἥρμοσα, κατεσκεύασα.* Lips.

24) *Ἔτεμεν αὐτόν.* E. M. N. Lips. *ἔκοψεν αὐτόν.* P.

25) *Ἀκροατής.* E. M. Lips. — *Ἔσται κοινόν, ἔσσεται ποιητικόν.* E.

26) [*Πως:*] *ἴσως.* M. — [*Ἦν:*] *βούλει.* L. — *Καὶ ἐθελήσομεν καλέσαι κρίνειν.* L.

---

5) *συνήρμοσα*] Duebn., *συναρμ.* cod. 7) //Om. Gen.[a b] Lips. 9) //Gen.[a] Lips. 10) *ὁ λευκὸς ὑλ.*] Gen.[a] Lips., *ὑλ. ὁ λ.* vulg. Sequens additamentum hoc loco habent I. M. Gen.[a] Lips. et, ut videtur, Y. 11) *ἀντὶ τοῦ δεῦρο* om. Gen.[a] 11) *κρινεῖ δηλ. ἡμ.* etiam *E. 12) *τόπος* M. 12) *καλέσωμεν* Gen.[a] 14) *ἔκρινεν*] I. M. Gen.[a] Lips. vulg., *ὃς ἔκρ.* Kiessl. auctore Toupio. 15) //Gen.[b] post sch. seq., ubi *τῆνον πῶς.* 18) *τῆνον πῶς* iterum cod., ut videtur. — 20) Additamentum Aderto debetur.

Gen.[b]) — *Ὁ κύων ὁ φάλαρος*: φαλιός, λευκός. καὶ Ὅμηρος *κύματα φαληριόωντα* λέγει τὰ λευκαινόμενα. τὸ φαλιὸν δὲ καὶ βαλιὸν λέγουσιν ἐπὶ τῶν ἐχόντων τι λευκὸν ἐν τῷ μετώπῳ.

Vs. 30.

Rec. *Πρᾶτος δ' ὦν ἄειδε λαχὼν ἰυκτὰ Μενάλκας*: πρῶτος δ' οὖν ᾖδεν ὁ Μενάλκας ἰυκτά, ἤγουν λιγύφθογγα, λαχών, τουτέστι κληρωθείς· ἀφ' οὗ λαχμὸς ὁ κλῆρος ποιητικῶς.

Vet. ⟨*Ἰυκτά*:⟩ ὁ συρικτὴς ὁ λιγύφθογγος· τοῦτο γὰρ σημαίνει τὸ ἰυκτής. Καλλίμαχος:

ἰύζων δ' ἀν' ὄρος.

— Ἰυκτὴς δὲ παρὰ τὸ ἰύζω ἰύξω, (ἤγουν συρικτὴς Vat.) Δωρικὴ δέ ἐστιν ἡ κλίσις, ἤγουν ἰυκτὰ ἀντὶ τοῦ ἰυκτὴς ὡς τὸ *νεφεληγερέτα Ζεύς*. ἰύζειν δὲ τὸ λιγυφωνεῖν· κυρίως δὲ ἐπὶ γυναικῶν.

Vs. 31. 32.

Rec. *Εἶτα δ' ἀμοιβαίην*: εἶτα δὲ ἀμοιβαίαν ᾠδὴν βουκόλοις ἁρμόζουσαν ὁ Δάφνις διαδεχόμενος ᾖδεν.

27) Λευκός, ἐξ οὗ καὶ φαλακρὸς ὁ ἔχων φαλιὸν κάραν. *L.

28) Ἐφώνησαν, ἐκάλεσαν ἐκεῖνον. M. Lips. — Ἦλθεν ἐπήκοος γενόμενος. E. M. Lips.

30) Ἀποκληρωσάμενος. L. κληρωσάμενος τοῦτο. C. M. — [*Ἰυκτά*:] λιγύφθογγα μέλη. E. F. N.

31) Ἐκ διαδοχῆς. N. — Διεδέχετο. λαμπρὰ λέξις. L.

32) Τέλος τῶν ἡρωικῶν. *M.

---

1) //Gen.[b] et Phav. s. v. *φάλαρος*. — *ὁ κύων* ... *λευκός*] Gen.[b], φάλαρος δὲ ὁ λευκός vulg. et sine δὲ Phav. 2) *Hom. Il. N*, 799. — κύματα δ' αὖ φαλληριόεντα λέγει, ἤγουν λευκαίνοντα Phav., λευκὰ pro λέγει Gen.[b] 3) φαλιὸν et βαλιὸν] Gen.[b] ut videtur (ubi antea φαλιός), φαλίον et βαλίον ante Heins., φάλιον et βάλιον vulg. — καὶ τὸ ἐν τῷ μετώπῳ δὲ ὁμοίως φαλληρὸν καλοῦσι pro τὸ φαλιὸν seqq. Phav., δὲ om. Gen.[b] 3) καὶ τὸν ἐν τῷ μετ. ἔχοντα λευκὸν pro ἐπὶ τῶν seqq. Gen.[b] — τι] τὸ vulg. 6) //Y. Gen.[a] Lips. sine lemm. Verba ᾖδεν ... κληρωθεὶς etiam *P. 7) εἶδεν Lips. 7) Vulgo post Μενάλκας legitur sequens scholium, quod deest in *P. Y. Gen.[a] Lips. 7) ἰυκτὰ ἤγουν] Y. Lips., ἐνήδονα *P., om. Gen.[a] vulg. — λιγύφθογγα] add. *P. Y. Gen.[a] Lips. 8) τουτέστι] *P. Y. Lips., καὶ vulg., λαχ. τουτ. om. Gen.[a] 10) //Om. Gen.[a.b] Lips., vid. ad lin. 7. 12) *Callim. fr.* 43. 13) //Om. Gen.[a.b] Lips. — ἰυκτὰς 3. 18) //Gen.[a] Lips. sine lemm.

Vs. 33—35.

Vet. Ἄρχεται τῆς ᾠδῆς. τὸ δὲ μέτρον ἡρωικὸν καὶ ἐλεγεῖον. — Ἄγγεα καὶ ποταμοὶ θεῖον γένος: ὡς πρὸς ἔμψυχον ὁ λόγος· ποιητικὸν δέ ἐστι τὸ ἔθος. — Ἄλλως. (Ἄγκεα καὶ ποταμοί: Gen.[b]) γλυκύτης τὸ σχῆμα, ὅτι (ἐνταῦθα Gen.[b]) τοῖς ἀψύχοις ὡς ἐμψύχοις προσδιαλέγονται. ἄγκη δὲ τὰ κοῖλα τῶν ὀρῶν· οἱ δὲ τὰ μετέωρα διὰ τὸ ἄνω κεῖσθαι· ἢ ἀπὸ τοῦ ἄγω τὸ κλῶ, τὰ συγκεκλασμένα οἷον. θεῖον δὲ γένος τὸ τῶν ποταμῶν λέγει, καθὸ ἐκ Τηθύος καὶ Ὠκεανοῦ ἢ ἐκ Διός, ὡς Ὅμηρος. — Πρὸς τὰ ἄγκεα καὶ τοὺς ποταμοὺς λέγει ὡς σωματοειδεῖς θεούς, ὅπως τὰ θρέμματα αὐτοῦ μείνωσιν ὅλα. ἢ θεῖον, ὅτι ἀεικίνητοι τυγχάνουσι, παρὰ τὸ θέω θεῖον. — (Ἐκ ψυχᾶς: ἢ ᾖσε μέλος ἐκ ψυχῆς, ἢ βόσκοιτ' ἐκ ψυχῆς, Gen.[b] [ἐκ ψυχᾶς:] ἤγουν ζέοντι πόθῳ καὶ μετὰ ἐπιθυμίας καὶ μὴ ἀνειμένως. 3. 4. L. Gen.[b])

Rec. (Ἡ ᾠδὴ αὕτη ἡ παρ' ἀμφοτέρων ᾀδομένη μέχρι τοῦ ταῦτα μὲν ὢν δι' ἡρωελεγείων ἐστὶ στίχων, ἤγουν ἑνὸς ἡρωικοῦ καὶ ἑτέρου ἐλεγείου. ἔστι δὲ τὸ ἐλεγεῖον μέτρον κατὰ διποδίαν μετρούμενον καὶ συλλαβήν. οἱ δὲ πόδες δάκτυλοί εἰσι καὶ σπονδεῖοι μόνοι. N.) — Αἴ τι Μενάλκας πῆ πόχ' ὁ συρικτάς: εἴ τι που μέλος προσφιλὲς ὑμῖν ᾖσέ ποτε ὁ Μενάλκας ὁ διὰ σύριγγος μέλπειν ἐπιστάμενος, βόσκετε ἐκ ψυχῆς, ἤγουν ἐξ ὅλης τῆς προθυμίας, τὰς ἀμνάδας. ἐκ ψυχῆς ποιεῖ τις τόδε, ἤγουν ἑκὼν καὶ ἀφ' ἑαυτοῦ κινούμενος· οὐκ ἐκ ψυχῆς δὲ ποιεῖ, ἤγουν ἄκων καὶ σὺν βίᾳ τινὶ καὶ οὐκ

33) Τὰ κοῖλα τῶν ὀρῶν. Lips. — Ἐκ θεῶν καταγόμενοι. E. M. N. P. Lips.

35) Ζέοντι πόθῳ. L. προθύμως. M.

---

2) //Gen.[b] post ὡς Ὅμηρος lin. 10., ubi τὸ δὲ μ. ἡρ. καὶ ἐλ. τῆς ᾠδῆς sine ἄρχεται. — ἐλεγεῖον] Gen.[b], ἡρωελεγεῖον vulg. 3) //Om. Gen.[a.b.] Lips. 4) //Gen.[b] 6) προσδιαλέγονται] Gen.[b], -λέγεται vulg. 7) ἄγγη ante Heins., ἄγχη Gen.[b] 7) οἱ δὲ τὰ ... οἷον om. Gen.[b] 10) //Om. Gen.[a.b.] Lips. — ἄγγεα ante Heins. 14) βόσκοιτ'] Adert., βόσκοντ' cod., in quo sequens lemma deest. 15) ἐπιμελείας καὶ μὴ αἰσιμένως Gen.[b] 21) //Gen.[a] sine πῆ πόχ' ὁ σ. et Lips. 23) ἐπιστ., βόσκετε ἐκ ψ.] Lips. et ante Brub., ubi post ἐπιστ. punctum positum. Scult. ibidem novi scholii initium indicavit, tum Heins. verba βόσκετε ἐκ ψυχῆς in lemma βόσκοιτ' ἐκ ψυχᾶς mutavit, quae Ox. in ΨΤΧ. mutilavit, Reisk. seqq. in ἐκ ψυχᾶς. In Gen.[a], si Aderto fides, Heinsii lectio extat. 24) τὰς ἀμνάδας] Gen.[a] Lips., τὰς ἀμνίδας vulg., om. Reisk. seqq. 26) συμβία Lips.

ἀφ' ἑαυτοῦ κινούμενος. ἐπὶ τῶν ποταμῶν δὲ λέγει καὶ τῶν ὀρῶν τὸ ἐκ ψυχῆς νῦν κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ἐμψύχων ἐπὶ τὰ ἄψυχα. — (Περισσὸν τὸ πη, διὸ ὀξύνεται· οὐ γὰρ ἴδιον ἔχει τὸν τόνον. Vat. E. I. M. Y. *Lips.)

Vs. 36.

Rec. Μηδὲν ἔλασσον: ἐμοῦ δηλονότι. ἔχοι: ἀντὶ τοῦ ἐχέτω.

Vs. 37.

Rec. Γλυκερὸν φυτὸν αἴπερ ὁμοῖον: γλυκύτητος μετέχον. γλυκερὸν φυτὸν λέγει τὰς βοτάνας διὰ τὸ ὑπ' αὐτῶν τρέφεσθαι τὰ νεμόμενα ζῷα. τὸ δὲ αἴπερ ὁμοῖον ἀντὶ τοῦ εἴπερ ὁμοίως.

Vs. 39. 40.

Rec. Κῆν τι Μενάλκας: καὶ ἐὰν ὁ Μενάλκας ἀγάγῃ τι ὧδε, χαίρων βοσκέτω πάντα ἀφθόνως. (τι ἑνικῶς εἰπών, εἰς ⟨αὐτὸ⟩ E.) πληθυντικὸν ἀποδίδωσι (τὸ πάντα E.), ἐπεὶ τὸ τι ἀορίστως λεγόμενον πληθυντικοῦ δύναμιν ἔχει.

Vs. 41—48.

Rec. Πάντᾳ ἔαρ· πάντα δὲ νομοί: πανταχοῦ ἐστιν ἔαρ, ἔνθα ἡ καλὴ παῖς ἐνδιατρίβει. τὸ ἔνθα τόπον ἕνα τινὰ δηλοῖ· ἀορίστως δὲ λεγόμενον πληθυντικοῦ δύναμιν ἔχει. διὸ πρὸς τὸ πανταχοῦ νῦν ἀποδίδοται καὶ ποιεῖ τὸν λόγον ὅμοιον τῷ ἀνωτέρῳ· κῆν τι Μενάλκας τῆδ' ἀγάγοι, χαίρων

36) Δαμάλεων ἐπιστατῶν. M. Lips. νέμων. C.
38) [Μουσίσδοι:] ᾄδει. Lips. — Ὡς καὶ αἱ ἀηδόνες. L.
39) [Τοῦτο:] δεικτικόν. L. — Τρέφετε λιπαρῶς. E. M. εὐτραφὲς ποιεῖτε. E. M. Lips. [Ποιμαίνετε:] εὐτραφὲς ποιεῖτε. γράφεται καὶ πιαίνετε. 6.
40) Ὧδε. Lips. ἐνταῦθα. P. — Κομίσοι. M. — Πλουσίως. M.
41) Πανταχοῦ. 6.

---

3) πη] Vat., πῆ rell., τὸ πῆ περ. E. I. M. Y. 3) διὸ καὶ E. I. Y. 4) τόπον Vat. 6) //*Lips. ἐμοῦ — ἐχέτω. 9) //*Lips. γλυκύτητος .... ζῶα — εἴπερ ὁμοίως. 10) λέγει δὲ οὕτως E. 10) ὑπ' αὐτῶν τρέφεσθαι τὰ] Lips., τρέφειν τὰ ὑπ' αὐτῶν E., τρέφειν τὰ ὑπ' αὐτοῦ vulg. 12) ὅμοιον pro ὁμοίως M. 14) //*Lips. 14) ἀγάγοι Lips. 17) ἀρίστως ante Brub. 19) //Lips. 20) καλὴ διατρίβει P. 20) τινὰ δηλοῖ] Lips., δηλοῖ τινὰ vulg. 23) τῆδ'] Lips., τῆδε Call., τῇδε Brub. II, τῇδ' Heins. vulg.

ἄφθονα πάντα νέμοι. ὃ γὰρ δύναται ἐκεῖ τὸ τι, τοῦτο ἐνταῦθα τὸ ἔνθα· καὶ ὃ ἐκεῖ τὸ πάντα, τοῦτο ἐνταῦθα τὸ πανταχοῦ. πανταχοῦ δέ εἰσι νομαί. — Νομὸς ποιητικόν, νομὴ κοινόν. λέγεται δὲ οὕτως ἡ ἐνέργεια, ἤγουν αὐτὸ τὸ βόσκεσθαι, καὶ ὁ χόρτος ὁ εἰς νομὴν ἐπιτήδειος, καὶ ὁ τόπος ὁ τὸν χόρτον ἔχων. ἐνταῦθα δὲ τὸ νομοὶ ἐπὶ τοῦ δευτέρου λέγεται σημαινομένου.

Vet. Πάντα ἔαρ πάντα δὲ νομαί: ὅπου, φησίν, ἡ ἐρωμένη αὐτοῦ περιπατεῖ, ἐκεῖ πάντη ἔαρ καὶ πάντη νομαί εἰσι, καὶ τὰ θρέμματα ἐκφέρεται· ὅταν δὲ ἀπέλθῃ, ἀποξηραίνεται καὶ ὁ ποιμὴν καὶ αἱ βοτάναι. τὸ δὲ πάντη Δωρικῶς παντᾷ περισπωμένως. τὸ δὲ οὔθατα πηδῶσιν [ἢ πλήθουσιν], ὅτι πλήθει διὰ τῶν θηλῶν τὸ γάλα. — Τρέφεται: ἢ τὰς ἀμνάδας καὶ τοὺς ἀμνοὺς ὑπὸ τῶν οὐθάτων τρέφεσθαι <λέγει>, ἢ τὰ νέα καὶ τὰ μικρὰ τῶν ποιμνίων τρέφονται καὶ αὔξονται· (ἢ τὰ ἀρτίφυτα τῶν βοτανῶν αὔξονται. Gen.[b])

Rec. Παντᾶ δὲ γάλακτος οὔθατα: πανταχοῦ δὲ οἱ μαζοὶ γάλακτός εἰσι πεπληρωμένοι, καὶ τὰ νεογνὰ τρέφεται ὑπ' αὐτοῦ. — (Αἰ δ' ἀναφέρπῃ: Gen.[a] ἐὰν δὲ ἀποδημῇ, ἐκεῖ, ὅθεν ἀποδημεῖ, καὶ ὁ ποιμὴν ξηρός ἐστιν, ἤγουν τοῦ θαλεροῦ

42) Τὰ νεογνὰ τῶν βοῶν, τῶν αἰγῶν καὶ τῶν λοιπῶν. M.

43) Ὅπου ἡ εὔμορφος παῖς ἐνδιατρίβει. P. Lips. — Ἐὰν δὲ ἐκεῖθεν πόρρω γενήσεται. L.

45) Ἐκεῖ ὄϊς διδυματόκοι ἀπὸ κοινοῦ, ἤγουν δίδυμα τίκτουσαι. M. Y. Lips.

46) Ἀντὶ τοῦ σίμβλα. M. Lips. — [Πληροῦσι:] κηρίου δηλονότι. E. M. Lips. — Καὶ αἱ δρύες ἐκεῖ εἰσὶν ὑψηλότεραι. M. P. Lips.

47) [Μίλων:] ὁ ἐρώμενος αὐτοῦ. M. ὁ βοσκός. P. — Ἐὰν δὲ ἀποδημῇ. P. Lips.

---

2) πάντα ante Brub. 3) παντ. δὲ εἰσὶ ν. Lips. s. l. 3) //Gen.[a] Lips. 5) χόρτος εἰς M. 6) δὲ om. Lips. — τὸν νομὸν ἐπὶ δευτ. σημ. Gen.[a] 8) //Gen.[b] c. lemm. παντᾶ ἔαρ. 9) πάντη bis] πάντα ante Heins., παντᾷ vulg. 10) ἐκφέρεται] p., ἐκτρέφεται vulg. 11) πάντη et παντᾶ ante Heins., ΠΑΝΤΗ Reisk. seqq. 12) πηδῶσιν] 3. 4. Gen.[b] et ante Heins., quae πλήθωσιν, tum πλήθωσι Ox. vulg., πηδῶσι Reisk. seqq. — ἢ πλήθουσιν om. 3. 4. Gen.[b] 13) //Gen.[b] ante sch. praec. — τρέφεται] Gen.[b], τρ. δὲ vulg. 14) ἀμνάδας] Gen.[b], ἀμνίδας vulg. 14) οὐθάτων] 3., ἀθατῶν Gen.[b], μαζῶν vulg. 15) λέγει] supplevit Amstel. 15) ἤγουν pro καὶ τὰ Gen.[b] 18) //*Lips. 19) τὰ] add. Lips. 20) Verba ἐὰν δὲ ἀποδημῇ accesserunt ex Gen.[a] Lips. et praeterea *P., unde afferuntur ἐὰν δὲ ἀποδημῇ, ἐκεῖ ὅθεν. — ἐκεῖ δὲ M., in quo haec ad Vs. 47 leguntur, ubi textus de bubulco. 21) ἀποδημεῖ om. Gen.[a] 21) ἀνθηροῦ pro θαλεροῦ M. — 24) πορρογεν. cod.

καὶ εὐτραφοῦς ἐστερημένος, καὶ αἱ βοτάναι τοιαῦται. *E. M. *Y. Gen.[a] *Lips.) — *Χ' ὠ ποιμήν: καὶ ὁ τὰς βοῦς βόσκων αὐότερος — ἀπὸ κοινοῦ — ἀντὶ τοῦ αὗος, ἤγουν ξηρός, (τοῦ ἀνθηροῦ καὶ εὐτραφοῦς ἐστερημένος,* P. Y. Lips.) *καὶ αἱ βόες αὗαι.*

Vet. *Ἔνθ' ὄϊς ἔνθ' αἶγες: ὁ Δάφνις πάλιν ἐπὶ τῆς αὐτῆς ἐννοίας ἀντιπαραβάλλων λέγει, ὅτι, ὅπου ἂν ὁ ἐρώμενός μοι Μίλων βαίνῃ, πάντα αὔξει, καὶ σμήνη καὶ δένδρα καὶ θρέμματα· ὅταν δὲ χωρισθῇ, καὶ ὁ βουκόλος ξηρὸς γίνεται καὶ αἱ βόες.*

Vs. 49—52.

Vet. *Ὦ τράγε τᾶν λευκᾶν ἄνερ αἰγᾶν: καταχρηστικῶς ἄνδρα τῶν αἰγῶν τὸν τράγον φησίν.* — *Ὦ βάθος ὕλας: ὅπου ἐστὶν ὑψηλὴ δασύτης — Ὅμηρος· ὡς δ' ὅτε κινήσει Ζέφυρος βαθὺ λήιον ἐλθὼν — ἐν ἐκείνῳ τῷ τόπῳ ἐστὶν ὁ Μίλων.* — *Ἴθ' ὦ κόλε καὶ λέγε Μίλω: ὦ κολοβὲ τράγε, ἄπελθε ἐκεῖ, ὅπου ἐστὶν ὁ Μίλων, καὶ λέγε αὐτῷ, ὅτι καὶ ὁ Πρωτεὺς θεὸς ὢν φώκας ἔνεμεν, οἷον μετὰ δυσωδῶν ζῴων ἀνεστρέφετο. καὶ σὺ οὖν μὴ ὑπερηφάνει διὰ τὴν τῶν τράγων ὀσμὴν ἐλθεῖν [πρὸς ἡμᾶς, ἤτοι] πρὸς ἐμὲ [τὸν Μενάλκαν].* (*κόλος δὲ λέγεται ὁ τράγος ὁ μὴ ἔχων κέρατα.* Gen.[b] Phav.) *Μίλω δὲ εἶπεν ἀντὶ τοῦ*

49) [*Ἄνερ:*] *ἐλατήρ.* L. *ἀντὶ τοῦ ὀχευτά.* M. Lips. — [*Ὦ:*] *οὗ, ὅπου.* v.

51) [*Μίλω:*] *κατὰ ἀποκοπὴν τῆς νι.* E. M. *ἀποκοπὴ Δωρική.* Vim.

2) //Lips. — Schol. sic cum perverso lemmate nec satis apto loco (suo loco in Lips.) ante Scult. legebatur, qui prioribus relictis verba *αὐότερος* seqq. ad Vs. 48 transtulit; eodem Reisk. seqq. totum scholium traxerunt cum lemm. *χ ὠ.* 6) //Gen.[b] sine *ἔνθ' αἶγες.* 7) *παραβαλῶν* Gen.[b] 8) *βαίνῃ*] 4.[1] (Gen.[b]) et Kiessl. seqq., *βαίνει* vulg. 8) *καὶ δένδρα*] add. 3. 4. (Gen.[b]) 9) *χωρισθῇ ... γίνεται*] Gen.[b], *ἀπέλθῃ, ἀποξηραίνεται καὶ ὁ βουκόλος* vulg. 10) *οἱ βόες* Gen.[b] 12) //Om. Gen.[a.b.] Lips. 13) //Om. Gen.[a.b.] Lips. 14) *Hom. Il. B*, 147. 15) Male ante *ἐν ἐκείνῳ* Reisk. seqq. inseruerunt lemma *ἐν τήνῳ*, quum vulgo puncto distinctum esset, quam interpunctionem emendavi. 16) //Gen.[b] sine *Μίλω* et *τράγε.* 17) *ἄπελθε νῦν* pro *ἄπελθε ... Μίλων* Gen.[b] 18) *ὅτι ὁ* Gen.[b] 18) *οἷον οἷον* Gen.[b] 19) *δυσωδῶν*] Gen.[b], *δυσόδμων* p., *δυσόσμων* vulg. 19) *ἀνετρέφετο* Gen.[b] 19) *ὑπερηφάνει*] Adert., *ὑπεριφάνει* Gen.[b], *ὑπερηφανεῖ* p., *ὑπηρεφάνη* Call., *ὑπερηφάνη* Brub., *ὑπερηφάνη* Xyl., *ὑπερηφάνης* Heins. vulg., *ὑπερηφάνηθι* Reisk. seqq. 20) *ὀδμὴν* Gen.[b] 20) *πρὸς ἡμᾶς ἤτοι* et *τὸν M.* om. Gen.[b], ubi *πρός με.* 21) *κόνος* Gen.[b] 22) *Μίλω*] ante Heins. et Reisk. seqq., *Μίλῳ* vulg.

Μίλωνι· καὶ γὰρ τὴν εὐθεῖαν οὐχ ὁ Μῖλος ἔφη, ἀλλ' ὁ Μίλων.

Rec. *Ἄλλως.* *Ὦ βάθος ὕλας: τὸ δεῦρο συνυπακούειν δεῖ ἀπὸ κοινοῦ κατ' ἀναλογίαν τοῦ προρρηθέντος, ἵν' ᾖ τὸ πᾶν οὕτως· ὦ τράγε τῶν λευκῶν αἰγῶν ὀχευτά, δεῦρο ὧδε, ὅπου ἐστὶν ἡ πλείστη δασύτης τῶν δένδρων, ὅπου εἰσὶν αἱ σιμαὶ μέλισσαι. δεῦτε ἔριφοι ἐπὶ τὸ ὕδωρ. ἐν ἐκείνῳ γάρ, τῷ ὕδατι δηλονότι, ἐστὶν ἐκεῖνος, ἤγουν ὁ Μίλων. — Ἴθ' ὦ κόλε: ἄπιθι ὦ κολοβέ — πρὸς τράγον τινὰ ἄκερων ἢ μικρὸν τοῦτο [λέγει]· [κόλος γὰρ λέγεται ὁ μὴ ἔχων κέρατα, καὶ Ὅμηρος κόλον δόρυ λέγει] — καὶ λέγε τῷ Μίλῳ, ἀντὶ τοῦ τῷ Μίλωνι, ὅτι ὁ Πρωτεὺς φώκας ἔβοσκε καίπερ ὢν θεός.*

Vs. 53—56.

Rec. *Μή μοι γᾶν Πέλοπος: μή μοι εἴη ἔχειν οὔτε τὴν Πελοπόννησον μήτε χρυσοῦ τάλαντα, ἤγουν πλούτη· μηδὲ εἴη ἐμοὶ ἐν δρόμῳ τοὺς ἀνέμους παρατρέχειν. — Ἀλλὰ εἴη μοι τὸ ὑπὲρ τὴν πέτραν ταύτην τραγῳδεῖν ἔχων σε, τὸν Μίλωνα, εἰς τὰς ἀγκάλας μου, ὁρῶν τὰ ὁμοῦ βοσκόμενα πρόβατα καὶ τὸ Σικελικὸν πέλαγος, ἀντὶ τοῦ τὴν Σικελίαν. — Τάλαντον [δὲ] ὁ ζυγός·*

χρύσεια πατὴρ ἐτίταινε τάλαντα.

τάλαντα καὶ τὰ τῷ ζυγῷ σταθμιζόμενα· ἐνταῦθα δὲ τὸ δεύτερον.

52) *Ζῷα δυσώδη.* M.

53) [*Μή μοι*:] *ἐνταῦθα τὸ εἴη ἔχειν.* M. — *Χρυσᾶ νομίσματα.* M.

55) *Ἤγουν τῇ Σικελικῇ.* L. — *Τὸ κοινῶς τραγῳδήσω.* Lips. — *Ἀνὰ τὰς ἀγκάλας.* M. Lips. *ἔχων σε, τὸν Μίλωνα λέγει.* Lips. *σέ, τὸν Μίλωνα δηλονότι.* E. N.

---

1. 2) *Μῖλος — Μίλων*] *Μίλος — Μίλων* 3. 4. (Gen.[b]) et ante Heins., item Kiessl., *Μίλων — Μίλος* vulg. 3) //Gen.[a] Lips. — *ὦ βάθος ὕλας* Lips., *ὦ β. ἥλης* Gen.[a] — *τὸ*] Gen.[a] Lips. et ante Heins., *τὸ δὲ* vulg. 4) *ἀπὸ κοινοῦ* om. Gen.[a] 4) *προρρηθέντος*] Duebn., *προσρ.* vulg., *πρὸς ῥηθ.* Gen.[a] 6) *ὅπου ὧδε* Gen.[a] 6) *σχούτης* pro *δασύτης* Gen.[a] 9) //Gen.[a] Lips. sine lemmate. 9) *ἐράτην* pro *τράγον* Lips. 9) *ἄκερων*] Lips. vulg., *ἀκέρων* Kiessl. 10) *λέγει* om. Gen.[a] Lips. 10) Circumscripta om. Gen.[a] Lips., vid. supra SchVet. 11) *Hom. Il. Π*, 117. 11) *Μίλω*] Lips. et ante Heins., *Μίλῳ* vulg., *τῷ Μίλω ἀντὶ τοῦ* om. Gen.[a] 14) //*Lips. *εἴη ἔχειν — τὴν Πελ. — χρυσᾶ — μηδὲ ... παρατρέχειν.* 15) *πλούτη*] ante Heins., *πλοῦτον* vulg. 16) //Om. Gen.[a.b.] Lips. 17) *σὲ* ante Gail. 20) //Gen.[a] Lips. sine *δέ*. 21) *Hom. Il. Θ*, 69. — *χρύσια* Gen.[a] 22) *τάλαντα* om. Gen.[a] 22) *σταθμαζόμενα* Gen.[a] 22) *δὲ* om. Gen.[a] Lips.

Vet. *Ἀλλ' ὑπὸ τᾷ πέτρα τᾷδ' ἄσομαι ἀγκὰς ἔχων τυ*: αὐτάρκης ὁ Δάφνις, ὅθεν καὶ λέγει· ἀλλὰ εὐφραίνομαί σε ἐν ταῖς ἀγκάλαις ἔχων ἐπὶ τῇδε τῇ πέτρᾳ ἀφορῶν τὴν Σικελίαν. — Οὐκ ἀνιστορήτως τοῦτο ὁ Θεόκριτός φησι· καὶ ὁ Ἑρμησιάναξ γὰρ λέγει τὸν Δάφνιν ἐρωτικῶς ἔχειν τοῦ Μενάλκα. ἀλλ' ὁ μὲν ἐπ' Εὐβοίας τὰ περὶ αὐτοῦ διατίθεται, οὗτος δὲ ἐπὶ Σικελίας.

Vs. 57—60.

Rec. *Δένδρεσι μὲν χειμών*: πρὸς τὰ δένδρα μέν ἐστι κακὸν φόβον ἔχον ὁ χειμών, πρὸς τὰ ὕδατα δὲ ἡ ἀνομβρία, ὅτι ἀποξηραίνει καὶ ἀφανίζει αὐτά, πρὸς δὲ τοὺς ὄρνιθας *ὕσπλαξ*, ὅ ἐστιν εἶδος παγίδος. — (*ΥΣΠΛΑΓΞ*: ἡ ἐξ ὑείων τριχῶν σχοῖνος, ἡ λεγομένη ἰδιωτικῶς βροχίς. Q.)

Vet. (*Ὕσπαξ*: παγίδων γένος· Gen.[b]) κυρίως δὲ ὕσπληξ ἡ τῶν δρομέων ἀφετηρία, ὃ κάγκελλον ἡμεῖς φαμεν. ἀπὸ κοινοῦ δὲ τὸ φοβερὸν κακόν. — (Τοῖς δὲ ἀγριμίοις τὰ δίκτυα. p.)

Rec. *Ἀγροτέροις δὲ λίνα*: τοῖς θηρίοις τοῖς ἐν τοῖς ἀγροῖς διατρίβουσι τὰ δίκτυα, αἵ ἄρκυς — ἀπὸ κοινοῦ φοβερὸν κακόν —· τῷ ἀνθρώπῳ δὲ κακὸν φοβερὸν παρθένου τρυφερᾶς πόθος. — *Ὦ πάτερ ὦ Ζεῦ*: οὐ μόνος ἐγὼ ἔρωτα ἔσχον, ἀλλὰ καὶ σὺ γυναικῶν ἐραστής.

Vs. 61. 62.

Rec. *Ταῦτα μὲν ὦν δι' ἀμοιβαίων*: ταῦτα μὲν οὖν

56) *Ἀλλήλοις συννεμόμενα.* M. ὁμοῦ νεμόμενα. Lips. νεμόμενα δηλονότι περὶ τὴν ἅλα τὴν Σικελικήν. E.

57) *Ξηρότης*, ἀνομβρία. M.

59) *Τῷ ἀνδρὶ δὲ κακὸν παρθένου τρυφερᾶς*, ἤγουν νέας, πόθος. M.

60) *Γυναικῶν ἐραστὴς* ὑπάρχεις. τέλος τῶν ἡρωελεγείων. M.

61) *Ἡρωικοί.* ἐκ τοῦ ποιητικοῦ προσώπου. M.

---

2) //Om. Gen.[a.b.] Lips. 4) //Gen.[b] cum pravo lemmate *ἔνθ' ὁ καλὸς Μίλων βαίνει ἀγκὰς ἔχων.* 5) *Δαμοίταν* pro *Δάφνιν* Can. Gen.[b], *Δαμοίτα* Vulc. 5) *πρὸς τὸν Μενάλκαν* 3. 7) *Σικελίαν* Gen.[b] 9) //*Lips. *πρὸς τὰ δένδρα ... ἀνομβρία*, tum *εἶδος παγίδος.* 12) *ὕσπλαξ*] ante Heins., *ὕσπλαγξ* vulg. 13) *βρόχια* cod. 14) //Gen.[b] — *ὕσπληξ*] ante Heins., *ὕσπληγξ* vulg., om. Gen.[b] 15) *κάγκελλον*] p. 3., *κάγκελον* vulg. 18) //*Lips. omissis *ἀπὸ κοινοῦ φ. κ.* 20) *φοβερὸν* ante *παρθ.* om. *M. Lips. 21) *τρυφεροῦ* Lips. 21) //*Lips. *ἔρωτα ἔσχον — σὺ γυν. ἐρ.* 24) //*Lips. *ἐπιρρηματικῶς ἀντὶ τοῦ κατὰ ἀμοιβὴν — ἦσαν τὸ κοινῶς ἑτρ. — τὴν ἐσχάτην — προηγ. ἤδεν.*

κατὰ ἀμοιβὴν — ἐπιρρηματικῶς γὰρ εἴρηται τὸ δι' *ἀμοιβαίων* — οἱ παῖδες (ἦσαν, τὸ κοινῶς Lips.) ἐτραγῳδησαν. τὴν ἐσχάτην δὲ ᾠδὴν προηγούμενος ᾖδεν ὁ Μενάλκας.

Vs. 63.

Rec. *Φείδευ τῶν ἐρίφων*: ἐγκρατῶς ἔχε, ἄπεχε λύκε τῶν ἐρίφων μου, ἄπεχε τῶν τοκάδων, ἤγουν (τῶν αἰγῶν, M.) τῶν μητέρων αὐτῶν.

Vs. 65.

Vet. *Ὦ Λάμπουρε κύων*: ὄνομα κυνὸς ἀπὸ τοῦ λαμπρὰν ἔχειν τὴν οὐράν, ἤγουν πυρράν. ἢ ὁ ἐπιμελῶς φυλάσσων ἀπὸ τοῦ λάμπειν καὶ τοῦ ὠρεῖν, ὅ ἐστι φυλάσσειν. ἢ παρὰ τὸ λάμπουρις ἴσως εἶναι, ἐπειδὴ κύνες εἰσὶν ἀλώπηξιν ὅμοιοι· λάμπουρις γὰρ ἡ ἀλώπηξ.

Rec. *Οὕτω βαθὺς ὕπνος*: τοῦτο ἀπὸ μεταφορᾶς τῆς βαθείας ὕλης, ἤτοι δασείας.

Vs. 66.

Rec. *Οὐ χρὴ κοιμᾶσθαι βαθέως*: σὲ δηλονότι.

Vet. (*Οὐ χρὴ κοιμᾶσθαι βαρέως*: Gen.[b]) τοῦτο ἀπὸ τοῦ Ὁμήρου ὁ Θεόκριτος ἔσχε. φησὶ γὰρ ἐν τῷ β' τῆς Ἰλιάδος·

οὐ χρὴ παννύχιον εὕδειν βουληφόρον ἄνδρα.

— *Σὺν παισὶ νέμοντα*: οἱ γὰρ παῖδες εἰώθασι μὴ προσήκουσαν τῶν ποιμνίων ἐπιμέλειαν ποιεῖσθαι, ἀλλ' ἀμελεῖν, ἢ ῥαθυμοῦντες ἢ παιγνίοις ἀσχολούμενοι. [οἱ δὲ ἔνηβοι κρείττονα τὴν ἐπιμέλειαν ποιοῦσιν,] ὥστε καὶ τοῖς κυσὶ κοιμωμένοις οὐ φροντὶς αὐτοῦ.

64) [*Πολλαῖσιν*:] αἰξὶ δηλονότι. M. Lips. — Ἀκολουθῶ. M. Lips.

65) *Λευκὲ τὴν οὐράν.* M. Lips.

66) *Ἤγουν ἐμοὶ παιδὶ ὄντι.* E. N.

---

3) προηγούμενος] Lips., προηγουμένως vulg. 5) //* Lips. 7) αὐτοῦ Lips. 9) //Om. Gen.[a.b.] Lips. 10) ἤγουν] ἢ vulg. 12) λάμπουρις bis] Duebn., λαμπουρὶς vulg. 13) ὁμοῖοι vulg. 14) //Lips. c. lemm. *βαθὺς ὕπνος* sine τοῦτο. 15) ἤγουν τῆς pro ἤτοι Lips. 17) //* Lips. 18) //Gen.[b.] 19) ἔχε Heins. et vulg. ante Reisk. 19) τῷ α' ante Brub., τῷ πρώτῳ Gen.[b.] 20) *Hom. Il. B*, 24. — βουλ. ἄνδρα om. Gen.[b.] 21) //Gen.[b.] c. lemm. *σὺν παιδὶ* post reliqua ad hoc idyllium. 21) προσήκουσαν post ποιεῖσθαι Gen.[b.] 23) Verba οἱ δὲ … ποιοῦσιν interpolata esse vidit Geelius. — ἔνηβοι] 3.[1.] 4.[1.] Reisk. seqq., ἔννηβοι vulg., ἄνηβοι Gen.[b.] 25) αὐτοῦ] Gen.[b.], αὐτοῖς vulg.

Vs. 67. 68.

Rec. *Ἁπαλᾶς κορέσασθαι*: τρυφερᾶς, θαλερᾶς χορτασθῆναι βοτάνης. οὐδαμῶς κοπιάσετε, ἐνεργοῦσαι δηλονότι τὴν ἔκφυσιν αὐτῆς, ὅταν αὕτη πάλιν μόνη φύηται, ἤγουν βλαστάνῃ.

Vet. Ἤ· οὐ μὴ κακοπονηθῆτε νεμόμεναι, ὅταν νέα βοτάνη πάλιν φυῇ.

Vs. 69.

Rec. (Ἀντὶ τοῦ ἄγετε βόσκεσθε, τοὺς μαζοὺς πληρώσατε, γάλακτος δηλονότι. E. I. M. P. *Lips.)

Vs. 72. 73.

Rec. *Κἄμ' ἐκ τῶ ἄντρω σύνοφρυς κόρα*: καὶ ἐμὲ ἐκ τοῦ σπηλαίου κόρη εἰς ταὐτὸ συναπτούσας ἔχουσα τὰς ὀφρῦς.

Vet. Ἤ· (*σύνοφρυς*: Gen.[b]) δασείας (ἔχουσα τὰς ὀφρῦς Gen.[b]) καὶ συγκεκολλημένας, τουτέστιν εὐόμματος ἢ συνετὴ — λέγει δὲ τὴν ἐρασθεῖσαν αὐτῷ Νύμφην.

Rec. Ἐχθὲς ἰδοῦσα τὰς δαμάλας (παρακολουθοῦντα Lips.) ἐλαύνοντα εὔμορφον εἶναι ἔλεγεν. οὐ περισσῶς δοκεῖ χρήσασθαι μετὰ τοῦ συνδέσμου τῷ λόγῳ. θέλει γὰρ δηλοῦν διὰ τούτου, ὅτι καὶ αὐτὸς ἐπέραστός τις ἐστιν, ὥσπερ καὶ ἕτεροι δηλονότι, καὶ οὐ μόνον ἄλλους γυναῖκες ὁρῶσαι ἐπαινοῦσιν, ἀλλὰ καὶ αὐτὸν κόρη τις ἰδοῦσα ἐπῄνεσεν. — *Καλὸν* δὲ τὸν εὐειδῆ λέγει, κάλλος γάρ ἐστι συμμετρία μελῶν καὶ μερῶν μετ' εὐχροίας.

67) Ἀμελεῖτε. M. P. Lips.

68) Λιμώξετε. M. — [*Ὄκκα*:] ὅτε καὶ ἐπεί. M.

70) Ἵνα τὸ μὲν τοῦ γάλακτος οἱ ἄρνες ἔχωσιν εἰς οἰκείαν τροφήν. E. M. N. Lips. — Καλαθίσκους. M. Lips. τὰ κοινῶς τυροβόλια. M.

71) Καλῶς. L. ὀξυφώνως. M. P. Lips. — Ἐπροοιμιάζετο. L. ἤρχετο. E. M. P. Lips.

73) Παρελῶντα, παρακολουθοῦντα. E. M. N. P.

---

2) //*Lips. τρυφερᾶς, θαλερᾶς — βοτάνης, reliqua in marg. 4) αὐτὴ vulg. 6) //Om. Gen.[a.b.] Lips. 12) //*Lips. καὶ ἐμὲ — εἰς ταὐτὸ ... ὀφρῦς. 14) //Gen.[b.] post schol. Vs. 93. 15) συγκεκολημένας ante Brub., συγκολλημένας Gen.[b.] 15) εὐόμματος] 4., εὐόματος Gen.[b.], εὐόφθαλμος vulg. — καὶ συνετὴ p. 16) αὐτῷ] ante Heins., αὐτῶν Gen.[b.], αὐτοῦ vulg. 17) //Lips. s. l. παρακ. ἐλ. — ἤγουν εὔμ. εἶναι ἔλεγεν, reliqua in marg. 20) τις] add. 2. E. Lips. 21) καὶ οὐ] 2. E. Lips., οὐ vulg. 22) //Om. Gen.[a.b.] Lips., κάλλος ἐστὶ σώματος συμμ. μερῶν τε καὶ μελ. μετὰ εὐχρ. Phav. — 27) εἰς οἰκ. τρ. om. Lips.

Vs. 74.

Rec. Οὐ μὰν οὐ δὲ λόγων ἐκρίθην ἄπο: [— γράφεται καὶ λόγον —] οὐ μὴν ἀπεκρίθην αὐτῇ, ἀντὶ τοῦ ἀπεκρινάμην — τὸ ἀπεκρίθην γὰρ τὸ ἐχωρίσθην δηλοῖ — οὐ μόνον λόγον ἡδύν, ἀλλ' οὐδὲ λόγων τὸν πικρόν, ἤγουν τὸν ἐπαχθῆ, τὸν ἀλγεινόν.

Vet. Ἄλλως. Οὐδὲ λόγον αὐτῇ ἀπεκρίθην, οἷον οὐδὲ τὸ τυχόν, [ἢ οὐδὲ λόγον ἀπεκρίθην ἄτοπον, πικρὸν αὐτῇ, τουτέστιν οὐδὲ σκαιὸν λόγον ἀπεκρινάμην αὐτῇ.] οὔτε τῶν πρὸς τὸ λυπηρόν, οὔτε τῶν πρὸς ἡδονήν. (ΤΟ ΠΙΚΡ. ὅπερ, τὸ μὴ ἀποκριθῆναί με, πικρὸν ἦν αὐτῇ. τινὰ δὲ τῶν ἀντιγράφων τὸν πικρὸν ἔχουσιν, ἵνα ᾖ· οὐ μὴν οὐδὲ ἀπεκρίθην αὐτῇ οὐδὲν πικρὸν ὢν λέγεται· εἰς ταύτην γὰρ καλῶς εἰποῦσαν οὐδὲν ἔδει πικρὸν ῥηθῆναι. κρεῖττον ἂν εἴη, εἰ τὸν πικρὸν γράφοιτο· ἀπαιτεῖ γὰρ καὶ τὸ μέτρον. p. 3.)

Vs. 75.

Rec. (Τὴν ἐμὴν ὁδὸν ἐπορευόμην, ἐβάδιζον. I. M. *Lips.)

Vs. 78.

Rec. (Ἡδὺ δέ ἐστιν ἐπὶ τῷ καιρῷ τοῦ θέρους ἐν ἀσκέπῳ τόπῳ καθεύδειν πλησίον ὕδατος ῥέοντος. *6. E. I. M. N. P. Y. *Lips.)

76) Τῆς δαμάλεως. E. M. P. Lips. — Ἡ πνοὴ αὐτῆς. E. M. P. Lips.

77) Ἡδέως δὲ καὶ ὁ μόσχος μυκᾶται. Lips. μυκᾶται, βοᾷ. M. — Ἡδέως δὲ καὶ ἡ βοῦς, μυκᾶται δηλονότι. M. Lips.

78) Κατὰ τὸν καιρὸν τοῦ θέρους. L.

79) Τῇ (μικρᾷ M.) μηλέᾳ τὰ μῆλα κόσμος. M. Lips.

---

2) //Gen.[a] c. lemm. ἐκρίθην et Lips., uterque sine γρ. καὶ λόγον. 3) ἀπεκρινάμην· οὐ μὴν ἀπεκρ. αὐτῇ. τὸ γὰρ ἀπεκρ. Gen.[a] — μὴν] Gen.[a] Lips. et ante Heins., μὲν vulg. 4) ἐχωριάσθην 2. 5) λέγει pro λόγον Gen.[a] — οὐ μόνον ... ἀπεχθῆ etiam *6. 5) λόγων] Gen.[a] Lips. et ante Ox. II, λόγον vulg., λειον *6. 6) ἐπαχθῆ] E. Lips. et sine τὸν Gen.[a], ἀπ' ἀχθῆ 2., ἀπεχθῆ *6. vulg. 7) //Om. Gen.[a.b.] Lips. 8) Haec non suo loco interjecta esse, quum verba οὔτε τῶν seqq. cum τὸ τυχὸν jungenda sint, Duebnerus intellexit. 10) λυπηρὸν] Piccolos, λιπαρὸν vulg. 10) ΤΟ om. Wart. 12) τὸ πικρὸν Wart. 13) ὢν] ὡς vulg. 14) εἰ] Kiessl. Gaisf., om. Wart. 17) ἐβάδιζον om. Lips. — 25) ἡδ. καὶ ἡ βοῦς M. 25) δηλονότι om. Lips.

Vs. 81.

Rec. (Ὃν αὐτοὶ κριτὴν αὐτῶν ἐπέστησαν, οὕτως ἠγόρευεν. E. I. M. N. P. Y. *Lips.)

Vs. 84.

Vet. Λάσδεο τὰς σύριγγας: ἆθλον δὲ αὐτοῖς ἡ σύριγξ ἔκειτο, ἣν ἐπιδίδωσιν ὁ κριτὴς τῷ Δάφνιδι ὡς νικήσαντι.

Vs. 85. 86.

Rec. Αἰ δέ τι λῇς με: εἰ δὲ θέλεις καὶ ἐμὲ αὐτὸν διδάξαι τι ἅμα σοὶ τὰς αἶγας βόσκοντα, δώσω σοι τὰ δίδακτρα, ἤγουν τὸν μισθὸν τὸν ἕνεκα τῆς διδασκαλίας, ἐκείνην τὴν αἶγα τὴν μιτύλαν.

Vet. Μιτύλαν αἶγά φησι τὴν ἄκερων.

Vs. 87.

Rec. Ὑπὲρ κεφαλᾶς δὲ ἀντὶ τοῦ ἐπέκεινα τῶν χειλέων.

Vet. Ἢ ἕως τῆς κεφαλῆς πληροῖ τὸν ἀμολγέα. ἀμολγεὺς δὲ ἀγγεῖον δεκτικὸν γάλακτος. — (Ἀεί: ἤγουν ὑπὲρ τὰ χείλη τοῦ ἀμολγέως πλήρη τὸν ἀμολγέα ποιεῖ. Gen.[b])

82) [Τοι:] σου. a. 6. 8. σοι (ου above). Lips. — Ἐπιθυμητή, ἐπέραστος ἡ φωνή σου. E. M. P. Lips.

84) Λάζου, ἤγουν λάμβανε. E. F. M. Lips.

86) [Μιτύλαν:] τὴν μὴ ἔχουσαν κέρατα, τὴν νεαράν. L. τὴν ἐκ Μιτυλήνης. M. ὄνομα αἰγός. E. — Διδάγματα. L. μισθοὺς τῆς διδασκαλίας. M.

87) Τὸ κισσύβιον, εἰς ὃ ἀμέλγουσι. τὸ σκάφος. P. — Πλῆρες ποιεῖ. P. γεμίζει. M.

---

2) ἑαυτοῖς E. N. 5) //Om. Gen.[a.b.] Lips. 5) καὶ pro δὲ Reisk. seqq. 6) ἔκειτο] ἐπέκειτο vulg., ἀπέκειτο Reisk. seqq. 9) //*Lips. 10) σοὶ] Lips., σοι vulg. 10) δίδρακτα Lips. 13) //Gen.[b] Phav. — λέγουσιν αἶγα Phav., τὴν μὴ ἔχουσαν κέρατα pro ἄκερων Gen.[b] Phav. 15) //*Lips. ἤγουν ἐπεκ. τ. χειλ. 17) //Om. Gen.[a.b.] Lips. 17) ἀμολγὲς ante Heins. 19) πλήρη] Duebn., πληροῖ cod. — 20) ἐπιθ. om. Lips.

Vs. 88. 89.

Vet. *῞Ως μὲν ὁ παῖς*: οὕτως ὁ παῖς, ὁ *Δάφνις*, ἡσθεὶς ἐπὶ τῇ νίκῃ ἥλατο, ἤγουν ἐπήδησεν.

Vs. 90. 91.

Vet. *῞Ως δὲ κατεσμύχθη*: (οἷον Gen.[b]) κατεσβέσθη καὶ ἐν αὐτῷ κατεκάη καὶ ἐλυπήθη. (*Καὶ ἀνετράπετο φρένα*: οἷον ἐξελύθη ὑπὸ τῆς λύπης. p. Gen.[b])

Rec. (*᾿Ανετράπετο*: παρετράπη, κατέπεσεν,) ἐταπεινώθη (κατὰ) τὸν λογισμὸν (ὑπὸ τῆς λύπης), ὥσπερ ἂν γυνὴ παρθένος ἄρτι πρῶτον εἰς γάμον ἐλθοῦσα λυποῖτο.

Vet. *Καὶ νύμφα γαμηθεῖσ᾿ ἀκάχοιτο*: οὕτως ἐλυπεῖτο ὁ Μενάλκας, καθὰ καὶ νύμφη ἡ ἄρτι πρῶτον γαμηθεῖσα ἀκάχοιτο. λυποῦνται γὰρ αἱ τοιαῦται διὰ τὸ κατὰ τὸν καιρὸν ἐκεῖνον πόνῳ τιτρώσκεσθαι.

Vs. 93.

Rec. (*ΚΑΙ ΝΥΜΦΑΝ ΑΚΡΗΒΟΣ*: καὶ Νύμφην, ἤγουν τὴν Ξενέαν *ἄκρηβος*, ἐν ἀρχῇ τῆς ἥβης, τῆς ἀκμῆς ὤν, ἤδη τῆς ἄκρας ἥβης ἁπτόμενος, ἀρχὴν ἔχων ἡλικίας, ἤτοι νέος, *Ναΐδα*, τὴν ἐν ταῖς λίμναις Νηρηΐδα, *γᾶμεν*, ἔγημεν, εἰς γυναῖκα ἔλαβεν. E. I. L. M. N. P. Y.)

88) *Τάττεται δὲ ἐναλλάξ, πρότερον τὸ ὡς νεβρὸς ἅλλεται ἐπὶ τὴν μητέρα, ⟨εἶτα τὸ⟩ οὕτω καὶ ὁ παῖς ἐχάρη.* *L. — [*῞Ως*:] *οὕτως*. Lips. — *῾Ο Δάφνις*. Lips. — *᾿Ανεπήδησε*. E. M. Lips. — *῞Ηχησεν, ἐκρότησε τὰς χεῖρας*. M. *ἐκρότησε*. Lips. *τὸ διὰ τῶν χειρῶν κτυπῆσαι*. L.

89) [*Οὕτως*:] *ἀντὶ τοῦ ὥσπερ ἄν*. M. N. P. Lips. — *Νεογνὸν ἐλάφου*. E. M. N. P. Lips.

90) [*῞Ως*:] *ὥσπερ*. M. [*῞Ως*:] *οὕτως*. P. Lips. — *Κατεκάη*. Lips. — *Κατεκλονεῖτο*. P.

92) *᾿Εκ ταύτης τῆς αἰτίας*. E. I. P. Lips.

---

2) //Om. Gen.[a.b.] Lips. 5) //Gen.[b.] sine ὡς δέ. 6) αὐτῷ Gen.[b.] et vulg. ante Reisk. 6) ἐκάη Gen.[b.] 6) τὸ δὲ ἀνετρ. ἀντὶ τοῦ pro lemmate p. 7) ἀπὸ Gen.[b.] 8) //*E. *M. Gen.[a.] *Lips., ex quibus supplementa manaverunt. — παρετράπη om. *Lips. 9) ὑπὸ om. Gen.[a.], τῆς om. Lips. 9) ὥσπερ seqq. om. *E. *M. Gen.[a.] 10) παρθένος om. Lips. 11) //Gen.[b.] sine οὕτως... ἀκάχ. — καὶ νύμφα γαμηθεῖσ᾿ ἀκάχοιτο] Gen.[b.], καὶ νύμφαν ἄκρηβος Call. 14) πόνῳ add. 4. (Gen.[b.]), om. ante Wart. 16) Vix recte haec codici L. tribuuntur. Voces ἄκρηβος, Ναΐδα, γᾶμεν apud Gailium majusculis utuntur tanquam lemmata. Lips. eorum nihil habet nisi s. l. ἐν ἀρχῇ τῆς ἀκμῆς ὢν et εἰς γυναῖκα ἔλαβεν.

Vet. (Νύμφην τὴν Ξενέαν λέγει. ἄκρηβος δὲ ὁ ἀρχὴν ἔχων τῆς ἡλικίας. 3.) — Ναΐδα γᾶμαι: ἱστοροῦσι γὰρ αὐτὸν ἀγαπηθῆναι ὑπό τινος Νύμφης, ἣν Σωσίθεος Θάλειαν καλεῖ. παρακελευσαμένης δὲ αὐτῆς ἄλλῃ γυναικὶ μὴ ὁμιλεῖν μὴ τηρῆσαι τὴν παραίνεσιν [αὐτῆς]. ὅθεν ὁ μὲν Θεόκριτός φησι τὴν Νύμφην ἀποστῆναι αὐτοῦ, αὐτὸν δὲ ἀντιμεταβαλόντα τὸν ἐκείνης ἔρωτα ὑπὸ λύπης μεταλλάξαι τὸν βίον. ἐκτὸς εἰ μὴ αὐτὸν μέν φησιν ἀπείπασθαι αὐτήν, ἄλλης δὲ ἐρασθῆναι·

ὥς ποκα τὰς Ξενέας ἠράσσατο Δάφνις.

οἱ δὲ λοιποί φασιν αὐτὸν τυφλωθέντα καὶ ἀλώμενον κατακρημνισθῆναι.

Idyll. IX.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Βουκολιασταὶ Δάφνις καὶ Μενάλκας. προλογίζει νομεύς τις ὁ καὶ κριτής. — (Θεοκρίτου Βουκολιασταί, Δάφνις καὶ Μενάλκας. Δωρίδι. δραματικόν. M.)

(Τοῦ αὐτοῦ Τρικλινίου. M. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων συνίσταται δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων λς', ὧν τελευταῖος· γαθεῦσιν, τῶς δ' οὔ τι ποτῷ δαλήσατο Κίρκα. M. Gen.[a])

Vs. 1—3.

Rec. Βουκολιάσδεο Δάφνι, τὺ δ' ᾠδᾶς ἄρχεο πρᾶτος, ᾠδᾶς ἄρχεο πρᾶτος, ἐφαψάσθω δὲ Μενάλκας μόσχως βωσὶν ὑφέντες, ἐπὶ στείραισι δὲ ταύρως: τὸ σχῆμα ἐπαναφορά. γίνεται δὲ ἡ ἐπαναφορὰ ἢ κατὰ

93) Ἐν ἀρχῇ τῆς ἀκμῆς. 6.

---

1) Ξενέαν] Wart., ξενίαν Gaisf. 2) τὴν ἡλικίαν cod. 2) //Gen.[b.] c. lemm. ἄκρηβος ἐών. 3) ἢ pro ἣν Gen.[b.] 4) αὐτῆς] Can., αὐτοῦ Gen.[b], αὐτῷ vulg., ταύτης δὲ παρ. ἀ. γ. ὁμιλῆσαι μὴ ποιῆσαι τὴν παραίνεσιν p. 5) αὐτῆς om. p. ut videtur, αὐτοῦ Gen.[b.] 6) ἀντιμεταβάλλοντα Gen.[b.] et vulg. ante Reisk. 8) ἀπείσασθαι αὐτὸν Gen.[b.], ἀποσπᾶσθαι αὐτῆς p. 10) *Idyll. VII*, 73. — ὥς πόκα vulg. — ξένας Gen.[b.], ξενίης p. 11) τυφλωθέντα] p. 4. Gen.[b.], τυφλωθῆναι vulg. 11) κατακρημνησθῆναι ante Heins. 15) προλογίζει seqq. etiam I. L. P. 20) δαλ. Κίρκα om. Gen.[a.] 23) //Om. Gen.[a.b.]

κῶλον ἢ κατὰ λέξιν. καὶ κατὰ κῶλον μὲν ἐνταῦθα, ὡς καὶ Ὅμηρος·

τοῦ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.

λέγει δέ· ὦ Δάφνι, βουκολικῶς ᾆδε. σὺ γὰρ πρῶτος ἀρχὴν ποίει, ὁ δὲ Μενάλκας ἐπακολουθησάτω.

Vet. Βουκολιάζεο: τουτέστι βουκολικὴν φωνὴν λέγε. τὸ δὲ ἑξῆς· βουκολιάζεο Δάφνι, συναψάσθω δὲ [ἢ ἐφεψάσθω] Μενάλκας. ἰστέον ὅτι ἢ τὸν αὐτὸν ὃν προεῖπε Μενάλκαν πάλιν φησί — τότε γὰρ ἴσως ἔνεμε μῆλα, νῦν δὲ βόας — ἢ ἕτερον Μενάλκαν βουκόλον. — (Βουσὶν θηλυκῶς. 4. M.) — Ὑπὸ στείραισιν: ἡ ὑπὸ ἀντὶ τῆς ἐπί, ἵν' ᾖ· ἐπὶ στείραισι τοὺς ταύρους ἀφέντες, ἵνα τέκωσιν, ὥς τινες. στείρας δὲ εἶπε τὰς οὔπω τετοκυίας. — Στεῖραι καλοῦνται αἱ εἰς ἅπαν ἄτοκοι (τῶν βοῶν M. Gen.[a]), ἢ διὰ τὸ στερεὸν εἶναι τὸ σῶμα (αὐτῶν M. Gen.[a]) ὡσανεὶ ὑπὸ τόκων μὴ ἐκλυόμενον, ἢ παρὰ τὸ ἐστερῆσθαι γόνου.

2) Ὁ δὲ Μενάλκας ἀποκρινέσθω ἐξ ἀμοιβῆς. I. L. N. P. ἐπὶ σοὶ ἀψάσθω τῆς ᾠδῆς. M. ἀκολουθείτω. C.

3) Σύλληψις τὸ σχῆμα. N. — Ὑποβαλόντες. C. ὑποβάλλοντες. P. — [Ὑπό:] ἐπί. 9. — Ταῖς μήπω γεννησάσαις βουσί. M. — [Ταύρως:] τὰ ἐνιαυσιαῖα μοσχάρια. M.

4) [Χοἰ μέν:] οἱ μόσχοι καὶ οἱ ταῦροι. P. — Ὁμοῦ. C. — Τὸ εὐκτικὸν ἀντὶ τοῦ προστακτικοῦ. L. P. — Πλανηθήτωσαν. C. πλανάσθωσαν, ἀναστρεφέσθωσαν. N.

---

3) *Hom. Il. Τ*, 371. 5) γὰρ] ante Brub., μὲν vulg. 7) //Gen.[b] — Scholion vulgo omissum in Call. hypothesi adhaeret. Altera pars ἰστέον seqq. etiam vulgo in extrema hypothesi legitur (om. M. teste Gailio), in Gen.[a] post Triclinii scholium metricum, ibidem ut videtur in M., unde varia lectio affertur. — βουκολιάζεο] Gen.[b], βουκολιάσδεο δὲ Call. — ᾠδὴν conj. Adertus. 8) τὸ δὲ seqq. in Gen.[b] ante praecedentia leguntur in hunc modum disjecta: βουκ. Δ. συν. δὲ Μ. τὸ δέ, omisso ἑξῆς. 8) βουκολιάζεο] Gen.[b], βουκολιάσδεο Call. 8) συναψάσθω] συναρξάσθω Gen.[b] Call. — ἢ ἐφ. om. Gen.[b] 9) ἰστέον] Gen.[a.b.] Call., ἰστέον δὲ vulg. in Hypoth. post Valck. 9) προείπομεν Gen.[a] 10) πάλιν om. M. Gen.[a], καὶ πάλιν v. N. in Hypoth. 11) Μενάλκα Gen.[a] 12) //Gen.[b] c. lemm. ὑπὸ στ. ὑφέντες. 12) ἵν' ᾖ· ἐπί, tum ἵνα τέκ. ὥς τινες et δὲ εἶπε om. Gen.[b] 14) Gen.[a.b.] — στεῖραι ... ἄτοκοι] M. Gen.[a], αἱ γὰρ εἰς ἅ. ἄ. στ. καλοῦνται vulg., ubi haec praecedenti scholio adhaerent. 15) ἢ] M. Gen.[a], εἶτα Gen.[b], om. vulg. 15) στερεὸν] 3. (Gen.[a.b.]) et Reisk. seqq., στερρὸν 4., στεραιὸν vulg. 16) ὡς μὴ ὑπὸ τῶν τόκων δηλονότι ἐκλ. M. Gen.[a] 16) ἐκλυόμενον] 3. M. (Gen.[a.b.]) Kiessl., ut conj. Toupius, ἐκλυομένων vulg. 17) ἐστερεῖσθαι vulg. ante Reisk.

Rec. (*Βῶσι ὑφέντες*: ὑπ' ἐκείνας ἀπολύσαντες ὥστε ἀμέλξαι αὐτάς. *M. Gen.[a])

Vs. 5. 6.

Vet. *Μηδὲν ἀτιμαγελεῦντες*: [ἄτιμα καὶ ἄτακτα ποιοῦντες. ἢ] μηδαμῶς καταλιπόντες τὴν ἀγέλην. τοὺς γὰρ καταλιπόντας τὸ κοινὸν τῆς ἀγέλης [καὶ] καθ' ἑαυτοὺς νεμομένους οὕτω καλοῦσιν. — (⟨*Ἔμποθεν*:⟩ ἔνιοι δὲ ἀντὶ τοῦ ποθὲν ἐξελάβοντο τὴν λέξιν ταύτην, ἢ ἓν πρὸς ἓν ᾠδάριον, τουτέστιν ἀμοιβαδίς. Gregor. 77.)

Rec. Ἔστι δὲ Δωρικῆς διαλέκτου· ἀτιμαγελέοντες γὰρ ἦν, καὶ κατὰ κρᾶσιν τοῦ ε καὶ ο Δωρικῶς εἰς τὴν ευ δίφθογγον ἀτιμαγελεῦντες. — (*Ἀγελεῦντες* ἀντὶ τοῦ ἀγελευόμενοι Ἀττικῶς, ἵν' ᾖ τὸ ἐνεργητικὸν ἀντὶ τοῦ παθητικοῦ. N.)

Vs. 7. 8.

Rec. *Ἁδὺ μὲν χ' ὠ μόσχος*: ἡδὺ καὶ ὁ μόσχος καὶ ἡ βοῦς καὶ ἡ σύριγξ καὶ ὁ βουκόλος βοῶσι· καὶ ἐγὼ ἡδύ, μελουργῶ δηλονότι.

Vs. 9—11.

Rec. *Ἐντὶ δέ μοι παρ' ὕδωρ*: ἔστι δέ μοι πλησίον τοῦ ψυχροῦ ὕδατος — ἡ γὰρ παρὰ ἐνταῦθα πλησιότητα σημαίνει — κοίτη ἐστιβασμένη ἀπὸ βοτανῶν. ἐν αὐτῇ δέ, τῇ κοίτῃ δηλονότι, νένασται, ἤγουν ὑπέστρωται, σεσώρευται, δέρματα καλὰ δαμαλῶν λευκῶν — ἀπὸ τοῦ νάζω ἢ νῶ τὸ σωρεύω — ἅστινας, τὰς δαμάλας δηλονότι, τρωγούσας κόμαρον ὁ Λὶψ

5) *Ἀτιμαγελεῦντες*: καταφρονοῦντες τῆς ἀγέλης αὐτῶν. *I. *L. *P. ἄτιμα πράττοντες, ἀτακτοῦντες. C. [*ἄτιμα γελεῦντες*:] μυκώμενοι, χαίροντες. M.

6) [*Ἔμποθεν*:] ἔμπροσθεν. M. [*ἓν ποθ' ἕν*:] ἔμπροσθεν. ἢ ἓν πρὸς ἕν. P. — [*Ἄλλωθεν*:] αὖθις, ἀπὸ ἄλλης ἀρχῆς. L. P. ἀπὸ ἄλλου μέρους. M. — [*Ποτικρίνοιτο*:] προσαποκρίνοιτο. M. συνερίζοιτο. L.

9) *Σεσώρευται.* νῶ νήσω τὸ συνάγω, ὅθεν καὶ νηδὺς ἡ γαστήρ. C.

---

1) ἐκείναις et ἀμέλξαις Gen.[a] 4) //Gen.[b] c. lemm. *μηδὲν ἄτιμα*, ubi desunt ἄτιμα ... ἤ. Phav. sic: *ἀτιμαγελεῦντες*: μὴ ἄτιμα ποιοῦντες τῆς ἀγέλης, μὴ καταλείποντες seqq. 5) καταλείπ. bis Phav. 6) καὶ om. Gen.[b] 10) //Om. Gen.[a b] 15) //Om. Gen.[a b] 19) //Om. Gen.[a b] 23) δαμάλων vulg. ante Kiessl., fort. δαμάλεων. 23) νάζω] Phav. in priore glossa *νένασται*, νάχω vulg., νάω Reisk. seqq. — ἢ τοῦ νῶ Phav. — 26) πράττωσαν cod. 32) νηδὺς] Adert., νησὶς cod.

ἄνεμος ἀπέρριψεν ἀπὸ τῆς σκοπιᾶς, ἀπὸ τοῦ ὑψηλοῦ τόπου. Σκοπιὰ γὰρ ὁ ὑψηλὸς τόπος, ἐφ' οὗ ἔστι τινὰ ἱστάμενον τὰ κύκλῳ περισκέπτεσθαι.

Vet. (Νένασται: σεσώρευται ἀπὸ τοῦ νάω νῶ τὸ σωρεύω. Gen.[a] Phav. τινάς φησι τῶν βοῶν αὐτοῦ κατακρημνισθῆναι ἀπὸ τῆς κορυφῆς τοῦ ὄρους ὑπὸ τοῦ ἀνέμου Λιβός, ὧν τὰ δέρματα ὥσπερ στρωμνὴν εἶχεν. M. Gen.[a]) — (Τῶν βοῶν φησιν αὐτοῦ τινὰς κατακρημνισθῆναι ὑπὸ τοῦ Λιβός. ἡ δὲ σύνταξις· ἀπὸ ἄκρας σκοπιᾶς. 3.)

Vs. 12.

Rec. (Φρυγανίζω τὸ τὰ φρύγανα συνάγω. 2.) — (Δημητρίου τοῦ Τρικλινίου. M. ἐπειδὴ τὰς δαμάλεις ἐν χειμῶνι ἀπώλεσεν, διὰ τοῦτο τοῦ θέρους φροντίζειν λέγει ὡς μὴ λυμαινομένου αὐτάς. M. Gen.[a])

Vs. 13.

Rec. Καὶ ματρὸς ἀκούειν: λείπει τὸ παῖδες.

Vs. 14.

Rec. (Ὁ ποιμὴν ἢ ὁ Θεόκριτος. μᾶλλον δὲ ὁ ποιμήν· οὐδὲ γὰρ φανερὸν τὸ πρόσωπον τοῦ ποιητοῦ ἐνταῦθα. 2.)

Vs. 15—17.

Vet. Αἴτνα μᾶτερ (ἐμά Gen.[b]): τὴν Αἴτνην φησὶ μητέρα ὁ Μενάλκας, καθόσον ἐν αὐτῇ διέτριβεν, ὡς καὶ Ὅμηρος τὴν Ἴδην μητέρα θηρῶν (φησί Gen.[b]).

Rec. Ἡ ὦ Αἴτνη ἡ θρέψασά με — τοῦτο γὰρ <θέλει τὸ

11) Κατέβαλεν. M. ἔρριψε. C. ἀπέρριψε. P.

12) Φλέγοντος. L. N. καίοντος, θερμαίνοντος. C. M. N. — Φροντίζω. L. M. φροντίδα ἔχω, τοῦ καύσωνος δηλονότι. N.

14) [Οὕτω:] ὡς ἔφην. M. — [Οὕτω δέ:] ὡς μέλλω λέξειν. M. — Ἀπόθεσις τὸ σχῆμα. N. προκατάστασις. P.

15) Ἐν Σικελίᾳ γὰρ τὰ πράγματα. L. P. — Ἤγουν ἐξ ἧς ἐγεννήθην. M.

---

5) τινὲς φασὶ Gen.[a] 8) ὑπὸ] Gaisfordius, ἀπὸ cod. 11) συνάγω] Kiessl., τυγχάνω cod. 12) δαμάλας M. 13) φροντίζει M. 16) //Om. Gen.[a.b.] 18) Male Wart. seqq. praefixerunt lemma *MEN*. 21) //Gen.[b.] sine μητέρα. — Αἴτναν vulg. 22) καὶ om. Gen.[b.] — *Hom. Il.* Θ, 47. 24) //Om. Gen.[a.b.] 24) τοῦτο] ταύτην vulg.

μᾶτερ ἐμά, ὡς καὶ Σοφοκλῆς τὸν Κιθαιρῶνα Οἰδίπου⟩ *καὶ τροφὸν καὶ μητέρα* καλεῖ — καὶ ἐγὼ λαμπρὰν οἰκίαν κατοικῶ — ἔστι γὰρ αὕτη σπήλαιον — ἐν κοίλαις πέτραις.

Vet. *Ἔχω δέ τοι ὅσσ' ἐν ὀνείρῳ*: ἀπὸ τῆς παροιμίας· *** — *Ὅσσ' ἐν ὀνείρῳ φέρειν*: ὡσεὶ ἔλεγε περιουσίαν ἄφθονον· τοιαῦται γὰρ αἱ ὀνειρωκτικαὶ φαντασίαι. καὶ παρ' Ὁμήρῳ·

οὐδ' εἴ μοι τόσα δοίη, ὅσα ψεύδονται ὄνειροι.

Rec. Ἤ· ἔχω τόσα, ὅσα οἱ ὄνειροι πλάττουσι. τοῦτο δέ φησι διὰ τὸ πολύ. τῶν γὰρ ὀνείρων ἡ φαντασία δαψιλής. — (Εὐδαιμονοῦσι γὰρ οἱ ἄνθρωποι ὡς ἐπὶ πολὺ τοῖς ὀνείροις φανταζόμενοι πλούτου βάθος καὶ δόξης μέγεθος δοκοῦντες ἔχειν. 2.)

Vs. 19—21.

Vet. *Ἐν πυρὶ δρυίνῳ χωρία ξεῖ*: δρύϊνον πῦρ τὸ ἀπὸ δρυὸς γινόμενον. χόρια δὲ τὰ κυττάρια, ἐν οἷς εἰσὶ τὰ ἔμβρυα. ἐκ τούτου δὲ παριστᾷ τὰ πρὸς τροφὴν ἄφθονα. — Ἄλλως. (*Ἐν πυρὶ δὲ δρυΐνῳ χόρια*: Gen.[b.]) ἀντὶ τοῦ ἐν τοῖς ἄνθραξι τοῖς ἀπὸ δρυός. χόρια δὲ τὰ τῶν ἐμβρύων ἀγγεῖα. εἰώθασι γὰρ ἐν ⟨τούτοις⟩ γάλα πήσσοντες καὶ ξηραίνοντες ὀπτᾶν, εἶτα ἐσθίουσι ταῦτα, ἃ καὶ χόρια προσαγορεύουσι. Κρατῖνος·

στέφει γένυς
χόριά τ' ἐμβρύων τε πλήθη.

16) *Ὅσσ' ἐν ὀνείρῳ*: ἤγουν εὐτυχής εἰμι· εὐδαιμονοῦσι γὰρ ἐπὶ πολὺ τοῖς ὀνείροις οἱ ἄνθρωποι. *L. *N. *P. ἤγουν πολλά. M.

18) Δέρματα. L. M.

19) Ἐκ δρυΐνων ξύλων γεγονότι. M. — Ἔντερα βράζει. M.

---

1) *Soph. Oed. r.* 1092. 3) Vulgo junguntur σπήλαιον ἐν κ. π., quod mutavi. 4) //Om. M. Gen.[a.b.] 5) //Gen.[a.b.] sine *φέρειν*, quod ex *φαίνονται* corruptum. — ὡσανεὶ M. Gen.[a.] 6) ὀνειρωκτικαὶ] Lud. Dindorfius in Thesauro, ὀνειρωτικαὶ vulg., ἐν ὀνείροις M. Gen.[a.] 7) παρ' Ὁμήρῳ] M. Gen.[a.b.], Ὅμηρος vulg. 8) *Hom. Il. I*, 385, ubi potius ὅσα ψάμαθός τε κόνις τε. — τόσσα et ὅσσα ante Brub. 9) //Om. Gen.[a.b.] 15) //Om. Gen.[a.b.] 16) κυττάρια] vulg., κυτάρια ante Heins. et Reisk. seqq. 18) //Gen.[b.] omissis ἀντὶ ... ἀγγεῖα. 20) ἐν ⟨τούτοις⟩ γάλα πήσσοντες] ἐν γῇ καταπλάσσοντες 4. Gen.[b.], ἔγκατα πλήσσοντες vulg., ἔγκατα πλήσαντες Reisk. seqq. 21) ἐσθίουσι] 3. 4. Gen.[b.], ἐσθίειν vulg. 22) *Cratin. fr.* 158. — Κρατῖνος· στέφει] κρατὶ νεοτρόφοιο vulg., (κρατὶ) νεοστέφει 3., (κρατὶ) νεοστέφοι 4., κρατίνεοστέροι Gen.[b.], Κρατῖνος ἀρνὸς εὐτρόφου Toupius, Κρατῖνος Τροφωνίῳ Hemsterhusius et Geelius. — γένυς] γέννας 3. 4. Gen.[b.] Call., γένας Bas. II. vulg., κρέας Toup.

ἔμβρυον γὰρ ἀπὸ τοῦ ἐν ἑαυτῷ τὴν βορὰν ἔχειν, ἢ ἀπὸ τοῦ ἐμβρύειν καὶ αὔξεσθαι. χόρια δὲ καλοῦσι τοὺς ὑμένας, οὓς πληροῦσι τοῦ ἀμελχθέντος γάλακτος, ἐσθίουσι δὲ θέντες ὑπὸ τὸ πῦρ. — Ἡ χόρια αἱ ἀπὸ τῶν ἐντέρων πλεκόμεναι χορδαί. — Αὖαι φαγοί: φηγοὶ [οἱ βάλανοι] (εἶδος δρυός. 3. 4. Gen.[b]) εἴρηται δέ, ὅτι πρὸ τῶν Δημητριακῶν καρπῶν τοὺς βαλάνους ἤσθιον, ἢ πηγούς τινας παρὰ τὸ εὐπαγεῖς αὐτοὺς εἶναι. εἰσὶ δὲ δρυὸς γένη πέντε· φηγός, ἡμερίς, ἐτυμόδρυς, ἁλίφλοιος, καὶ αἰγίλωψ.

Rec. (Τρικλινίου. M. τὰ τῶν προβάτων καὶ ἀρνῶν ἔντερα νῦν χόρια λέγει, ἃ πλέκοντες ἄνθρωποι καὶ ἐν χύτροις ἕψοντες ἐσθίουσι. M. Gen.[a] — Τοῦ αὐτοῦ Τρικλινίου. M. Ἐν πυρὶ δ' αὖαι: πεφρυγμέναι ἐπιτήδειοι ἐσθίεσθαι. φρύσσοντες γὰρ τὰς βαλάνους καὶ ἀλήθοντες ἄρτους κατεσκεύαζον πρὸ τοῦ εὑρεθῆναι τὸν σῖτον. καὶ Λιβάνιος· νῦν οὖν ἐπειδὴ τῆς δρυὸς ἀφέμενος ἔχῃ τῶν πυρῶν, οὕτω γὰρ καὶ αὐτὸς ἀπεικάζεις, ἕψομαι. M. Gen.[a]) — Ἡ νωδὸς καρύων ἀμύλοιο παρόντος: νωδὸς ὁ ἐστερημένος ὀδόντων. λέγεται δέ· καὶ τὸ βρέφος ἐστερημένον ὀδόντων· οὐ μὴν δὲ καὶ νωδόν φαμεν αὐτό, ἀλλ' ἐκεῖνόν φαμεν νωδὸν τὸν ὀδόντας κτησάμενον, εἶτα ἀσθενείᾳ τινὶ ἢ γήρᾳ ἀποβεβληκότα. ⟨κακῶς·⟩ τὸ γὰρ βρέφος μὴ κτησάμενον ὀδόντας πῶς ἐστέρηται.

Vet. Ἄμυλον δὲ λέγεται τὸ κοινῶς λεγόμενον κατάστατόν, ὅπερ ἐστὶ τὸ γαλακτῶδες τοῦ σίτου βεβρεγμένου καὶ σεσησμένου καὶ ἀποπεπιεσμένου, εἶτα τῷ ἡλίῳ ξηραινόμενον. ὁ δὲ νοῦς τοιοῦτος· τουτέστι, τοσοῦτον φροντίζω

20) Χειμάζοντος. M. χειμῶνος ἱσταμένου. N. — [Οὐδ' ὅσον:] τοσοῦτον. M. οὐδόλως. C. οὐδὲ τὴν τυχοῦσαν φροντίδα. N.

---

1) αὐτῷ Gen.[b] 2) αὐξάνεσθαι 4. Gen.[b] 2) ὑμέας Gen.[b] 3) ὑπὲρ 3. 4) τὸ om. Gen.[b] 4) //Om. Gen.[a.b] 5) //Gen.[b] sine lemmate. 5) οἱ βάλανοι om. Gen.[b] 7) ἢ] Gen.[b], ἤγουν vulg. 8) Phav. post gl. δρυπεπής sic: δρυὸς γένη εἰσὶ πέντε, φ. κιμερὶς ἐτ. ἄμυλος ἄλυφλος. 8) ἡμερὶς] Kiesslingius, κιμερὶς vulg., κιμέριος Gen.[b] Vulc. 9) ἁλίφλοιος] Koehlerus, ἄλυφλος vulg., ἄλιφλος Gen.[b] Vulc., ἄλιφος 3. 9) αἰγίλωψ] ἄμυλος vulg. 10) χόρια τὰ M.[2] 11) χορία M.[3] Gen.[a] — λέγεται M.[2] 11) χύτραις Gen.[a] 13) ἐν πυρὶ δ', tum ἐπιτ. ἐσθ. om. Gen.[a] 14) τοὺς βαλ. Gen.[a] 17) //Om. Gen.[a.b], habet Phav. usque ad ἀποβεβληκότα. 19) Distinctio post λέγ. δὲ vulg. deest. 20) οὐ μὲν δὴ Wartono auctore Kiessl. — καὶ om. Reisk. seqq. 24) //Om. Gen.[a.b], habet usque ad ξηραιν. Phav. post partem scholii de δρυὸς generibus lin. 8. 26) σεσησμένου] Amstel., σεσημένου vulg. 26) ἀποπιεσμένου vulg. ante Kiessl. 27) τοσοῦτο Kiessl.

τοῦ χειμῶνος, ὅσον ὁ ἐστερημένος ὀδόντων φροντίζει καρύων μαλακῆς τροφῆς παρούσης. τοῦτο γάρ ἐστι τὸ *ἀμύλοιο*. — Ἄλλως. *Ἄμυλος* εἶδός τι ἄρτου ἐκ τῶν σιτανίων λεγομένων πυρῶν. Ἄλλως. ἄμυλος ὁ ἄρτος ὁ ἄνευ μύλου γενόμενος· ἀποβρέχοντες γὰρ τὸν πυρὸν ἀποθλίβουσι. — (Οὐκ ἔχω δὲ ⟨οὐδὲ⟩ μικρὰν φροντίδα χειμῶνος, ὥσπερ οὐδὲ νωδὸς ἀνὴρ καρύων καὶ καρυδίων, παρόντος αὐτῷ ἀμύλοιο, ἤτοι πλακοῦντος. ἐν γὰρ τῷ πλακοῦντί εἰσι καὶ κάρυα. 3. Gen.[b])

Rec. (Ἤγουν οὐ μᾶλλον ἐγὼ φροντίζω χειμῶνος, ἐν ἀφθονίᾳ ξύλων ὤν, ἢ νωδὸς καρύων ἀμύλου παρόντος. N.)

Vs. 22.

Rec. *Τοῖς μὲν ἐπεπλάγησα*: ἤγουν ἐπὶ τοῖς εἰρημένοις τὰς χεῖρας συνεκρότησα.

Vs. 23. 24.

Vet. *Κορύναν*: ῥάβδον ἐπὶ τὸ ἄκρον βάρος ἔχουσαν, ῥόπαλον — εἴρηται δὲ παρὰ τὸ κάρα, ἤγουν τὸ ἄκρον, βαρὺ ἔχειν· βαρύτερον γάρ ἐστι περὶ τὸ ἄκρον. ῥόπαλον δέ ἐστιν ἀμυντήριον καὶ ἑτερορρεπές, ἐξ ἑνὸς μέρους ῥοπὴν ἔχον καὶ βάρος, — ἥντινα ὁ ἀγρὸς τοῦ πατρός μου ἀνέθρεψεν, αὐτόρριζον, ἥντινα ἴσως οὐδὲ τέκτων μέμψαιτο.

21) [*Ἧι*:] καθά. M. — [*Ἀμύλοιο*:] σεμιδάλεως, τροφῆς ἁπαλῆς. 6. πλακοῦντος, ἁπαλῆς τροφῆς, ἤγουν κουρκούτης. ἢ τοῦ λεγομένου ἀποθέρμου· χωρὶς μύλου γὰρ γίνεται. L. P. ἀμύλου, ἀθάρης, τοῦ καταστατοῦ λεγομένου, ὃν ἐκ σίτου βεβρεγμένου κατασκευάζουσι. M.

22) Ἐπὶ τούτοις — κατὰ ἀντιστροφὴν τῆς ἐπὶ — ἐκρότησα τὰς χεῖρας. M.

23) Ἀνέφυσεν. M.

24) Ἐκ φύσεως οὖσαν ῥάβδον, καὶ οὐκ ἐκ τέχνης τινός. M. ἐκ φύσεως. Stop. — Ἐμέμψατο. M. ψέξαιτο. M. — Ξυλουργός. M.

---

3) //Gen.[b], ubi ἄμυλος δέ. 3) ἐν τῶν Gen.[b] — σιτανίων] Kochlerus?, σατνίων 3. 4. Gen.[b] vulg., σητανίων Hemsterh. et Kiessl. 3) λεγομένων πυρῶν] Duebnerus, λεγόμενον πυρῶν Vulc., γενόμενος (γιν. Gen.[b]) λεγομένων πυρῶν (πῦρ 3., πυρὸν 4.) 3. 4. Gen.[b], πυρῶν γενόμενος vulg. 4) ἄλλως] ἀλοὺς 3. 4. Vulc., ἀλοὺς Gen.[b], in quibus vox praecedentibus adhaeret, om. vulg. — αἴμυλος Ox. seqq. ante Kiessl. 4) ὁ ἄρτος] Gen.[b], δὲ ἄρτος vulg. 6) Schol. in Gen.[b] legitur post SchVet. ad Vs. 5. 6) οὐδὲ] add. Casaubonus tacite Lectt. c. X. 6) μικρὴν Gen.[b] 6) οὐδὲν Gen.[b] 8) ἤγουν Gen.[b] 13) //Om. Gen.[a.b.] 16) //Gen.[a] haec excerpta praebet: κορύνη ἐστὶ ῥόπαλον ἑτερορρεπές .... βάρος· εἴρηται παρὰ τὸ κάρα. 20) ὁ om. Reisk. seqq. 20) αὐτόριζον ante Heins., αὐτοκατάσκευον I.

Vs. 25—27.

Vet. Κείνῳ δὲ στρόμβῳ: στρόμβος κογχύλιον ἀπὸ τοῦ συνεστράφθαι. (τούτου, φησί, τὸ κρέας αὐτὸς ἐπασάμην μετὰ πέντε μερισάμενος. 3. 4. M. Gen.[a.b.]) — Ἐκείνῳ δέ, φησίν, ἤγουν τῷ Μενάλκᾳ, ἐχαρισάμην ὄστρακον στρόμβου, οὗτινος τὸ κρέας ἐγὼ ἔφαγον ἀγρεύσας μετὰ σκέψεως ἐν ταῖς πέτραις τοῦ Ἰκαρίου πελάγους. μέγας δὲ ἦν ὁ στρόμβος τοσοῦτον, ὅτι τὸ κρέας αὐτοῦ διέκοψα εἰς πέντε μερίδας, ἃς ἔλαβον ἄνθρωποι πέντε ὄντες· ὁ δὲ Μενάλκας τὸν κόχλον λαβὼν ἐπὶ τούτῳ ἡδέως ἐγέλασεν. — (Ἐν Ἰκαρίαισι: ταῖς πρὸς τῇ Ἰκαρίᾳ νήσῳ. p. *6. — Ἐκαναχήσατο: ἐγέλασε χαρίεν ἐπὶ τῷ τοῦ κόχλου ὀστράκῳ. L. P. Gen.[b.])

Vs. 28—30.

Vet. Βουκολικαὶ Μοῖσαι: ὁ λόγος ἐκ τοῦ συννομέως ἢ ἐκ τοῦ Θεοκρίτου. ὦ Μοῦσαι, τὸ μέρος τῆς ᾠδῆς τῆς παρ᾽ ἡμῖν ἐκφήνατε, μήπως μου ἐπὶ γλῶσσαν φλύκταινα φύηται. ἐκείνοις γὰρ εἴωθε γίνεσθαι τοῖς μηδὲν πρᾶγμα εὐλόγως κρίνουσι. — Μηκέτ᾽ ἐπὶ γλώσσης ἄκρης: ὁ λόγος

25) Τῷ Μενάλκᾳ. P. — Κογχύλῃ. ἀπὸ τοῦ εἶναι συνεστραμμένον. L. P. κοχλίᾳ θαλασσίῳ. C. κοχλίου. M. — [Ὄστρακον:] δέρμα. C.

26) Ἔφαγον. M. ἐτράφην. P. — [Ἐν Ἰκαρίαισι:] ἐν τῇ Ἰκαρίᾳ νήσῳ. 5. 9. M. [Ὑκκαρίεσι:] Ὕκκαρα πόλις Σικελίας. *C. — Ἐπιτυχών, εὑρών. L. M. N. ἐπιτηρήσας. C.

27) [Πέντε ταμών:] τμήματα κόψας ταύτην. M. μερίδας. N. — [Ἐγκαναχήσατο:] ἤχησε χαίρων. M. Stop. Phav. ἐγέλασεν, ἐκρότησεν, ἐχάρη ἐπὶ τοῦ κόχλου. C. ἐκάγχασεν. N.

28. 29) Ἐπιστροφὴ τὸ σχῆμα. πρὸς τὰς Μούσας. L. — Δείκνυτε. M. γράφεται καὶ οὕτως· φαίνετε δ᾽ ᾠδὰς τάς ποκ᾽ ἐγὼ τήνοισι. *I. *Q. φαίνετε: περιφανεῖς ποιεῖτε. *I.

---

2) //Gen.[a.b.] sine lemmate, in hoc post schol. Κίρκη Vs. 36. 2) κογχύλιόν τι M. Gen.[a.] 3) τοῦτο Gen.[b.] 3) φησὶ om. Gen.[a.] 3) τὸ om. Gen.[b.] 3) ἐπασάμην] Toup., ἐσπασάμην 3. 4. Gen.[b.], ἐτράφην M. Gen.[a.], ἐτρ. αὐτὸς Gen.[a.] 4) μετὰ πέντε τινῶν ἑταίρων (ἑτέρως Gen.[a.]) M. Gen.[a.] 4) //Om. Gen.[a.b.] 10) ἐκαναχήσατο ἤγουν ἐγέλασε Vulc. 11) καρκίᾳ p. 11) Schol. in Gen.[b.] legitur post SchVet. ὀλοφυγδὼν Vs. 30, quod ipsum non suo loco extat. 12) τὸ τοῦ κόκλου Gen.[b.] 14) //Gen.[b.] — βουκολικαὶ] Gen.[b.], βωκ. vulg. 14) συνομένως Gen.[b.] 15) μέρος] 4. Gen.[b.], μέλος vulg. 16) ἐκφήνατε] Amstel., ἐκφάνατε vulg., ἐκφάνετε Gen.[b.] 17) ἐν ἐκείνοις Gen.[b.], ἐκείνη Geelius. 17) εὐλόγως] Geel., εὔλογον vulg. 18) //Om. Gen.[a.b.] — 19) τῷ μὲν ἀλκακογχύλῳ P., quae legenda esse τῷ Μενάλκᾳ (ad τήνῳ). κογχ. Duebnerus indicavit. Verba ἀπὸ τοῦ seqq. a Gailio male ad ὄστρακον relata sunt. 24) μερίσας cod., cf. Scholl. 28) ἐγὼ τήνοισι om. I.

πρὸς τὴν Μοῦσαν. ἰδίως δὲ τὸν λόγον ποιησάμενος πρὸς πάσας εἰς μίαν κατέκλινεν. ἢ ὁ λόγος πρὸς τὸν Δάφνιν, ὃ καὶ κρεῖττον. — Ἄλλως. Μηκέτ' ἐπὶ γλώσσης: εἴθε ἡ σὴ γλῶττα μηκέτι ἐμποδισθείη· (ἀντὶ τοῦ μὴ φειδωλῶς ᾄδοις. I.) ἐμπόδιον δὲ τῆς γλώττης αἱ ὀλοφυγδόνες. τουτέστιν, ὑπὸ φυμάτων μηκέτι ἐμποδισθείη ἡ σὴ γλῶττα. — Ὀλοφυγδὼν δέ ἐστιν ἡ φλυκτώδης φύσκα. λέγουσι δὲ αὐτὴν οἱ Ἀττικοὶ ὀλοφυκτίδα, ὅταν δὲ αὕτη γένηται ἐπὶ τῇ γλώττῃ, εἰώθασι λέγειν αἱ γυναῖκες, ὡς ἀποτεθεῖσάν σοι μερίδα [οὐκ] ἀποδεδώκασιν. — Ἢ κατά τινας ὀλοφυγδόνες εἰσὶ φύματα, ἤγουν ἀναβλαστήματα, ἐπὶ τῆς ῥινὸς γινόμενα. — (Ὀλοφυγγόνα: φλυκτὶς ἐπὶ τῆς γλώττης. Hesych.)

Rec. (Μηκέτ' ἐπὶ γλώσσας: ἤγουν μὴ σιωπῇ κρύψῃς τὴν ᾠδήν· πρὸς ἑαυτὸν λέγει τοῦτο. *M. Gen.[a]) — (Τοῦ Τρικλινίου. M. ὡς ἀπὸ τοῦ νομέως ὁ λόγος πρὸς τὰς Μούσας, ἢ ἀπὸ τοῦ ποιητοῦ· ὦ Μοῦσαι, τὸ μέρος τῆς ᾠδῆς τῆς παρ' ἡμῖν ἐκφήνατε, μὴ δὲ ἐπὶ τῆς γλώττης φλύκταιναν φύσῃς ὦ Μοῦσα. πρὸς πάσας δὲ τὸν λόγον ποιησάμενος νῦν εἰς μίαν ἀπέκλινεν. M. Gen.[a])

Vs. 33—36.

Vet. Τᾶς μοι πᾶς εἴη δόμος: ἧστινος ᾠδῆς ὁ οἶκος ὅλος γένοιτο πλήρης. οὔτε γὰρ ὕπνος ἡμῖν γλυκερώτερος, οὔτε τὸ ἔαρ ἐξαίφνης ἐλθὸν (τοσοῦτον p.) γλυκύ, ὅσον ἡ μουσουργία. — (Πλεῖος δόμος: ⟨πλήρης μοι γένοιτο ὁ οἶκος,⟩ φησί, τῆς μουσικῆς καὶ τῆς ᾠδῆς· οὔτε ⟨γὰρ⟩ ὁ ὕπνος

30) Πρὸς τὸν Μενάλκαν. L. P. — Ἐπὶ τὸ ἄκρον τῆς γλώσσης. M. τὴν ἐπὶ γλώσσης. L. P. — Φλυκτίδα. M. φλύκταιναν. L. P.

32) Γράφεται καὶ ἐμὶν δέ τε μῶσα καὶ ᾠδά. *I. *Q.

33) Πεπληρωμένος. M. μεστός. N.

---

3) //Om. Gen.[a.b.] 4) ἄδεις cod. 6) //Gen.[b.] post schol. de στρόμβος Vs. 25. — ὀλοφ. ἡ φλ. ἐστι φύσκα et αὐτὴν post Ἀττ. Gen.[b.] 8) ὀλοφλυκτίδα 3.[2.] Vulc., ὁλοφλυκτίδα 3.[1.] 8) δὲ om. et γλώσσῃ Gen.[b.] 10) //Om. Gen.[a.b.] 11) ὀλοφυγγόνα] cod. ut apud Theocr. cod. k., ὀλοφυγδόνα vulg. ex conj. Heinsii. 13) σιωπῶν et τοῦτο δὲ πρὸς αὐτὸν λέγει M. 16) μέρος] μέλος Gen.[a.], μέγα M., cf. supra p. 309. 15. 17) ἐμφήνατε M. 17) γλώσσης M. 19) ἀπέκλινεν] ἀπέκτεινεν Gen.[a.], ἀπέτεινεν M., cf. lin. 2. 21) //Om. Gen.[a.b.] 22) πλήρης om. ante Heins. 24) Schol. in cod. extat post schol. ἐκαναχήσατο Vs. 27, quod ipsum extra ordinem. Prima πλ. δ. φασὶ τ. μουσικῆς etiam *P. habet. — πλεῖος δόμος] πλείων δόσις codd. 25) γὰρ supplevit Adertus. — 28) καὶ et καὶ ᾠδὰ om. Q.

ἡμῖν γλυκύτερος οὔτε τὸ ἔαρ, ὅσον μουσική. Gen.[b]) — (Οὓς μὲν ὁρῆτε: τουτέστιν οἷς μέν ἐστε φίλαι ὦ Μοῦσαι, χαίρουσιν ἐκεῖνοι. τὼς δ' οὔτι: ἤγουν τοὺς σοφοὺς οὐδέν τι παρατρέπει τοῦ δέοντος *** Gen.[b]) — (Δαλήσατο δὲ ἀντὶ τοῦ ἔθελξε: δαλεῖς γάρ εἰσιν ἀμαθεῖς. p. Vat.) — Ὣς μὲν ὁρῆτε: [— γράφεται καὶ οὓς γὰρ ὁρῶσαι καὶ οὓς μὲν ὁρεῦντι —] τουτέστιν, οἷς μέν ἐστε φίλαι ὦ Μοῦσαι, χαίρουσιν· ἐκεῖνοι δέ, οὕστινας οὐ, προσβλέπετε δηλονότι, διὰ τοῦ ποτοῦ ἔβλαψεν ἡ Κίρκη. — (Κίρκη: Gen.[b]) διὰ τὸν Ὀδυσσέα φησίν, ὅντινα οὐ κατέθελξε τὰ τῆς Κίρκης φάρμακα· τοὺς δὲ ἑταίρους, ἀγνώμονας ὄντας καὶ ἀπερισκέπτους, ἀπεθηρίωσεν ὁ κυκεών. συώδεις γὰρ ἦσαν καὶ ἀμαθεῖς καὶ ὑπὸ τῆς Κίρκης δυνάμενοι τῷ ποτῷ μεταμορφωθῆναι εἰς ἄλογα ζῶα. — (Οὓς οὐ προσορῶσιν αἱ Μοῦσαι, τούτους ποτῷ δηλήσατο Κίρκη, τουτέστι τούτους ἡ θηριώδης ἀλογία ἔβλαψεν. Eustath. 10, 19.)

Rec. (Τὼς δ' οὔτι: τὴν περὶ τοῦ Ὀδυσσέως ἱστορίαν αἰνίττεται. τὸν μὲν γὰρ Ὀδυσσέα, σοφὸν ὄντα καὶ ταῖς Μούσαις φιλούμενον, οὐκ ἐδηλήσατο τῷ ποτῷ ἡ Κίρκη· τοὺς μέντοι τούτῳ συνόντας ἠδυνήθη μεταβαλεῖν εἰς χοίρων μορφάς, ἀφελεῖς εὑροῦσα καὶ μουσῶν τὸ παράπαν ἐστερημένους. M. Gen.[a]) — (Οὓς δὲ οὐδαμῶς, ὁρῶσι δηλονότι καὶ ἐπισκέπτονται, αἱ Μοῦσαι, τούτους ἐδηλήσατο καὶ ἔβλαψεν ἡ Κίρκη ποτῷ, τουτέστι διὰ τοῦ κυκεῶνος τοῦ φαρμακώδους. ἀναφέρει δὲ τὸν λόγον πρὸς Ὀδυσσέα· οὗτος γὰρ Ἑρμεῖ τῷ ἐφόρῳ τοῦ λόγου φίλος γενόμενος καὶ τὸ μῶλυ παρ' ἐκείνου λαβὼν ἀνωτέρω τῶν μαγγανειῶν Κίρκης ἐγένετο, τοὺς δ' ἑταίρους

35) Πρὸς τὰς Μούσας. C. P. γράφεται καὶ ὣς μὲν ὁρῆτε Δωρικῶς. *I.

36) Οὐδαμῶς προσορᾶτε. L. P. οὐχ ὁρᾶτε. M. — Ἡ Κίρκη. αὕτη φαρμακοποιὸς ἦν γυνή, ἣ καὶ τοὺς Ὀδυσσέως ἑταίρους εἰς χοίρους μετέβαλεν. M. ἤγουν ἡ συώδης ἀμαθία. L. P.

---

1) Schol. in cod. legitur ante schol. Αἴτνα Vs. 15. Ultima perierunt cum initio sequentis scholii, cujus extrema adhaerent. 5) ἔθελξε] ἐδίδαξε codd. 5) εἰσιν om. Vat. In Gen.[b] sola extant δέ εἰσι οἱ ἀμαθεῖς, praecedenti scholio adhaerentia. 5) //Om. Gen.[a.b] 8) προσβλέπετε et ἔβλαψεν] Geelius, βλέπετε et προσέβλαψεν vulg. 9) //Gen.[b] post schol. Vs. 28 βουκολικαί. — διὰ om. Gen.[b] 12) κύων pro κυκεὼν Gen.[b] 13) ἄλογα] Schaeferus, ἄλλα vulg., cf. p. 312. 1. 20) αὐτῷ Gen.[a] 20) εἰς χοίρους Gen.[a] — 30) προσορῆτε codd. 32) ἀμάθεια P.

αὐτοῦ, ἀσόφους ὄντας, ἐξ ἀνθρώπων εἰς ζῴων φύσιν ἀλόγων ἡ Κίρκη μετήμειψεν. N.)

Idyll. X.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Ἐργατίναι ἢ Θερισταί, Βάττος καὶ Μίλων. προλογίζει δὲ ὁ Μίλων. — (*Θεοκρίτου Ἐργατίναι ἢ Θερισταὶ Μίλων καὶ Βάττος. Δωρίδι δραματικόν.* M.)

Rec. (*Τοῦ αὐτοῦ Τρικλινίου.* M. *καὶ τὸ παρὸν εἰδύλλιον συνίσταται ἐκ στίχων δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων νη', ὧν τελευταῖος· μυθίσδεν τᾷ ματρὶ κατ' εὐνὰν ὀρθρευοίσᾳ.* M. Gen.[a])

Vs. 1—4.

Rec. Ἐργατίνα βουκαῖε: τί νυν ὀϊζυρὲ πεπόνθεις. Ἐργατίνα: ἡ εὐθεῖα ὁ ἐργατίνης, καὶ κλίνεται τοῦ ἐργατίνου, ὡς ὁ Χρύσης ὦ Χρύση καὶ ὦ Χρύσα. —

Vet. Βουκαῖον οἱ μὲν τὸν θεριστὴν ἤκουσαν ἀπὸ τοῦ βου ἐπιτατικοῦ μορίου καὶ τοῦ καίνω τὸ κόπτω καὶ θερίζω, ὁ μεγάλως καίνων· ἢ σὺν βοῇ καὶ ᾠδῇ καίνων. (*τινὲς δὲ τὸν βουκόλον.* p. 3. 4. M. Q. Gen.[a b] Vulc. Phav.) *βέλτιον δὲ τὸν ἀροτῆρα ἀκούειν, τὸν σὺν τοῖς βουσὶ καίνοντα τὴν γῆν καὶ τέμνοντα. ὑποκοριστικῶς δὲ ⟨βοῦκος⟩ εἴρηται. Δίφιλος δὲ ἐν πρώτῳ τῶν Νικάνδρου Θηριακῶν κύριον ὄνομα τὸν*

1) *Ἐργάτη.* M. *ἐργάτα.* N. — *Διὰ τῶν βοῶν ἐργαζόμενε.* L. P. *ἐπίπονε ὡς βοῦς, ἢ ὁ κάμνων ἐν τοῖς βουσί.* N. *βουκόλε.* C. — *Μοχθηρὲ ἢ ἄθλιε.* M.

2) *Τὴν ἰδίαν αὔλακα, τὸν ὄρδινον.* *N. *ἡ ἐπίστιχος φυτεία ἀπὸ τοῦ οἴγειν καὶ ἀνοίγειν.* *L. *P.

---

5) *προλογίζει Μίλων* etiam in v. Hypothesi adhaerent. 10) *κατ' εὐ. ὀ.* om. Gen.[a] 14) //Om. Gen.[a b] 16) //Gen.[a b] et Phav. s. v. *βουκαῖος.* — *εἰ μὲν* Gen.[a] 16) *ἤκουσαν* om. Gen.[b] Phav. 17) *μορίου* om. Gen.[b] Phav. 18) *ὁ μεγ. καίνων* om. Gen.[a] Phav., *ἢ σὺν .... καίνων* om. Phav. 18) *βοΐ* M.[3] Q.[3] Praemissum in M. *ἐκ τῶν παλαιῶν σχολίων*, initio puto scholii. 18) *καίνων*] add. M. Q. Gen.[a] 18) *οἱ δὲ* M. Q. Gen.[a] 19) *τὸν* om. Phav. 20) *σὺν* om. Gen.[b] et EtM. 207, 32, *τοῖς* om. Phav. 21) *καὶ τέμνοντα .... εἴρηται* om. Gen.[b] et Phav., *ὑποκ.* seqq. om. Gen.[a] — *βοῦκος* suppl. Duebnerus, cf. SchVet. Vs. 38. 21) *φόλος δὲ ἐν ἀνικάνδρου* Gen.[b], *ἐν Νικάνδρου θηριακοῖς* Phav. — 27) *οἴγειν*] Duebn., *οἴσειν* codd.

Βουκαῖον λέγει. — *Οἰζυρὸς* δὲ ὁ ταλαίπωρος· καὶ γίνεται ἀπὸ τοῦ ὀϊζὺς ἡ κακοπάθεια. — Τὸ δὲ ἑξῆς· ὦ ἐπίπονε καὶ ταλαίπωρε θεριστά, τί δὴ πέπονθας; οὔτε τὴν εὐθεῖαν τάξιν ὡς πρότερον διατηρεῖς, οὔθ' ἅμα τῷ πλησίον λήιον θερίζεις, ἀλλὰ καθυστερεῖς. ἢ οὔτε ὁμοῦ τοῖς ἄλλοις θερίζεις, θερισταῖς δηλονότι, ἀλλ' ὕστερος ἔρχῃ. — *Οὔθ' ἐὸν ὄγμον*: ὄγμος κυρίως ἡ τοῦ ἀρότρου τομή, ἤγουν ἡ αὖλαξ, ἀπὸ τοῦ διοίγεσθαι τὴν γῆν ὑπὸ τοῦ ἀροτριῶντος. νῦν δὲ κεῖται ὁ λόγος ἐπὶ τῆς κατ' εὐθὺ τάξεως τοῦ θερισμοῦ. (καὶ Ὅμηρος·

ὄγμον ἐλαύνοντος ἀνδρὸς μάκαρος κατ' ἄρουραν.

Gen.[a]) — Ἄλλως. *Ὄγμον*: τὴν αὔλακα παρὰ τὸ διοιχθῆναι τὴν γῆν. οἱ δὲ τάξιν, οἱ δὲ τὸν ὄρχον, [οἱ δὲ τὸν χόρτον]. κυρίως δὲ ἡ ἐπ' εὐθὺ τοῦ ἀρότρου τομή. καὶ ἔστιν ὄγμος οἷον ἀπὸ τοῦ διοίγεσθαι τὴν γῆν ὑπὸ τοῦ ἀροτριῶντος. νῦν δὲ κεῖται ἡ λέξις ἐπὶ τῆς κατ' εὐθὺ τάξεως τοῦ θερισμοῦ, ὡς καὶ Ὅμηρος·

ὄγμον ἐλαύνοντες ἀνδρὸς μάκαρος κατ' ἄρουραν.

Rec. *Λαιοτομεῖς*: ἀντὶ τοῦ θερίζεις, καὶ γίνεται ἀπὸ τοῦ λήιου, τὸ χωράφιον, τροπῇ τοῦ η εἰς α καὶ συναιρέσει τοῦ ι λαῖον καὶ τοῦ τέμνω. καὶ γίνεται λαιοτομῶ, δηλονότι τὸ λήιον τέμνω. — *Κάκτος* δὲ εἶδος ἀκάνθης.

Vs. 5. 6.

Vet. *Ποῖος τὶς δείλαν τὲ καὶ ἐν μέσῳ*: δείλη ἑῴα,

3) Καὶ τὸ λήιον τέμνεις καὶ θερίζεις. λαῖον γὰρ τὸ θέριστρον, ἤγουν τὸ δρέπανον. *I. — Ἐμοὶ τῷ πλησίον. M. πλησίον σοῦ θερίζοντι. N. τῷ ὄντι πλησίον. C. πλησίον. Vim.

4) Βοτάνη ἀκανθώδης. L. N. P. εἶδος ἀκάνθης. 6. ἄκανθα. M. Vim.

---

1) //Om. Gen.[a.b.] 2) //Gen.[b.] sine καὶ ταλ., δὴ et εὐθεῖαν. 4) τὸ pro τῷ ante Heins. 5) ἢ οὔτε seqq. om. Gen.[b.] 6) //Gen.[a.] sine lemmate. 7) ἡ τοῦ] M. Gen.[a.], ἡ ἀπὸ τοῦ vulg. 8) ἀρότρου M. Gen.[a.] 9) εὐθεῖαν M. Gen.[a.] — καὶ θερισμὸν Gen.[a.] 10) *Hom. Il. Λ*, 68, ubi ἐλαύνωσιν. 11) //Gen.[b.], ubi ἄγειν pro ὄγμον. 12) ὅρον sine τὸν Gen.[b.], ὄρδινον 3.[2.], ὀρδίνιον 3.[1.] Sequentia proscripsit Duebnerus, ubi τὴν Gen.[b.] 15) κατ'] p., εἰς vulg., om. Gen.[b.] 17) *Hom. Il. Λ*, 68. — ἐλαύνοντες] p. 4., ἐλαύνοντος Gen.[b.] vulg. et ita supra Gen.[a.], ἐλαύνοντο Kiessl., ἐλαύνωσιν Hom. 18) //Om. Gen.[a.b.], habet Phav. hoc initio: λαιοτομεῖς παρὰ Θ. τὸ λήϊον θερίζεις καὶ τέμνεις, cf. Gl. 21) //Om. Gen.[a.b.], cf. Gl. 23) //Gen.[b.] hoc initio: τοῖος τις δείλαν τε: κατὰ μεσ. καὶ δείλην ἔστι ποταμός pro verbis ante ὅς νῦν. — 24) λαῖον et θέριστρον] Adert., λαιὸν et θεριστὸν cod.

ὅτε ἀνατέλλει ὁ ἥλιος· δείλη δὲ ὀψία, ὅτε πρὸς δυσμὰς κατέρχεται. ποταπὸς ἔσῃ κατὰ μεσημβρίαν καὶ δείλην, ὃς νῦν ἀρξάμενος οὐ μειοῖς καὶ ἐλαττοῖς τὸν στίχον τοῦ θέρους; τὸ γὰρ *ἀποτρώγεις* τοῦτο δηλοῖ. — (Ποταπὸς ἔσῃ προϊούσης ἡμέρας, ὅτε νῦν ῥαθυμεῖς τῆς ἐργασίας ἀρχόμενος καὶ **** εἴπέρ σε καὶ τὸ καῦμα ἐκλύσει περὶ τὴν δείλην; 3.) — Ἄλλως. Πῶς, φησίν, οὐκ ἀργότερος ἔσῃ προϊούσης τῆς ἡμέρας, ὅτε νῦν ῥαθυμεῖς τῆς ἐργασίας ἀρχόμενος καὶ οὐκ ἀποτέμνεις τῆς αὔλακος οὐδέν; *αὔλακα* δὲ τὸν ὄγμον φησί, τὸ κοινῶς λεγόμενον ὀρδίνιον. — (*Δεῖλαν*: ποῖός τις ἔσῃ καὶ κατὰ τὴν δείλην, ἑῴαν δηλαδή, καὶ κατὰ τὴν μεσημβρίαν, ἐπεὶ νῦν ἀρξάμενος τοῦ ἔργου οὐκ ἐλαττοῖς τὸν στίχον τοῦ θέρους; τοῦτο γὰρ τὸ *ἀποτρώγεις*. Ἢ· εἰ νῦν ῥαθυμεῖς τῆς ἐργασίας ἀρχόμενος, ποῖος ἔσῃ, ὅτε σε τὸ καῦμα ἐκλύσει περὶ τὴν δείλην; Gen.[a])

Vs. 7.

Vet. *Μίλων ὀψαμάτα*: τουτέστι μέχρις ὀψίας θερίζων καὶ κακοπαθῶν καὶ μὴ ἐνδιδούς. (τοῦτο δέ φησιν, ἐπεὶ οὗτος ἐν ἀρχῇ τοῦτον εἶπεν ἐκλελύσθαι. Gen.[b]) — Ἢ ὁ ἀργός, ὁ ὀψὲ καὶ μόλις θερίζων. ἢ ὁ καρτερικός, ὁ μέχρις ὀψίας δείλης τὸ θέρος ὑπομένων. ἢ τοῦτο λέγει· ἐπεὶ ὁ Μίλων ἐν ἀρχῇ τὸν Βάττον ἔφη ἐκλελύσθαι, ὀψαμάτην τὸν Μίλωνα ὁ Βάττος καλεῖ, τουτέστι μέχρις ὀψίας θερίζοντα καὶ μὴ ἀποκάμνοντα. — *Πέτρας ἀπόκομ' ἀτεράμνω*: οἷον πέτρινε,

5) [*Δείλαν*:] καὶ κατὰ τὴν δείλην ἑῴαν. M. κατὰ τὸ δειλινόν. 6. — [*Ἐκ μέσω*:] ἤγουν ἀπὸ μέσης τῆς ἡμέρας καὶ εἰς τὸ ἑξῆς. M. [*Ἐν μέσῳ*:] ἐν μεσημβρίᾳ, κατὰ τὸ μεσημβρινόν. N.

6) Τελείως αὐτὴν ἀποτέμνεις. M. οὐκ ἀποτέμνεις καὶ μειοῖς καὶ ἐλαττοῖς τὸ πλέον. L. P. οὐκ ἀποτέμνεις, εἰς τέλος ἄγεις. N.

7) Ὁ [μὴ] βραδέως ἀμῶν, ἢ ὄψιμε γηραιὲ καὶ μέχρι τῆς ὀψίας ἀμῶν. L. P. νωθρέ, ὀψὲ καὶ βραδέως ἀμῶν. N. ἤγουν βραδέως ἀμῶν καὶ θερίζων, τουτέστιν ἀργοθεριστά. 6. ἀργοθεριστά. C. ἀπὸ τοῦ ὀψὲ καὶ ἀμάω. P. βραδέως θερίζων, ἢ μέχρι τῆς ἑσπέρας ἀμῶν καὶ θερίζων. *Y. — Ἀπόρρωξ. C. ἰσχυρότατε, ἀδαμάντινε. M.

---

2) ἔσῃ] 3. 4., γενήσῃ vulg. 2) ἧς pro ὃς Gen.[b] et ante Heins. 5) ὅτι cod., cf. lin. 8. 6) ἐκλύει cod., cf. lin. 14. 6) //Om. Gen.[a.b.] 13) ἢ] ἤγουν cod. 13) ῥαθυμεῖς] Adert. ex lin. 5 et 8., ἀριθμεῖς cod. 17) //Gen.[b.] 19) //Om. Gen.[a.b.] 24) //Gen.[b.], ubi ἀτεράμνου, deinceps ἀντὶ τοῦ λίθινε, verbis οἷον πέτρινε in fine scholii positis. — 28) ἀποτέμνεις] ἀποτρώγεις M.

λίθινε, σκληρότατε. ἀτεράμνους γὰρ τοὺς σκληρούς φασι, τοὺς μὴ τέρενας (καὶ ἁπαλούς. Gen.$^{b.}$) — (*Ἀτεράμνους τὰς σκληρὰς πέτρας φασίν,* Gen.$^{a.}$) *ἐπεὶ τέρεν τὸ ἁπαλόν.* [*καὶ τὰς πέτρας τὰς μὴ τειρομένας, καὶ ἀτέραμνα ὄσπρια τὰ ἀνέψητα.*]

Vs. 11.

Vet. *Χαλεπὸν χορίῳ κύνα γεῦσαι: παροιμία τοῦτό ἐστιν ἐπὶ τῶν γευσαμένων ἐφετοῦ τινος, δυσαποσπάστως δὲ ἐχόντων τῆς συνηθείας λεγομένη. ἥτις καὶ ἑτέρως λέγεται· χαλεπόν, φασί, μαθοῦσα κύων σκυτοτραγεῖν.* — (*Χαλεπὸν χορίῳ:* Gen.$^{b.}$) *ὥσπερ, φησίν, ὁ γευσάμενος χορίου κύων δυσαποδίωκτός ἐστιν, οὕτω καὶ ὁ ἀγροῖκος ἐρωτικοῦ πάθους γευσάμενος.*

Vs. 12.

Vet. *Ἀλλ' ἐγὼ ὦ Μίλων: σὺ μέν, φησίν, ἀπείρατος ἔρωτος τυγχάνεις· ἐγὼ δὲ ἐρῶ ἕνδεκα ἡμέρας ἤδη.*

Vs. 13.

Vet. *Ἐκ πίθω ἀντλεῖς: τουτέστιν οὕτω ἐν περιουσίᾳ ζῇς, ὥστε σε καὶ ἐρᾶν.* — *Ἢ·* (*Ἐκ πίθου ἀντλεῖς: τοῦτο* Gen.$^{b.}$) *εἰρωνευόμενός φησιν· ἐκ περιουσίας ἀπὸ πλήρους*

8) *Οὐδαμῶς.* 6. *οὐδόλως.* C. *οὐδέποτέ σοι συνέβη ἐρᾶν ἀπόντος.* L. P. — *Ἐσυνέβη, ἐγένετο.* C.

9) *Τῶν πόρρω.* C. *τῶν ἀπόντων καὶ μακρὰν ὄντων.* N.

11) *Δεινόν.* M. *παροιμία ἐπὶ τῶν ἁψαμένων ἔργου τινὸς καὶ δυσαποσπάστως ἐχόντων.* T. *εἰ γὰρ αἴσθηται, καὶ τοῖς θρέμμασιν αὐτοῖς ἐπιχειρεῖ. ἔστι δὲ παροιμιῶδες· χαλεπὸν ἐργάτην ἄνδρα ἔρωτος πειραθῆναι.* *L. *Q.

12) [*Σχεδόν:*] *ἄντικρυς.* M.

13) *Ἤγουν δῆλον ὅτι εὐδαιμονεῖς, καὶ διὰ τοῦτο καὶ ἐρᾷς· ἐγὼ δὲ πένομαι.* M. *παροιμία ἐπὶ τῶν ἄφθονα ἐχόντων τὰ πράγματα.* T. *ἤγουν πολλὴν περιουσίαν ἔχεις.* L. P.

---

2) *ἀτεράμνος* cod. 3) //Gen.$^{a.}$ sine *καὶ τὰς* seqq. 7) //Gen.$^{a.}$ sine lemmate, post sch. seq., omissis *τῆς συνηθείας* seqq. — *παροιμία δέ ἐστιν* Gen.$^{a.}$ 8) *καὶ δυσ. ἐχόντων* Gen.$^{a.}$ 10) *σκυτοτρογεῖν* Reisk., *-τρωγεῖν* Kiessl. 11) //Gen.$^{a.b.}$ 12) *καὶ ἀγρ.* Gen.$^{a.}$ 13) Ultimum *γευσ.* om. Gen.$^{b.}$ 15) //Om. Gen.$^{a.b.}$ 18) //Om. Gen.$^{a.b.}$ 19) //Gen.$^{b.}$ — *τοῦτο* etiam 4. 20) *ἐκ περ. καὶ πλήθους ἀντλεῖς* Gen.$^{b.}$ — 27) Siglum Q. apud Gailium sphalmate pro P. positum videtur. — *πειραθῆναι*] L.$^{4.}$ P., *πειρασθῆναι* L.$^{3.}$ Q.

πίθου ἀντλεῖς (ὥστε σε ἐρᾶν, Gen.[b]) *καὶ οὐκ ἐκ λαγήνων· ἐγὼ δὲ ἔχω οὐδ' ἅλις ὄξους. — Ἄλλως. Ἐκ πίθω ἀντλῆς: παροιμία ἐπὶ τῶν ἐν περιουσίᾳ ζώντων. ἀφθόνων, φησί, καὶ πλουσίων ἀπολαύεις τῶν πραγμάτων. ὁ γὰρ οἴνου κορεννύμενος πρὸς ἀφροδίσια ἐκκαίεται ἅτε ἀργίᾳ συζῶν· ὁ δὲ μηδ' ὄξους ἔχων πιεῖν καὶ τῷ πόνῳ μαχόμενος οὐκ ἐρᾷ.*

Vs. 14.

Vet. (*Τοιγάρτοι πρὸ θυρᾶν: τοιγαροῦν διὰ τὸ ὑπὸ τοῦ ἔρωτος ἐκλύεσθαί με ἀπὸ τοῦ σπόρου, ἤγουν ἀφ' οὗ ἔσπειρα, ἀτημέλητά εἰσι πάντα τὰ χωράφιά μου καὶ ἀσκάλιστα, οὐ μόνον τὰ πόρρω, ἀλλὰ καὶ τὰ πρὸ τῶν θυρῶν.* 3. 4. Q. Gen.[b] *σκαλὶς δέ ἐστι γεωργικὸν ἐργαλεῖον.* 4. Gen.[b]) — *Τοιγάρτοι πρὸ θυρᾶν μοι: πάλαι, φησίν, ἀπὸ τοῦ σπόρου πάντα μοι ἦν καλά* [*οὐ μόνον τὰ ἔνδον, ἀλλὰ καὶ τὰ ἀπὸ θυρῶν*]*· νῦν δὲ διὰ τὸν ἔρωτα οὐ μόνον τὰ πόρρω, ἀλλὰ οὐδὲ τὰ πρὸ θυρῶν μου εἰσὶν ἐσκαλμένα* [*ἀλλὰ ἄσπορα μένουσι διὰ τὸν ἔρωτα*]. — (*Ἀντὶ τοῦ· νῦν οὐ μόνον τὰ πόρρω, ἀλλὰ καὶ τὰ πλησία τῶν θυρῶν μου ἀτημέλητα μένει διὰ τὸν ἔρωτα.* Gen.[b]) — *Ἄλλως. Ἄσκαλα: τουτέστιν· ἅπερ ἔσπειρα, μετὰ τὸν σπόρον ἠμελημένα ἐστὶν ἐς τοσοῦτον, ὅτι καὶ ἀσκάλευτά εἰσιν. σκαλεύω δὲ τὸ χωράφιον, ὅτε σκαλίσι καθαίρω αὐτό. σκαλὶς δὲ σκαλίδος ἐργαλεῖον γεωργικόν, τὸ κοινῶς λεγόμενον σκαλιστήριον.* — (*Ἄσκαλα: τουτέστιν ἀναροτρίαστα καὶ τὰ προαύλια. πρώην γάρ φησιν εἶχον ἄφθονα· νῦν*

14) *Διὰ τοῦτο τὸ ἐρᾶν.* C. *διὰ τὸ ἐρᾶν ἐμέ.* N. *διὰ τοῦτο.* M. — *Καὶ τὰ πρὸ τῶν θυρῶν μου χωράφια, ἤγουν τὰ κοινῶς ἐσωθύρια.* M. — *Ἀσκάλευτα.* C. *ἀσκάλιστα.* 6. C. — *Ἤγουν ἐρῶντός μου καὶ τὰ σύνεγγυς πάντα ἀκατέργαστά εἰσι καὶ ἀκόσμητα.* *L. *P.

---

1) *λαγίνων* Gen.[b] et ante Scult. 2) *ἔχω οὐδ' ἅλις ὄξους*] 4. Gen.[b] (hic *δ' οὐδ'*), *ὄξος ἔχω* vulg., *οὐδ' ὄξος ἔχω* Toup. 2) //Om. Gen.[a.b.] 4) *κορεννύμενος*] Toup., *κεραννύμενος* vulg. 8) Lemma sic 4., *τοιγάρτοι προθυρῶν: πρὸ θυρῶν μοι τοιγαροῦν* Gen.[b], *ἄλλως. τοιγαροῦν* 3. 9) *ἐκλύεσθαι*] conj. Gaisf., *ἑλκύεσθαι* codd. 9) *ἀπὸ σπόρου* 3. — *ἀπὸ τοῦ σπόρου ἀτημελητά μοι πάντα οὐ μόνον* mediis omissis 4. Q. Gen.[b] 11) *καὶ πρὸ* 4. Q. Gen.[b] — *τῶν* om. 3. Q. 13) //Gen.[b] sine lemmate. 15) *πρὸ τῶν θυρῶν* 3. Gen.[b] Pro sequentibus in Gen.[b] sola leguntur *νῦν δὲ οὐδὲν διὰ τὸν ἔρωτα*, quae verba teste Duebnero in Q. sequuntur post *θυρῶν* l. 11. 16) *ἐσκαλμένα*] *ἐσπαρμένα* vulg. 18) *ἀτεμέλητα* cod. 19) //Om. Gen.[a.b.] 23) //Post SchVet. Vs. 19. 23) *ἀναροτρίαστα*] Duebn., *ἀροτριαστὰ* cod. — 26) *μοι* cod. 27) *ἀσκάλευτα*] Duebn., *ἀσάλευτα* cod.

δὲ καὶ τὰ πρὸ θυρῶν μοι ἀσκάλευτα πάντα διὰ τὴν ἐπὶ ἐρωμένῃ λύπην. Gen.[b.])

Rec. (Τοῦ Τρικλινίου. M. ἀφ' οὗ, φησί, τὸν σπόρον ἐν ταῖς πρὸ τῶν θυρῶν κατεβαλόμην ἀρούραις, ἅ φασι κοινῶς ἐσωθύρια, οὐδαμῶς ἐπιμελείας ἠξίωσα. τοῦτο γὰρ τὸ ἄσκαλα θέλει δηλοῦν. M. Gen.[a.])

Vs. 15. 16.

Vet. Τίς δέ τυ τᾶν παίδων λυμαίνεται: ταῦτα ὁ Μίλων ἐρωτᾷ, εἶτα ὁ Βάττος ἐπάγει· ἁ Πολυβώτα. (δύναται δὲ καὶ αὐτὸς λέγειν ὅλον τὸν στίχον, ἵν' ᾖ· Gen.[b.] τίς ἄρα σε ὦ πολυβῶτα, ὦ πλούσιε, συνεκδοχικόν. πολυβώτην δὲ εἶπεν αὐτὸν διὰ τὸ πλεοναχῶς βωτεῖν. Ὦ πολυβῶτα: πολλοὺς ἔχων βόας. Vat. Gen.[b.] οἱ δὲ ζητοῦσι τὸ Πολυβώτου πότερον θυγάτηρ ἢ θεράπαινα. καὶ μὴν ἔνιοι δὲ πολυβώτην προσηγορεῦσθαι τὴν πλουσίαν. Gen.[b.]) — Ἄδηλον δέ, πότερον θυγατέρα ἢ θεράπαιναν τοῦ Πολυβώτου λέγει. ἡ τοῦ Πολυβώτου οὖν φησὶ λυμαίνεταί με, ἥτις πρώην θεριζόντων ἡμῶν παρ' Ἱπποκόωντι ἢ παρ' Ἱπποκίωνι — διχῶς γὰρ γράφεται ἐν τοῖς ἀντιγράφοις — προσηύλει. καὶ τὸ μὲν παρ' Ἱπποκόωντι γράφων λέγει τῷ ποταμῷ, τὸ δὲ παρ' Ἱπποκίωνι λέγει οὕτω καλουμένῳ. — (Ἄδηλον εἰ θυγάτηρ τοῦ Πολυβώτου ἢ θεράπαινα ἡ αὐτὸν λυμαινομένη τῷ ἔρωτι. Gen.[a.])

Vs. 17.

Vet. Εὗρε θεὸς τὸν ἀλιτρόν: παροιμίαι εἰσὶ τὸ εὗρε θεὸς τὸν ἀλιτρὸν [καὶ τὸ εὗρε θεὸς τὸν αἴτιον] καὶ τὸ ἔχεις ἅπερ ἐπεθύμεις. τὸ δὲ εὗρε θεὸς τὸν ἀλι–

15) Δαμάζει τῷ ἔρωτι. M. — [Ἁ Πολυβώτα:] θυγάτηρ. L. P.
16) Θερίζουσιν ἡμῖν. M. τοῖς θερισταῖς. P. — Παρὰ τῷ ληίῳ Ἱπποκόωντος. 6. ποταμῷ. C. N. τόπος τις. M. — Συνῇδε. M. δι' αὐλοῦ ἔμελπε. N.

---

1) καὶ τὰ] Adert., κατὰ cod. 1) ἐπὶ ἐρωμένῃ] ἐπιερωμένην cod., ἐπ' ἐρωμένῃ Adert. 8) //Gen.[b.] c. lemm. τῶν παίδων. 10) τι ἄρα Gen.[b.] 12) βωτεῖν] πολυβωτεῖν codd. Verba sequentia ὦ πολ. primus lemma esse indicavi. 14) μὴν ἔνιοι] πηνελόπη cod. 15) προσηγορεῦσθαι] -ηγόρευσθαι cod., -αγορεύεσθαι Adert. tac. 15) //Om. Gen.[a.b.] 21) δῆλον cod. 25) //Gen.[a.] sine lemmate inde ab λέγεται. — τοῦτο παροιμία ἐστίν 3.[1.]

τρὸν λέγεται ἐπὶ τῶν διδόντων δίκην τῆς ἁμαρτίας. ὁ δὲ νοῦς· ἁμαρτωλῷ σοι ὄντι δικαίως περιῆλθε τὸ θεῖον, ὅθεν καὶ περιπέπτωκας οἷς ἐπεθύμεις κακοῖς. — Ἄλλως. Παροιμία ἐστὶ λεγομένη κατὰ τῶν καυχωμένων, ὅτε ἐμπέσωσιν εἰς ἃ ἐκφεύγουσι.

Vs. 18.

Vet. *Μάντις τοι τὰν νύκτα χροΐξεται ἁ καλαμαία*: *γράφεται καὶ χροϊξεῖται ἀντὶ τοῦ συγχρωτισθήσεται καὶ συγκοιμηθήσεται.* — (*Τὰν νύκτα μάντις* Gen.[b]) *ἁ καλαμαία* [*δὲ*] *ἀντὶ τοῦ ἡ ἀρουραία. ἔστι δὲ ἀκρὶς ἐν τῇ καλάμῃ γινομένη, καὶ καλεῖται μάντις. ἴσως οὖν ὁ Θεόκριτος τὴν ἰσχνὴν εἰπεῖν θέλων καὶ διεφθινηκυῖαν τοῦτό φησιν, ἢ τὴν ἐπιβλαβὲς καὶ χαλεπὸν ὁρῶσαν. Ἀρίσταρχος γὰρ ἐν ὑπομνήματι Λυκούργου Αἰσχύλου τὴν ἀκρίδα φησὶ ταύτην, εἴ προβλέψῃ τι τῶν ζῴων, ἐκείνῳ κακόν τι γίνεσθαι. ἔστι δὲ χλωρὰ καὶ περιμήκεις τοὺς ἔμπροσθε πόδας ἔχουσα καὶ λεπτούς, καὶ συνεχῶς αὐτοὺς κινοῦσα·* (*οὐ γὰρ ὡς ἡ κοσκινόμαντις.* Gen.[b]) *λέγει δέ· ἡ μάντις ἡ καλαμαία κατὰ τὴν νύκτα χροϊξεῖται καὶ πλησιάσει τῷ χροΐ τοι καί σου· ἀντὶ τοῦ ἡ ἐοικυῖα τῇ καλαμαίᾳ μάντει συνευνασθήσεταί σοι. τινές φασιν εἰκάσαι τὴν Βομβύκην τῇ ἀκρίδι ταύτῃ διὰ τὸ καὶ τὴν ἀκρίδα μέλαιναν εἶναι αὐτὴν καὶ τὴν κόρην ⟨ὡς⟩ Σύραν.* — (*Μάντις ἡ καλαμαία διὰ τὸ μὴ λευκὴν εἶναι ὡς οἱ Σύροι καὶ*

18) [*Χροΐξεται:*] *χρίμπτεται, πλησιάζει, συγκαθεύδει.* 6. *ἡ τοὺς στάχεις τέμνουσα πλησιάζει.* M.

---

1) *παροιμία* pro *λέγεται* et *τὴν δίκην* Gen.[a] 2) *δικαίως τὴν δίκην τὸ* (*τὸν* Gen.[a]) *θεῖον ἐπήγαγε· περιπέπτωκας γὰρ οἷς* M. Gen.[a] 3) //Om. Gen.[a.b.] 7) //Om. Gen.[a.b.] 10) //Gen.[b] omissis *ἁ*, *δὲ* et *ἡ*; Phav. hoc initio: *Χροΐζεταί σε ἡ καλαμαία, ἡ μάντις, ἤγουν πλησιάζει τῷ χρωτί σου ἡ μάντις. ἐστί.* 10) *ἔστι γὰρ ἀκρὶς λεγομένη μάντις ἐν τῇ καλ. γιν.* Gen.[b] Phav. Sequentia *ἴσως .... γίνεσθαι* om. Phav. 12) *ἰσχὴν* sine *τὴν* Gen.[b] 13) *ἢ τὴν .... ὁρῶσαν* om. Gen.[b] 13) *Ἀρίστ. ἐν ὑπομνήσει* Gen.[b] 14) *Αἰσχύλου* om. p. 3. 15) *προβλέψῃ*] *προβλέψει* Gen.[b], *προσβλέψει* vulg., *προσβλέπῃ* p., *προβλέπεις* 3.[2], *προσβλέπεις* 3.[1] — *τι*] Gen.[b] ut conj. Gaisf., *τινὶ* vulg. 15) *τούτῳ* pro *ἐκείνῳ* et *γίνεται* Gen.[b] — *κακόν τι*] 3., *κακὸν* vulg., cf. Zenob. II, 94. *εἴ τινι ἐμβλέψειε ζώῳ, κακόν τι ἐκείνῳ γίνεται.* 16) *περιμήκης* p. Can. Gen.[b] Vulc. Phav. 16) *τοὺς ἐμπροσθίους πόδας μακροὺς ἔχουσα* Can. Gen.[b] Vulc. Phav. — *καὶ συνεχῶς* seqq. om. Phav. 18) *τὴν νύκτα* pro *λέγει δὲ* Gen.[b] 19) *χροΐξηται* Gen.[b], *χροΐξεται* Reisk. seqq. 19) *χρωτὶ τὺ* Gen.[b] — *σου*] Gen.[b], *σοῦ* vulg. 20) *μάντει*] Duebn., *μάντις* vulg. 20) *συνευνασσῆται* Gen.[b] 21) *εἰσάσαι* Gen.[b] 21) *τὸ καὶ*] (Gen.[b]) Reisk. seqq., *καὶ τὸ* vulg. 22) *καὶ κούρην* Gen.[b] 23) Scholia hoc et sequens in Gen.[b] leguntur ante SchVet. Vs. 28, omisso *ἡ*.

Αἰγύπτιοι. 3. 4. Gen.[b.]) — (*Μάντις τοι: σκώπτει τὴν ἐρωμένην τοῦ Βάττου.* M. Gen.[a.b.]) *ἀντὶ τοῦ εἰπεῖν οὖν „ἰσχνή τις καὶ λεπτὴ καὶ μέλαινα συγκοιμηθήσεταί σοι κατὰ τὴν νύκτα", ἡ μάντις φησὶν ἡ καλαμαία. τὴν ἀκρίδα οὖν φησὶ καλαμαίαν, ὅτι ἐν καιρῷ θέρους τὴν καλάμην ἐσθίουσα τὸν ἄσταχυν φθείρει· τὴν αὐτὴν δὲ καὶ μάντιν, ἢ ὅτι προμαντεύεται λιμὸν φαινομένη, ἢ ὅτι κακόχρους καὶ πρασίζουσα καὶ οἷς ἂν ἐντρανίσῃ ζῴοις κακὸν προμηνύει. — Ἢ ἡ σὴ ἐρωμένη ἡ ἐοικυῖα τῇ ἀκρίδι τῇ καλαμαίᾳ ὀνομαζομένῃ, τῇ πρὸς μαντείας ἐπιτηδείᾳ, περιβαλεῖται τὸν χρῶτά σου κατὰ τὴν νύκτα· τουτέστιν ἡ ἰσχνὴ καὶ λεπτὴ καὶ μακρόσκελος συγκοιμηθήσεταί σοι.* —

Rec. (*Ἁ καλαμαῖα: ηγουν ἡ ἀκρίς, ᾗ παρεικάζει τὴν αὐτοῦ ἐρωμένην διὰ τὸ καὶ ταύτην λεπτήν τε εἶναι καὶ μέλαιναν.* *M. Gen.[a.])

Vs. 19. 20.

Vet. *Τυφλὸς δ' οὐκ αὐτὸς ὁ Πλοῦτος, ἀλλὰ καὶ ὡφρόντιστος Ἔρως: τυφλὸν τὸν Πλοῦτόν φησιν, ἐπεὶ οἱ πλουτοῦντες πηροῦνται τὴν διάνοιαν. Δήμητρος δέ φασιν αὐτὸν [εἶναι υἱὸν] καὶ Ἰασίωνος ἐπεὶ τῇ τῶν καρπῶν [περιουσίᾳ ἢ] εὐφορίᾳ ἡμῶν ἰᾶται τὴν ἔνδειαν.* (*Τυφλὸς δὲ οὐκ αὐτός: ὁ Δήμητρος καὶ Ἰασίωνος υἱός.* Gen.[b.]) *ὑπὸ Διὸς δ' ἐπηρώθη*, (*ὥς φησιν Ἀριστοφάνης*, p. 4. Gen.[b.]) *ἵνα μὴ βλέ-*

19) [*Μωμᾶσθαι:*] *καταγελᾶν, μέμφεσθαι.* C. M.

---

1) //Gen.[a.b.] Phav., hic post schol. praec. hoc initio: *τοῦτο λέγει ὅτι ἰσχνή τις.* — *σκόπτει* Gen.[a.], *σκόπει* Gen.[b.] 2) *τῷ Βάττῳ* Gen.[b.] 2) *οὖν .... καλαμαία*] M. Gen.[a.], et omissis *οὖν* atque *κατὰ .... καλαμαία* Phav., *ὅτι ἀκρὶς συγκ. σοι, ἣ ἐστιν ἰσχνὴ καὶ λ. καὶ μ., λέγει ὅτι μάντις καλαμαία* vulg. 4) *καλ. τὴν ἀκρ. φησὶν* Phav. 5) *ὅτι*] Phav., *ἢ ὅτι* vulg., *ἢ ἔτι* Gen.[a.] 5) *θέρους .... φθείρει*] M. Gen.[a.], *καλάμης ἐσθίει τὸν στάχυν* Gen.[b.] (sed hic *καλάμη*) Phav. et vulg. 6) *μάντιν δὲ αὐτήν φησιν* Phav. — *γὰρ καὶ* M. Gen.[a.], *λέγει* post *μάντιν* Gen.[a.] — *ἢ* prius om. M. Gen.[a.] Phav. — *προμηνύει* M. Gen.[a.] — *λοιμὸν* Phav., ubi post *φαιν.* desunt reliqua. 7) *κάχρους* Gen.[b.] 7) *καὶ* ante *οἷς*] M. Gen.[a.], *οὖσα* vulg., quod ejecit Toup. 8) //Om. Gen.[a.b.] 13) *ἢ* et *ᾗ* om. Gen.[a.] 14) *αὑ* pro *αὐτοῦ* Gen.[a.] 14) *καὶ ταύτην* et *τε* om. Gen.[a.] In eodem adhaeret vox *ἀφρόντιστος* ex perdito scholio ad Vs. 19 reliqua. 17) //Gen.[a.b.], ille c. lemm. *οὐκ αὐτὸς ὁ πλοῦτος*, hic sine lemm. 18) *ἐπειδὴ τοὺς πλουτοῦντας ὁρῶμεν πηροῦσθαι* Gen.[b.], *πηρῶνται* vulg. ante Reisk. 20) *εἶναι υἱὸν* om. Gen.[a.b.] 20) *Ἰάσωνος* Gen.[a.b.], *βάσανος* ante Brub., *καὶ Ἰασ.* in Gen.[b.] post *δὲ* posita. 21) *περιουσίᾳ ἢ* om. Gen.[a.b.] — *ἀφορία* Gen.[a.] — *ἡμῶν* post *ἔνδειαν* Gen.[a.] 22) *Ἰασίωνος*] Adert., *Ἰάσωνος* Gen.[b.] 22) *ὑπὸ Διὸς .... ἔρχηται* om. Gen.[a.] 23) *δ' ἐπηρώθη*] 4. Gen.[b.], *δὲ αὐτὸν πηρωθῆναι φασίν* vulg. — *Aristoph. Plut.* 90. 23) *καὶ* pro *φησὶν* p.

πων ἐπὶ τοὺς δικαίους μόνους ἔρχηται. οἱ δὲ τυφλὸν αὐτόν φασι διὰ τὸ ἄκριτον.

Rec. Ἄλλως. Ὁ ἀφρόντιστος, ὡς πολυμέριμνος. τὸ γὰρ ὠφρόντιστος ἀντὶ τοῦ ὁ ἀφρόντιστος. τὸ α ἐνταῦθα ἐπίτασιν σημαίνει. τοιοῦτόν ἐστι τὸ πάθος τῶν ἐρώντων· οἱ γὰρ ἐρῶντες ἐκτήκονται ταῖς φροντίσι. σημείωσαι ὅτι δύο οἱ παλαιοὶ τυφλά φασι, τὸν Ἔρωτα καὶ τὸν Πλοῦτον. ὁ γὰρ ἐρῶν ἔστιν ὅτε ἐρᾷ γυναικὸς δυσειδοῦς, ἥτις δοκεῖ αὐτῷ καλλίστη εἶναι· ὅπερ ἐστὶ τυφλότης, ὥστε ὁ Ἔρως τυφλός, ἤγουν τυφλοποιός· ποιεῖ γὰρ τοὺς ἐρῶντας τὰ μὴ καλὰ καλὰ ἡγεῖσθαι. ὡσαύτως καὶ ὁ Πλοῦτος τυφλός· παρέρχεται γὰρ τοὺς καλοὺς καὶ κοσμίους, καὶ δίδωσιν ἑαυτὸν τοῖς κακίστοις καὶ βδελυροῖς. — Μηδὲν μέγα μηθεῦ: ὅρα ἵνα μηδὲν ἀλαζονικὸν εἴποις.

Vs. 21—23.

Rec. Οὐ μέγα μυθεῦμαι: οὐκ ἀλαζονεύομαι· σὺ δὲ μόνον θέριζε τὸ λήιον καὶ ἕνεκα τῆς κόρης μελῴδει, τραγῴδει. οὕτω γὰρ ποιῶν ἥδιον ἐργάσῃ, ὅτι μουσικός ποτε ὑπῆρχες. —

Vet. (Καί τι φιλικὸν μέλος εἰς τὴν κόρην ἀνάκρουσον. p.)

Vs. 24. 25.

Rec. Μῶσαι Πιερίδες: ὦ Μοῦσαι Πιερίδες, ἤγουν αἱ ἐν τῇ Πιερίᾳ οὖσαι, συνυμνήσατε σὺν ἐμοὶ τὴν λεπτὴν παῖδα: ὧντινων γὰρ πραγμάτων ἅψεσθε θεαί, πάντα καλὰ ποιεῖτε. — (Ἐτιμῶντο γὰρ ἐν τῇ Πιερίᾳ αἱ Μοῦσαι· αὐτόθι δὲ καὶ

20) Ὁ ἀσκόπως ἐπιπίπτων τοῖς ἀνθρώποις. M. πολυφρόντιστος. C. ὁ πολλῶν φροντίδων πρόξενος. N. — Ὥστε μὴ μεγαλορρημόνει, ἵνα μὴ τὰ ὅμοια πείσῃ. M.

21) Οὐ μεγαλορρημονῶ. M. — Κάτω τίθει θερίζων. M. τὸ λήιον τέμνων, ἐκθερίζων. L. τὸ λήιον τέμνε. P. εἰς τέλος ἄγαγε. N.

22) Ἀναβαλοῦ, ᾆσον. 6. C. M. ἀρξάμενος ἀνάκρουσον ὥσπερ ἐπὶ μουσικῆς. N.

24) Συνεπαινέσατε, σὺν ἐμοὶ ᾠδὴν [λεπτὴν] ποιήσατε. 6. συνεπαινέσατε μετ᾽ ᾠδῆς. T. — Τὴν διάλεπτον καὶ ὡραίαν. N.

---

2) φασι om. Gen.[b], ubi τὸν ἄκρ. //Om. Gen.[a.b.] 22) //Om. Gen.[a.b.] 3) //Om. Gen.[a.b.] 13) //Om. Gen.[a.b.] — 31) ᾆδε 6. 33) λεπτὴν est gl. 13) ἀλαζωνικὸν ante Kiessl. 16) ad ῥαδινάν.

γεγεννῆσθαι αὐτὰς ἔλεγον. N.) — (*Τὰν ῥαδινάν μοι*: τὴν τρυφεράν, τὴν λεπτήν· αὕτη γάρ μοι ἔσται ἀφορμὴ τῆς ᾠδῆς. *M. Gen.[a])

Vs. 26. 27.

Rec. *Σύραν καλέοντί τυ πάντες*: Συριάναν σε ὀνομάζουσι πάντες, λεπτὴν καὶ μέλαιναν ὑπὸ τοῦ ἡλίου. *Ἁλιόκαυστον* τὸ ὑπὸ ἡλίου κεκαυμένον. *μελίχρουν* δέ, ἤγουν ἐοικυῖαν κατὰ τὸ χρῶμα μέλιτι, τουτέστι σιτόχρουν· τοιοῦτον γάρ ἐστι καὶ τὸ χρῶμα τοῦ σίτου ὡς καὶ τοῦ μέλιτος. — (Ἐπεὶ οἱ Σύροι ὑπὸ ἡλίου διηνεκῶς φλεγόμενοι κεκαυμένοι τὸ δέρμα εἰσὶ καὶ μέλανες, διὰ τοῦτο καὶ ταύτην Σύραν καὶ ἡλιόκαυστον ὀνομάζει ὡς μέλαιναν. M. Q. Gen.[a])

Vet. Ἢ οἱ μὲν ἄλλοι Σύραν σε καλοῦσιν, ἐγὼ δὲ *μελίχλωρον*, οἷον μελανοχρῶτα ἠρέμα, καὶ οὐ λίαν μέλαιναν. — (Σύραν καλέουσι πάντες διὰ τὸ ἥκιστα λευκὴν αὐτὴν εἶναι. οἱ γὰρ Σύροι μέλανες. p. 3.)

Vs. 28.

Vet. *Καὶ ἁ γραπτὰ ὑάκινθος*: τὴν ὑάκινθόν φασιν ἀπὸ τοῦ αἵματος τοῦ Αἴαντος ἀναδοθῆναι τοῦ ἐν Τροίᾳ μανέντος· διά τοι τοῦτο ἔχειν ἐγγεγραμμένον αἰαῖ, τὴν ἀρχὴν τοῦ ὀνόματος τοῦ Αἴαντος. διὰ τοῦτο οὖν καὶ γραπτὴν νῦν αὐτὴν εἶπεν. ἢ γραπτὴ ὑάκινθος ἡ ἔχουσα ἐν ἑαυτῇ γεγραμμένα γράμματα, θρηνώδη δηλονότι, τὸ αἰαῖ. — (⟨*Γραπτὰ*⟩ *ὑάκινθος*: διὰ τὸ ἐπιγεγράφθαι τὸ αἰαῖ, Gen.[b]) εἶναι δὲ σύμβολον τῶν ἐπὶ τῷ Αἴαντι μυθολογουμένων. φῦναι γὰρ ἐκ

25) Ἤγουν ἅπερ ἂν μεταχειρίσητε, ῥᾴδια καὶ εὐπετῆ τὰ πάντα περαίνεσθαι ποιεῖτε. N.

26) Ἀπὸ Συρίας. M. διὰ τὸ μὴ λευκὴν εἶναι ὡς οἱ Σύροι. N.

27) Λεπτήν. M. κάτισχνον. N. — [*Ἁλιόκαυστον*:] ἤγουν μέλαιναν· τοιοῦτοι γὰρ οἱ Σύροι. M. — Αὐτὸς μόνος καλῶ σε σιτόχρουν. 6. σιτόχρουν. N. μελάγχρουν. L. P. ⟨οὐ⟩ λίαν μέλαιναν. P. ἡδεῖαν καὶ θάλλουσαν, ἢ μελανόχρουν. M.

---

1) τὴν τρ. om. M. 5) //Om. Gen.[a.b.] 9) //Gen.[a] post SchRec. Vs. 28. 13) //Om. Gen.[a.b.] 14) μέλαινα ante Heins. 18) //Gen.[b] post ξίφει in sch. seq. hoc initio: τοῦτο τὸ φυτὸν ἀπὸ τ. αἱ. φησί. 20) αἰαῖ] αἶ αἶ Gen.[b], αἲ αἴ vulg. 21) τοῦ ὀν. om. Gen.[b] 21) διὰ τοῦτο seqq. om. Gen.[b] 23) αἲ αἲ vulg. 24) αἶ αἶ cod. 24) //Gen.[b] 25) ἐπὶ τῷ αἵματι Gen.[b] — 27) περαίνεσθε cod. 30) σιτοχροαν 6. 31) μελάχρουν P.

τοῦ αἵματος αὐτοῦ φασὶ τὴν ὑάκινθον, ὅτε ἐμάνη ἐπὶ Τροίας περιπεσὼν τῷ ξίφει, ὅθεν καὶ τὸ πάθος τοῦ Αἴαντος ὑποφαίνει. εἰς ὃ Εὐφορίων ἀπιδὼν εἶπε·

πορφυρέη ὑάκινθε, σὲ μὲν μία φῆμις ἀοιδῶν
Ῥοιτείῃς ἀμάθοισι δεδουπότος Αἰακίδαο
εἴαρος ἀντέλλειν γεγραμμένα κωκύουσαν.

Rec. (<*Τρικλινίου.*> *Ὑάκινθος*: *Αἴας ἐμάνη ἐν Τροίᾳ καὶ τῷ ξίφει περιπεσὼν ἀνῃρέθη· τότε τοῦτο τὸ φυτὸν ἀνεδόθη, φασίν, ἀπὸ τοῦ αἵματος αὐτοῦ, ἐγγεγραμμένον ἔχον αἲ αἴ, τὴν ἀρχὴν τοῦ Αἴαντος ὀνόματος.* Gen.[a])

Vs. 29.

Vet. *Τὰ πρῶτα λέγονται*: *ἤγουν κατὰ τὴν πρώτην τάξιν ἀριθμοῦνται, καταλέγονται.* — (*Λέγονται*: *τὰ πρῶτα ὅμως λέγουσιν, οἷον πρωτολογοῦσιν, ἀπὸ μεταφορᾶς τῶν ἐν τοῖς ὑποκριταῖς πρωτολόγων.* Gen.[b])

Vs. 30.

Vet. *Ἁ αἶξ τὸν κύτισσον*: *ὁ κύτισος φυτόν, ὃ νεμό-*

28) *Ἡ γεγραμμένη, ἡ ἐζωγραφισμένη.* 6. *γραπτὴν λέγουσι τὴν ὑάκινθον, διότι ἐν τῷ καιρῷ, καθ᾽ ὃν ἐφονεύθη ὁ Αἴας, ἀνεδόθη βοτάνη καὶ εἶχε γραπτὸν τὸ αἲ αἴ.* L. P. *ἔχει γὰρ ἐν τοῖς φύλλοις γεγραμμένον αἲ αἴ. ἣν μυθεύονται ἐν τῷ Αἴαντος τάφῳ ἀναδοθῆναι, τὴν ἐκείνου σφαγὴν διὰ τῶν γραμμάτων θρηνοῦσαν.* M. *γέγραπται γὰρ ἐν αὐτῇ τὸ αἲ αἴ.* N.

29) [*Τά*:] *ταῦτα.* M. — *Ἤγουν ἐν τοῖς πρώτοις συναριθμοῦνται.* N. — [*Λέγοντι*:] *συλλέγουσιν ἄνθρωποι.* M.

---

1) *φησὶ* Gen.[b] 1) *Τροίαν* ante Reisk., *τῇ Τροίᾳ* Gen.[b] 2) *ὅθεν . . . ὑποφαίνει* om. Gen.[b] 3) Locus de Euphorione etiam in M. Gen.[a] extat, sequenti scholio Tricliniano adhaerens. — *εἰς ὃ Εὐφορίων ἀπιδὼν εἶπε*] Toup., *εἰς τὸν Εὐφορίωνα Φείδων εἶπεν, ἢ εἰς τὸν Εὐφορίωνα ἀπιδὼν εἶπε — διττῶς γὰρ ἐν τοῖς παρ᾽ ἡμῖν γράφεται* vulg., *ἢ εἰς . . . γράφεται* om. 3. 4., *εἰς τὸν Εὐφορίωνα εἶπε* Gen.[b], *ὡς καὶ Φείδων ἐν Εὐφορίωνι εἶπεν* M. Gen.[a] 4) *Euphor. fr.* 36. — *σοὶ μὲν* 3. 4. Gen.[b], *σὺ μὲν* 10. M. Gen.[a] — *φῆμις*] Hemsterh. ad Lucian. I p. 240 et Schaeferus ap. Kiessl., *φάτις* vulg. 5) *ῥοιτείῃν* 3. 4. 10. M. Gen.[a] et ante Brub., *ῥοιτείοις* Gen.[b] — *Αἰακίδα* 3. 4. Gen.[b] 6) Tertius versus deest in Gen.[a] — *ἀντέλλειν*] 10. M., *ἀνατέλλειν* 3. 4. Gen.[b], *ἀντελλομένου* vulg. — *γεγραμμένω* 3. Gen.[b] — *κωκυούσας* Gen.[b] 7) H. sch. in M. Triclinii nomine praescriptum esse, ex Gailii et Duebneri adnotationibus apparet, quanquam non exscripserunt. 12) //Om. Gen.[a.b.] 14) *πρωτολογοῦσιν*] *καταλογοῦσιν* cod. 15) *πρωτολόγων*] Piccolos, *προλόγων* cod. 17) //Gen.[a] hoc initio: *κύτισον*: *βοτάνη ἢ φυτόν ἐστι.* — *κύτισσος* ante Heins. — 23) *τὸ ῡ ᾱῑ* cod.

μεναι αἱ αἶγες γάλακτος πλήθουσιν. ἀπὸ κοινοῦ δὲ τὸ διώκει, ἤγουν ζητεῖ.

Vs. 31.

Rec. Ἁ γέρανος τὤροτρον: ἀρχομένου γὰρ σπόρου αἱ γέρανοι φαίνονται. ἐγὼ δὲ ἐπὶ σοὶ μανίαν ἔχω.

Vs. 32. 33.

Rec. Αἴθε μοι ἦσαν: εἴθε ἐκεκτήμην τὰ Κροίσου· ἀμφότεροι ἂν ⟨ανατεθειμένοι⟩ ἦμεν ὥσπερ χρυσοῖ τῇ Ἀφροδίτῃ. τὸ δὲ πεπᾶσθαι ἀντὶ τοῦ κεκτῆσθαι.

Vs. 34. 35.

Vet. Σχοῖμι δ' ἐγὼ καὶ καινὰς ἐπαμφοτέροις ἀμύκλας: Ἀμύκλαι πόλις Λακωνική, ὅθεν καὶ Ἀμυκλαῖον παιδίον τὸ ἐκ τῶν Ἀμυκλῶν, καὶ ἀμύκλαι εἶδος ὑποδήματος, ὡς ἐνταῦθα, ἀπὸ Ἀμυκλαίου τοῦ πρώτου ὑποδήματα εὑρόντος. — [Γράφεται καὶ] σχῆμα δ' ἐγώ: [καὶ ἔστιν ὁ νοῦς τοιοῦτος·] ὀρχούμενον δὲ ἐγὼ ἐν τῇ εἰκόνι ἐποίουν ἐμαυτὸν ἔχοντα Λακωνικὰ ὑποδήματα. ⟨ἢ⟩ ἡ ἐμὴ στήλη ἐφαίνετο ἂν ἔχουσα σχῆμα ὀρχηστοῦ καὶ ἐν τοῖς ποσὶ φοροῦσα ὑποδήματα ⟨Λακωνικά⟩.

Rec. (Ἀμύκλαι εἶδος ὑποδήματος Ἀμυκλαίων, ὥσπερ αἱ καρπατίναι Καρῶν καὶ αἱ σκυθικαὶ Σκυθῶν. N.) — (Τρικλινίου. M. Ἡ σὴ μέν, φησί, στήλη εἶχεν ἂν αὐλοὺς ἐν ταῖς χερσὶν ἢ ῥόδον ἢ μῆλον· ἡ δὲ ἐμὴ ἐφαίνετο ἂν ἔχουσα

31) Μαίνομαι. M. ἐρωτικῶς διάκειμαι. C.

32) Γράφεται καὶ οὕτως· αἴθε μοι ἧς ὅσα χροῖσον ἔχειν πόκα φαντὶ πεπάσθαι. 3. — [Ἧς:] ἐνταῦθα τὸ πεπᾶσθαι. M. — Κεκτῆσθαι, ἀφ' οὗ καὶ πῶ καὶ πῶ τὸ κτῶμαι. C.

33) Ἤτοι στήλας ἡμῶν ἀμφοτέρων χρυσᾶς ἐποιήσαμεν καὶ ἀνεθέμεθα τῇ Ἀφροδίτῃ. *L. *P. ἤγουν στῆλαι χρυσαῖ ἡμῶν ἀνέκειντο τῇ Ἀφροδίτῃ. M. — Ἀνατεθειμένοι ἦμεν. N. ἀφιερώμεθα. C.

35) [Σχῆμα:] ἔχων. v. ἔχων ὀρχηστοῦ ἔχοντος ἐν τοῖς ποσὶν ὑποδήματα. M. στολήν. 6.

1) ἀπὸ κοινοῦ seqq. om. Gen.[a] 4) //Om. Gen.[a.b.] 7) //Om. Gen.[a.b.] 8) ἀνατεθ. supplevi ex GlN. 11) //Om. Gen.[a.b.] 15) //Gen.[b.] sine circumscriptis. 16) ὀρχούμενον] Duebn., ὀρχούμενος vulg. 18) σχῆμα ... φοροῦσα om. Gen.[b.] 18) τοῖς ποσὶ φοροῦσα] p. 3. 4. et Triclin. p. 324. 1., ἀμφοτέροις τοῖς ποσὶν ante Scult., ἀμφοτέροις ποσὶν vulg. 19) Λακ. supplevi ex Tricl. p. 324. 1. et supra l. 17. 20) Ἀμυκλῶν cod. — 25) Gl. eadem manu superscripta. 28) ἀμφοτέρας L.

σχῆμα ὀρχηστοῦ καὶ ἐν τοῖς ποσὶ φοροῦσα ὑποδήματα Λακωνικά. εἰ δὲ σχοῖμι γράψεις, οὕτως ἐρεῖ· ἐγὼ δὲ σχοῖμι καὶ ἔξω καὶ ταῦτα ἅπερ σύ, καὶ ἐν τοῖς ποσὶν ἀμύκλας. M. Gen.[a])

Vs. 36.

Vet. Οἱ μὲν πόδες ἀστράγαλοί τευ: οἱ μὲν πόδες σου ἀστράγαλοί εἰσιν, οἷον εὔρυθμοι καὶ ὀρθοί. ἢ λευκοὶ ὡς οἱ ἀστράγαλοι (τῶν κυβευόντων. 4. Gen.[b]).

Vs. 37.

Vet. Ἁ φωνὰ δὲ τρύχνα: ἢ τρύχνος. τοῦτο ἐπὶ τρυφερότητος τάσσεται. ἤγουν ἡ φωνή σου δὲ μαλακή, ἐοικυῖα τρύχνῳ. τρύχνος δὲ καὶ τρύχνη εἶδος λαχάνου, ἡ κοινῶς λεγομένη ἀγριομελιντζάνα, ἱκανῶς μαλακόν. καὶ λέγεται στρύχνος· ὁ δὲ Θεόκριτος ἐξέβαλε τὸ σ διὰ τὸ μέτρον, τρύχνον εἰπών. — (Τρύχνα: εἶδος βοτάνης. τάσσεται δὲ καὶ ἐπὶ τρυφερότητος. τρύχνος γὰρ λάχανον ἱκανῶς μαλακόν. Gen.[b]) — (*Τρύχνα: βοτάνη τις ἱκανῶς μαλακὴ καὶ λεπτή. ἔστι δὲ ἣν οἱ κοινοὶ ἀγρίαν μαζιζάναν φασίν. ἐξεβλήθη δὲ τὸ σ διὰ τὸ μέτρον.* M. Gen.[a]) — *Τὸν μὲν τρόπον οὐκ ἔχω εἰπεῖν: ἀντὶ τοῦ ἀγνοῶ, εἰ μὴ ἄρα ἀμείλικτον αὐτὸν ἔχεις, ὡς μηδὲ εἰπεῖν τινὰ ἀξίως.*

Vs. 38.

Vet. Ἡ καλὰς ἄμμι ποῶν ἐλελήθει βῶκος ἀοι–

36) *Ἤγουν λευκότατοι, ἐπιτήδειοι, σχῆμα ἔχοντες ἀστραγάλων, ἤγουν ῥηκταρίων.* *L. *P.

37) *Ἁπαλὴ ὥσπερ στρύχνος.* N. *λεπτή.* 6. *τρυφερά, λεπτή. τρύχνος λάχανον ἱκανῶς μαλακόν, ἢ εἶδος βοτάνης.* Paris. — *Ἦθος.* N. *τίνος χάριν ἡ σὴ φωνὴ λεπτή.* M. Stop.

---

2) *ἐρεῖς* codd. 3) *καὶ ἔξω καὶ* om. M. 6) //Gen.[b] c. lemm. *ἀστράγαλοι τευ.* 7) *εὔρυθμοι ἀντὶ τοῦ λευκοί* Gen.[b] 8) *τῶν* om. 4. 10) //Om. Gen.[a.b.] 13) *μαλακόν*] ante Heins., *μαλακοῦ* vulg. 16) *τρύχον* cod. 18) *μαζιζώνην* et 19) *οὐ* pro *σ* Gen.[a] 19) //Gen.[b] c. lemm. *εἰπεῖν.* 20) *ἀμείλικτον*] Duebn., *ἀμίλητον* ante Heins., *ἀμίμητον* vulg. 21) *ἔχῃς* Gen.[b] 23) //Gen.[b] c. lemm. *ἄμμιν.* — 25) *ῥακτηρίων* conj. Adert. 26) *τρυφ. λεπτή*] Duebn., *τρυφ. χαλεπή* cod.

δάς: τοῦτο ὁ Μίλων εἰρωνευόμενος ἐν ἤθει φησί. συγκέκοφε δὲ τὸ ὄνομα, τὸν βουκαῖον βοῦκον [καὶ βῶκον] εἰπὼν ὑποκοριστικῶς.

Rec. (Καταγελῶν αὐτοῦ καλὰς ᾠδὰς λέγει ποιεῖν, ἐπεὶ ἐρωτικὸν ᾄδει ἐργάτης ὤν. διὸ καὶ τὸ ὄνομα αὐτοῦ συγκέκοφε βοῦκον ὑποκοριστικῶς ἀντὶ τοῦ βουκαῖον εἰπών. M. Gen.[a])

Vs. 39.

Vet. Ὡς εὖ τὰν ἰδέαν: καὶ τοῦτο κατ' εἰρωνείαν· ὡς εὖ τὸ τῆς ἁρμονίας εἶδος ἐρρύθμισεν ὁ βουκαῖος.

Vs. 40.

Vet. Ὤ μοι τῶ πώγονος: πώγωνα τὰ γένειά φησιν. ὁ δὲ λόγος ὑβριστικός· τί τὰ γένειά σοι μωραίνοντι; ἠλιθίως γὰρ αὐτὰ ἀνέφυσας.

Vs. 41. 42.

Vet. Θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λυτιέρσα: τὸ τῆς εἰρωνείας ἐξέφηνεν ὁ Μίλων καταγελῶν αὐτοῦ, ὅτι ἐργάτης ὢν ἐρωτικὸν ᾄδει. δυνατὸν δὲ ταῦτα λέγειν καὶ τὸν βουκαῖον. — Θέασαι δέ φησι καὶ ταύτην τὴν τραγῳδίαν τοῦ Λυτιέρσου, ἣν μέλλω ᾆσαι. ἱστορία. οὗτος δὲ ὁ Λυτιέρσης

39) Ἱκανῶς τὴν τραγῳδίαν ἐποίησε καὶ ἀρίστως αὐτὴν ἥρμοσεν· ἢ ἄριστα τοῦ κάλλους ἐστοχάσατο τῆς ἐρωμένης. *L. *P. λίαν ἐπιστημόνως. C. — Τὸ εἶδος. C. — Εὐρύθμως ἡρμόσατο τὴν ᾠδήν. M. μεμετρημένως ἐποίησεν. C. τὴν μορφὴν καὶ τὴν διάθεσιν τοῦ μέλους ἥρμοσεν. N.

40) Μάτην. F. μωρῶς. C. P. [ἀλαθίως:] ἀλαθήτως, ἤγουν ⟨οὐ⟩ λανθανόντως. M. [ἀληθείως:] ἀλαθίστι. *k. sec.

41) Ταύτην τὴν ᾠδήν, ἣν ἐποίησα τῷ θείῳ μου Λυτιέρσῃ. M. — Θεριστὴς ἦν, ὃν ἀπέκτεινεν Ἡρακλῆς. C.

---

1) εἴθει ante Brub. 1) τοῦ δὲ βουκαῖος ὑποκοριστικῶς ὁ βοῦκος συγκέκοφε τὸ ὄνομα Gen.[b], ubi adhaerent τοῦ πώγωνος ex lemmate perditi scholii ad Vs. 40. 4) γελῶν Gen.[a] 6) ἀντὶ καίου Gen.[a] 8) //Om. Gen.[a.b.] 9) ἐρρύθμισεν] p. ut conj. Hemsterh., ἐρύθμισεν 3., ἐρύθμησεν vulg. 11) //Om. Gen.[a.b.] 12) ὅτι τὰ γ. σου μωραίνουσιν vulg. 15) //Gen.[b]. sine lemm. 16) ἐπειδὴ pro ὅτι Gen.[b] 17) δυνατὸν seqq. om. Gen.[b] 18) //Gen.[b] post sch. seq. et inde ab οὗτος Gen.[a] — ἄλλως. θέασαι φησὶ καὶ τ. μου τ. τρ. ἣν περὶ τοῦ Λυτιέρσα μ. ᾆ. 4. Gen.[b], ubi φησὶ Wart. et (Gen.[b]), φασι 4.[2], Λυτιέργου Gen.[b] 18) In p. teste Wartono p. VI adscripta leguntur: τραγῳδίαν: τουτέστιν ᾠδὴν ἐν τῇ συνηθείᾳ νέων Ἑλλήνων. 19) ἱστορία om. Gen.[a.b.], δὲ ὁ om. Gen.[a] — 25) μωρὸς C. — ἀλαθίτως cod.

ᾤκει Κελαινὰς τῆς Φρυγίας, υἱὸς τυγχάνων νόθος τοῦ Μίδου. γεωργὸς δὲ ὤν, τοὺς παριόντας τῶν ξένων εὐωχῶν ἠνάγκαζε θερίζειν μετ' αὐτοῦ. εἶτα ἑσπέρας ἀποτέμνων αὐτῶν τὰς κεφαλὰς τὸ λοιπὸν σῶμα ἐν τοῖς δράγμασι συνειλῶν ᾖδεν. Ἡρακλῆς δὲ ὕστερον τοῦτον ἀποκτείνας ἔρριψεν εἰς τὸν Μαίανδρον ποταμόν, ὅθεν καὶ νῦν οἱ θερισταὶ κατὰ Φρυγίαν ᾄδουσιν αὐτὸν ἐγκωμιάζοντες ὡς ἄριστον θεριστήν. τοῦτον δέ φησιν Ἀπολλόδωρος ᾠδὴν εἶναι θεριστῶν λέγων οὕτω· „καθάπερ ἐν μὲν θρήνοις Ἰάλεμος, ἐν δὲ ὕμνοις Ἴουλος, ἀφ' ὧν καὶ τὰς ᾠδὰς αὐτὰς καλοῦσιν, οὕτω καὶ τῶν θεριστῶν ᾠδὴ Λυτιέρσας.“ εἶτα ἑξῆς ᾄδων ὁ Βάττος τὴν τοῦ Λυτιέρσου ᾠδήν, φησὶ Δάματερ πολύκαρπε. αὕτη ἐστὶν ἡ τοῦ Λυτιέρσου ᾠδή. — (Θᾶσαι: ὁ λόγος ἐκ τοῦ βουκαίου· δυνατὸν δὲ καὶ τὸν ἕτερον ταῦτα λέγειν. ὁ δὲ Λυτιέρσας ἦν Μίδου νόθος παῖς. γεωργὸς δὲ ὢν τοὺς παριόντας θερίζειν ἠνάγκαζε, καὶ κατὰ τὴν ἑσπέραν συναπέτεμε τοῖς δράγμασιν αὐτῶν τὰς κεφαλάς. ὃν ὁ Ἡρακλῆς ὕστερον ἔκτεινε. Gen.[b])

Rec. (*Θᾶσαι: θέασαι καὶ ἄκουσον. ἔστι τὸ σχῆμα αἴσθησις ἀντὶ αἰσθήσεως.* Gen.[a])

Vs. 44.

Vet. *Σφίγγετ' ἀμαλοδέται: ἀπέστρεψε τὸν λόγον πρὸς τοὺς ἑπομένους καὶ τὰ θεριζόμενα συνδεσμοῦντας. δρά-*

42) *Πολλῶν καρπῶν καὶ πυρῶν χορηγέ.* N.
43) *Καλὴν ἔχον ἐργασίαν.* M. *εὐκόλως ἐργαζόμενον.* T.
44) *Ὦ θερισταί.* L. P. *οἱ τὰ δεμάτια δεσμοῦντες.* M. *οἱ δεσμοῦντες τοὺς στάχυας.* C. — *Διερχόμενος τὴν ὁδόν.* M.

---

1) *οἰκῶν* Gen.[b], ubi desunt *υἱὸς .... ὤν.* 1) *Μύδου* Gen.[a] 2) *ὢν* om. Gen.[a] 2) *περιόντας* Gen.[b] 3) *ἀποκόπτων* Gen.[b] 4) *συνελῶν* Gen.[b] 5) *Ἡρ. δὲ ἀναιρήσας αὐτὸν κατὰ τὸν Μ. π. ἔρριψεν* Gen.[b] 6) *κατὰ Φρίανος* Gen.[b] 8) *τοῦτον δὲ .... Λυτιέρσας* in Gen.[b] sequenti scholio adhaerent. — *ὁ Πολύδωρος* Gen.[a] — *Apollod. fr.* 37. 10) *ᾠδὰς οὕτω καλ.* M. Gen.[a] 11) *ᾠδὴν* Gen.[b] — *Λυτιέρσης* Gen.[a], ubi seqq. desunt. 12) *Δάμαρτε* Gen.[b], in quo ut in Call. *φησι Δ. π.* recte junguntur, quum inde ab Sal. vulgo post *φησι* distinctum sit, ut *Δαμ. πολ.* sequentium lemma sint, quae a Gen.[b] absunt. 13) //Post SchVet. Vs. 46. 47. 15) *ἦν Μίδου*] Adert., *κώμιδος* cod. 15) *παριόντας*] Duebn., *παρόντας* cod. 19) //Post schol. ad Vs. 54. 55. 22) //Gen.[b] sine lemmate. — *ἀπέστρεψε*] Gen.[b] vulg., *ἀπέστρεφε* Reisk. seqq. 23) *συνδεσμοῦντας ... πληρ.* om. Gen.[b]

γματα δὲ τὰ πληροῦντα τῶν σταχύων τὴν ἀριστερὰν παρὰ τὸ δράττειν. ὅθεν καὶ δραχμή, ἡ πληροῦσα τὴν χεῖρα τῷ κέρματι. ἀμάλη δὲ συνέστηκεν ἐκ δραγμάτων ἑκατὸν ἢ καὶ διακοσίων.

Vs. 45.

Vet. *Σύκινοι ἄνδρες*: ἤγουν ἀσθενεῖς καὶ ἀχρεῖοι, ὅτι τὸ τῆς συκῆς ξύλον εὔθραυστον, ἀσθενὲς καὶ ἀδύνατον. ὅθεν καὶ παροιμία *συκίνη ἐπικουρία*, ἡ μηδὲν ὠφελοῦσα ἀπὸ μεταφορᾶς τῆς συκῆς. — (*Σύκινοι ἄνδρες*: ἀσθενεῖς, ἀχρεῖοι ὡς καὶ τὸ τῆς συκῆς ξύλον. Gen.[b.])

Vs. 46. 47.

Vet. *Ἐς βορέην ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὔμμιν*: παρατετηρημένως λέγει τοὺς τὰς ἀμάλας θημονοθετοῦντας οὕτω τιθέναι ὥστε τοὺς στάχυας ἐμπνεῖσθαι ὑπὸ τοῦ ζεφύρου ἢ βορέου. τὸν γὰρ κόκκον ἐνδοτέρω ὄντα οὕτω συμβαίνει πιαίνεσθαι ἐμπνεόμενον. *κόρθυος* δὲ τοῦ ἐκ τῶν ἀμαλῶν συγκειμένου θημῶνος. — Ἄλλως. *Κόρθυν* τὸν σωρὸν (τοῦ σίτου Gen.[b.]) λέγει. ὅταν δὲ τὰ δράγματα δεθῇ, τοὺς στάχυας σωρεύουσι πρὸς ἀλλήλους νενευκότας ἔσωθεν· τὰ δὲ κῶλα αὐτῶν, ἅ τινες αὐλοὺς καλοῦσιν, ἔξω τετραμμένα ἐῶσιν, ὅπως διὰ τῶν αὐλῶν ὁ σῖτος ῥιπιζόμενος πιαίνηται καὶ ἄβροχος καὶ ἄσηπτος διαμείνῃ. ἡ κόρθυς δὲ κλίνεται τῆς κόρθυος, ὡς ἡ πίτυς τῆς πίτυος.

45) [*Σύκινοι*:] ἀσθενεῖς· τοιοῦτον γὰρ τὸ φυτόν [ἀσθενές]. M. παροιμία ἐπὶ ἀσθενοῦς βοηθείας. P. — Ὁ μισθὸς ὁ δοθησόμενος ὑμῖν. L. P. ὁ εἰς αὐτοὺς καταβληθείς. M. ὃν δηλονότι λήψονται οἱ θερισταί. N. ἤγουν δι' ὃν νῦν ἐργάζονται. *I.

46) Τοῦ δεματίου. C. L. M. Stop. τῆς καλάμης. N. τῆς κορυφῆς. P. ὁ σωρὸς τοῦ σίτου. P.

---

1) ἀσταχύων Gen.[b.] 1) παρὰ τὸ δρ. om. Gen.[b.] 2) ἔνθεν καὶ ἡ δρ. πλ. τ. χέρα Gen.[b.], δραγμὴ p. 3) ἀμάλη seqq. om. Gen.[b.] 6) //Om. Gen.[a.b.], habet Phav. 7) εὔθραστον ante Heins. (recte Phav.) 12) //Gen.[b.] c. lemm. *ἡ τομά.* 13) παρατετηρημένως] p. Gen.[b.] et infra p. 328. 1. M., -μένον vulg. 13) θημοθ. Gen.[b.] 15) ὄντα, συμβαίνει et κόρθυος seqq. om. Gen.[b.] 17) //Gen.[b.] hoc initio: *τᾶς κόρθυος*: τῆς σωροῦ omisso λέγει. 18) γὰρ pro δὲ Gen.[b.] 20) αὐτοῦ Gen.[b.] 20) τετραμμένα] τετραμμένους Gen.[b.] Vulc., ἐστραμμένα vulg. 21) συμπίπτηται pro πιαίν. Gen.[b.] et, nisi fallor, Vulc., vid. ad pag. 328. 15. 22) ἄσηπος Gen.[b.], ubi desunt ἡ κόρθυς seqq. — 25) ἡμῖν codd. 27) δι' ὃ cod. 28) δεσματίου sine τοῦ Stop.

Rec. (*Παρατετηρημένως λέγει πρὸς τοὺς τὰς ἀμάλας καὶ τὰ δράγματα θημονοθετοῦντας, οὕτω τιθέναι ὥστε τοὺς μὲν στάχυας ἐντὸς εἶναι, τὴν δὲ τομὴν ἐκτὸς πρὸς ζέφυρον ἢ βορρᾶν ὁρῶσαν, οὕτω γὰρ συμβαίνει* 〈*τὸν σῖτον*〉 *καὶ πιαίνεσθαι ἐμπνεόμενον καὶ ἄβροχον καὶ ἄσηπτον διαμένειν. κόρθυς δέ ἐστι τὸ κοινῶς δεμάτιον, ὃ καὶ κλίνεται κόρθυος ὡς βότρυος.* M. Gen.[a.])

Vs. 48—51.

Vet. *Σῖτον ἀλοιῶντας φεύγειν τὸν μεσαμβρινὸν ὕπνον: ἑτέρα παραίνεσις· δεῖ τοὺς ἀλοῶντας μεσημβρίας ἀλοᾶν.* — (*Τὸ μεσημβρινόν: ἀντὶ τοῦ μὴ ἐν μεσημβρίᾳ καθεύδειν ἀλλ' ἐνεργεῖν.* Gen.[b.]) *ἐπιτηδειότατος γάρ ἐστιν ὁ μεσημβρινὸς καιρὸς πρὸς τὸ ἀλοᾶν. φλέγοντος γὰρ τοῦ ἡλίου τηνικαῦτα τὴν καλάμην* (*τοῦ σίτου* Gen.[a.]) *τὸ ἄχυρον συμβαίνει λεπτότερον γίνεσθαι.*

Rec. (*Ἐκφεύγειν οὖν χρὴ τὸν μεσημβρινόν φησιν ὕπνον ἀλοῶντας· ἀμῶντας δὲ ὑπνοῦν μὲν ἐν αὐτῷ — πίπτει γὰρ ὁ στάχυς ὑπὸ τοῦ ἡλίου φλεγόμενος — ἄρχεσθαι δὲ ἀμᾶν ἀρχομένης ἡμέρας, ὅτε ὁ κορυδαλὸς ἐγείρεται, ὁ κοινῶς λεγόμενος πίπυλος, καὶ λήγειν τοῦ ἔργου, ὅτε πάλιν οὗτος ὑποστρέφει πρὸς κοίτην.* M. Gen.[a.])

Vet. *Καλάμη δὲ τὸ κατωτέρω τοῦ στάχυος, ὅσον τε σὺν τῷ στάχυϊ τέμνεται καὶ ὅσον ἐν τῇ γῇ ἄτμητον ἀπολιμπάνεται.* — *Ἄρχεσθαι δ' ἀμῶντας ἐγειρομένῳ κορυ-*

47) *Φυλάττεται, οὐ σήπεται.* L. *πίων μένει καὶ ἄσηπτος.* N. *τρέφεται.* M.

48) *Οἱ ἐν ἅλωνι συντρίβοντες τὸν σῖτον φεύγουσι τὸν ὕπνον κατὰ τὴν μεσημβρίαν.* 4. 5. *L. *N. *P. — *Χρή.* 3. *ἁλωνίζοντας.* D.

49) [*Τῆμος δέ*:] *τότε γάρ.* M. — *Γίνεται.* M. N. Stop.

50) *Δεῖ ἄρχεσθαι.* L. P. *θέλετε.* M. — *Κορυδαλοῦ τοῦ λεγομένου πιπύλου.* M. *κατὰ τὴν πρωίαν.* L.

---

1) Verba ante *οὕτω* om. Gen.[a.] 2) *ὡς τοὺς* Gen.[a.] 3) *αὐτὸς* pro *ἐκτὸς* Gen.[a.] 4) *βορᾶν* Gen.[a.] 4) Primum *καὶ* om. Gen.[a.] 9) //Om. Gen.[a.b.] 10) *ἀλοιῶντας* ante Xyl. 12) //Gen.[a.b.] — *ἐπιτήδειος* Gen.[b.], *φησὶν* pro *γάρ ἐστιν* Gen.[a.] 13) *μεσημβρ.* om. Gen.[b.], *ὁ καιρὸς ὁ μεσ.* Gen.[a.] 13) *φρύγοντος* Q. Gen.[b.] 14) *τηνικαῦτα* om. Gen.[b.] 15) *συμπίπτηται* pro *συμβαίνει* Vulc., quae lectio potius supra ad pag. 327. 21. pertinere videtur. 16) //Etiam in M. post sch. praec. 16) *ὕμνον* et *ὑμνοῦν* Gen.[a.], ubi *δὲ* deest. 19) *ὁ κορ.* post *πίπυλος* M. 19) *λεγόμενος* om. Gen.[a.] 22) //Om. Gen.[a.b.] 23) *ἀπολιμπ.*] p., *ὑπολ.* vulg. 24) //Gen.[b.] c. lemm. *κορυδαλῷ.* — 27) *κατὰ τ. μ.* om. 4. 5.

δαλῶ: (ὁ γὰρ κορυδαλὸς κατὰ τὸ ἀμφίλυκον ἵπταται ἐπὶ νομῇ. Gen.[b.]) δεῖ (οὖν Gen.[b.]) φησὶ τοὺς ἀλοῶντας μεσημβρίας ἀλοᾶν (διὰ τὸ ἐπιτήδειον εἶναι τὸν καιρόν· Gen.[b.])· τοὺς δὲ ἀμῶντας ἄρτι λευκαινομένης τῆς ἠοῦς ἄρχεσθαι τοῦ ἀμητοῦ· λήγειν δὲ ἐπισκιαζομένης ἤδη τῆς γῆς. *Ἐλινύσαι δὲ τὸ καῦμα*: ἤτοι τὸ μέσον τῆς ἡμέρας ἠρεμεῖν. [βραδῦναι· τὸ θέμα ἐλινύω τὸ βραδύνω.] οὐκ ἀσκόπως δὲ τοῦτο λέγει· ὁ γὰρ κορυδαλὸς τῶν ὀρνέων καὶ πρῶτος περὶ τὸ λυκόφως ἐπὶ τὰς νομὰς ἀφικνεῖται καὶ τελευταῖος ὑποστρέφει (εἰς τὴν κοίτην Gen.[b.]).

Vs. 52. 53.

Vet. *Εὐκτὸς ὁ τῶ βατράχω παῖδες βίος*: μακάριος. ἐπισκώπτει δὲ τὸν ἐργοδότην ὡς μὴ αὔταρκες ποτὸν παρεχόμενον.

Rec. *Εὐκτὸς* δὲ ὁ εὐχῆς ἄξιος καὶ εὐκταῖος· ἀπευκτὸς δὲ καὶ ἀπευκταῖος ὁ μισητός. — (Ἐπισκώπτει τὸν ποτὸν αὐτοῖς παρεχόμενον ὡς βραδέως διδόντα. M.)

Vs. 54. 55.

Vet. *Κάλλιον ὦ 'πιμελητά*: ὁ λόγος πρὸς τὸν ἐπιστάτην τῶν θεριστῶν ὀλίγην τροφὴν αὐτοῖς παρεχόμενον. — Ἄλλως. Τὸ ⟨ὦ⟩ *ἐπιμελητὰ* ἀντὶ τοῦ ὦ ἐργοδότα, ὃν δὴ

51) Ὑπνοῦντος ἐκείνου. M. τοῦ θέρους, εὕδοντος κορυδαλοῦ, ἀναπαύσασθαι. L. P. — Ἀναπαυθῆναι κατὰ τὸ μεσημέριον. M.

52) Ὁ λόγος πρὸς τὸν ἐργοδότην. *εὐκτός*, παρόσον ὁ βάτραχος οὐ λείπει ὕδατος. *I. — Οὐ διὰ φροντίδος ἔχει. M. οὐ φροντίζει. C. οὐ ζητεῖ. T.

53) Τὸ ποτόν. N. — Διδόντα. L. P. δώσοντα. M. παρέχοντα. N.

54) Ὦ ἐπιστάτα τῆς ἐργασίας ἡμῶν. N. — *Φακὸς* ὁ ἀνέψητος, φακῆ δὲ ἡ ἐψημένη. M. Phav.

---

1) ἐπὶ νομῇ] Duebn., ἐν διανομῇ cod., ἐν νομῇ Adert. 2) ἀλοῶντας Gen.[b.], ἀλοῦντας ante Heins., ἀλῶντας vulg. ante Reisk. — ἐν μεσημβρίᾳ ἀλοᾶν Gen.[b.] 3) καρὸν cod. 5) ἤδη om. Gen.[b.] 5) κλίνοντας pro ἐλινύσαι δὲ Gen.[b.] 6) τουτέστι pro ἤτοι et ἠρεμεῖν Gen.[b.] 6) βραδῦναι ... λέγει om. Gen.[b.] 7) ἐλινύω] ante Heins., ἐλιννύω vulg. 8) δὲ pro γὰρ Gen.[b.] — κορυδαλὸς] Gen.[b.] et ante Heins., κορυδαλλὸς vulg. 8) καὶ] add. Gen.[b.] 8) περὶ τὸ λυκ. om. Gen.[b.] 9) τὰς νομὰς καθίπτατai sine ἐπὶ Gen.[b.] 9) εἰσέρχεται pro ὑποστρέφει Gen.[b.] 12) // Gen.[b.] hoc initio: ὁ τῶ βατράχω: μακάριος βίος. 13) παρεχ. αὐτάρκη πόσιν Gen.[b.] 15) //Om. Gen.[a.b.] 19) //Gen.[b.] c. lemm. ὦπιμελητά. 20) αὐτοῖς] αὐτοῦ Gen.[b.], αὐτῷ vulg. 21) //Om. Gen.[a.b.] — 28) φακός ἐστιν Phav. 29) φακὴ M.

ἐργοδότην φιλάργυρόν φησι. — *Κύμινον*: τοῦτο παρ' ὑπόνοιαν· ἔδει γὰρ εἰπεῖν τὸ κρέας. ἢ κάλλιον ὦ ἐπιστάτα ἕψειν σε τὸν φακὸν ὁλόκληρον· καὶ ὅρα ἵνα μὴ ἐπιτάμῃς, ἤγουν σχίσῃς, τὴν χεῖρα καταπρίων, αὐτὸν δηλονότι, ὡς οἱ τὸ κύμινον, καθὰ εἰώθαμεν τοὺς ἄγαν φειδωλοὺς κυμινοπρίστας καλεῖν. σκώπτει δὲ αὐτὸν ὁ λόγος ὡς φειδωλόν.

Rec. (Ἐπιμελητήν φησι τὸν παριστάμενον καὶ πρὸς τὸ ἔργον αὐτοὺς προτρεπόμενον· παρ' ὑπόνοιαν δὲ *τὸν φακὸν* λέγει καὶ *τὸ κύμινον* ἀντὶ τοῦ τὸ κρέας. σκώπτει δὲ αὐτὸν ὡς φειδωλόν· καὶ γὰρ εἰώθαμεν τοὺς ἄγαν φειδωλοὺς κυμινοπρίστας καλεῖν. M. Gen.[a.]) — (Σκώπτει τοῦτον ὡς φιλάργυρον καὶ γλίσχρως διδόντα τοῖς θερισταῖς τὴν τροφὴν καὶ τὸ μίσθωμα. N.)

Vs. 56—58.

Vet. *Ταῦτα χρὴ μοχθεῦντας ἐν ἁλίῳ ἄνδρας ἀεῖδεν*: τινὲς ἐκ τοῦ Μίλωνος λέγουσιν εἶναι τὸν λόγον ἀπὸ τοῦ *ἦ καλὰς ἄμμε ποῶν ἐλελήθει βῶκος ἀοιδὰς* μέχρι τέλους τοῦ εἰδυλλίου. ἄλλοι δὲ λέγουσιν, ὅτι ἐκ τοῦ Μίλωνός ἐστιν ὁ λόγος τὸ *ἦ καλὰς ἄμμε ποῶν* μέχρις *ὤμοι τοῦ πώγωνος, ὃν ἀλιθίως ἀνέφυσα*· τὸ δὲ μετὰ ταῦτα, ἤγουν τὸ *θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λυτιέρσα* λέγουσι τὸν Βάττον λέγειν μέχρι τοῦ *μὴ ἐπιτάμῃς τὴν χεῖρα καταπρίων τὸ κύμινον*· τὸ δὲ ἑξῆς ὡς ἀπὸ τοῦ Μίλωνος, ἤτοι τὸ *ταῦτα χρὴ μοχθεῦντας* καὶ τοὺς μετὰ ταῦτα δύο στίχους.

Rec. Ἄλλως. *Ταῦτα χρὴ μοχθεῦντας*: ταῦτα, τὰ μέλη τὰ προειρημένα δηλονότι, χρὴ τοὺς θερίζοντας ᾄδειν, καὶ οὐχὶ ἐρωτικὰ ὥσπερ σὺ ποιεῖς βουκαῖε δηλονότι.

Vet. Ἢ (*μοχθεῦντας*: ἤγουν Gen.[b.]) ἐνδέχεται τοὺς

55) Σκόπει. N. — Κόπτων. M. ἠκριβωμένως σχίζων. N.
56) Οὐ μὴν ἔρωτας. M.
57) [*Λυμηρόν*:] τόν σε λυμαινόμενον. M. βλαπτικόν. C. [*λιμηρόν*:] σφοδρόν, μέγαν. 6. T. ἀναλωτικὸν ὥσπερ ὁ λιμός, δαμαστικόν. N.

---

1) ἐργοδότα ante Brub. 1) //Gen.[b.] — *κύμινον: τοῦτο*] Gen.[b.], τὸ δὲ τὸν φάκον ἕψειν vulg. 6) σκώπτει seqq. om. Gen.[b.] 10) εἰώθαμεν] εἰώθασι μὲν Gen.[a.], εἰώθασι M., cf. l. 5. 15) //Om. Gen.[a.b.] 20) ἀνέφυσα] 3., ἀνέφυσας vulg. 21) τῶ om. ante Reisk. 26) //Om. Gen.[a.b.] 29) //Gen.[b.]

θερίζοντας τοῦ θερισμοῦ φροντίζειν καὶ μὴ τοῦ ἔρωτος. ὁ λόγος ἐκ τοῦ Μίλωνος· οἱ δὲ καὶ τοῖς ἐπάνω ταῦτα συνάπτουσι. — Τὸν δὲ τεὸν βουκαῖε πρέπει λιμηρὸν ἔρωτα: περὶ δὲ τοῦ ἔρωτός σου ὦ Βάττε τοῦ πτωχοῦ προσῆκόν ἐστι τῇ μητρί σου λέγειν ἐν τῇ κοίτῃ κατὰ τὸν ὄρθρον κειμένῃ, ἢ ἀνισταμένῃ ὄρθρου, καὶ μὴ νῦν ἐμοί. τὸ δὲ λιμηρὸν ἀντὶ τοῦ πτωχόν.

Rec. Ἢ χρὴ δέ σε τὸν σαυτοῦ ἔρωτα πρὸς τὴν μητέρα λέγειν, ὅτε γρηγορεῖ ἐν τῇ κοίτῃ. — (Κατ' εὐνὰν ὀρθρευοίσᾳ: εἰς τὴν σὴν εὐνὴν πρωῒ ἐρχομένῃ· ἔθος γὰρ ταῖς μητράσιν ἐπισκέπτεσθαι τοὺς παῖδας πρὸς τὴν εὐνὴν ἐρχομένας. *M. Gen.[a])

Idyll. XI.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Κύκλωψ καὶ Γαλάτεια. προλογίζει δὲ ὁ Θεόκριτος πρὸς τὸν Νικίαν. — (Πρὸς Νικίαν ἰατρὸν ὁ Θεόκριτος διαλέγεται. I. Q.) — Δωρίδι διηγηματικόν. M. — Διηγηματικὸν τὸ εἰδύλλιον. Gen.[a])

(Τοῦ αὐτοῦ Τρικλινίου. M. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων πα', ὧν τελευταῖος· μουσίσδων· ῥᾷον δὲ διᾶγ', ἢ χρυσὸν ἔδωκεν. M. Gen.[a])

Vs. 1—18.

Vet. Οὐδὲν ποττὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο Νικία, οὔ τε ἔγχριστον ἐμοὶ δοκεῖ, οὔ τ' ἐπίπαστον: [ὁ νοῦς·] οὐδὲν ἐρωτός μοι δοκεῖ φάρμακον πεφυκέναι ὦ Νικία εἰ μὴ ἡ παιδεία καὶ αἱ Μοῦσαι. ταύταις γὰρ ὁ Κύκλωψ πρὸς διαγωγὴν τοῦ ἔρωτος τῆς Γαλατείας ἐχρῆτο. καὶ Φιλόξενος τὸν Κύκλωπα ποιεῖ παραμυθούμενον ἑαυτὸν

58) *Κατ' ὄρθρον ἱσταμένῃ.* L. P. *εἰς εὐνὴν γρηγορούσῃ.* C.

---

2) τὰ pro τοῖς Gen.[b] 3) //Om. Gen.[a.b.] 8) //Om. Gen.[a.b.] 10) σὴν om. Gen.[a.] 10) τῷ πρωῒ M. 12) ἐρχομένους Gen.[a.] 17) Haec in Gen.[a.] adhaerent hypothesis alterius parti priori. 20) καὶ τὰ λοιπὰ pro διᾶγ' seqq. Gen.[a.] 23) //Gen.[a.b.], ubi hypothesi adhaeret ut in B. D. L. Q., eique priori post Μιλησίου in Gen.[a.], post ἀναγραφῇ in reliquis. Hi libri omnes om. lemma et ὁ νοῦς, tum ὦ Νικία, Gen.[a.] praeterea maximam scholii partem ταύταις γὰρ .... ἐπαοιδάν.

ἐπὶ τῷ τῆς Γαλατείας ἔρωτι καὶ ἐντελλόμενον τοῖς δελφῖσιν, ὅπως ἀγγείλωσιν αὐτόν, ὅτι ταῖς Μούσαις τὸν ἔρωτα ἀκεῖται. καὶ Καλλίμαχος·

ὡς ἀγαθὸς Πολύφαμος ἀνεύρατο τὰν ἀοιδάν,
αἱ Μοῦσαι τὸν ἔρωτα κατισχναίνοντι.

Rec. Ἄλλως. Ὦ Νικία, οὐδεμία θεραπεία ἄλλη ἐστὶ πρὸς τὸν ἔρωτα παρὸ αἱ Μοῦσαι· αὗται γὰρ θεραπεύουσι τὸν ἔρωτα. τὸ δὲ τοιοῦτο φάρμακον κοῦφον καὶ χάριεν γίνεται εἰς τοὺς ἀνθρώπους, δύσκολον δὲ κατὰ τὴν εὕρεσιν. γινώσκεις δὲ καὶ σὺ τοῦτο ἐπιστημόνως, ὡς ἰατρὸς καὶ φίλος ταῖς Μούσαις, καὶ τούτου παράδειγμα ὁ Κύκλωψ. εὐκολώτατα γὰρ ἐκεῖνος ἐθεράπευε τὸν Ἔρωτα μελουργῶν καὶ ταῖς Μούσαις προσέχων, ὅτε ἠράσθη τῆς Γαλατείας νέος ὢν καὶ ἄρτι τὴν ἔκφυσιν τῶν γενείων ἐν τῷ πώγωνι δεικνύων. ἐκινήθη δ' εἰς ἔρωτα οὐχ ὑπὸ μήλων ἢ ῥόδων ἢ ὑπὸ φαύλων τινῶν, λέγω κ ι κ ί ν ω ν, τουτέστι τριχῶν, ἀλλ' ὑπ' ὁλοῶν μανιῶν, ὥστε καὶ τὰ προσόντα αὐτῷ ἡγεῖσθαι πάρεργα. καὶ γὰρ αἱ ὄϊες, αὐτοῦ ᾄδοντος ἐπὶ τῆς ἠιόνος, ἐκ τῆς νομῆς μόναι ἐπανῆλθον εἰς τὸ αὔλιον, τουτέστιν εἰς τὴν μάνδραν· αὐτὸς δὲ καθήμενος ᾖδεν ἔχων ἐκ τῆς Ἀφροδίτης ἐγκάρδιον ἕλκος, ὅπερ ἐνέπηξε τῷ ἥπατι αὐτοῦ.

Vs. 1—4.

Rec. Ἰστέον ὅτι τῶν φαρμάκων τὰ μέν εἰσι χριστά, ἤγουν ἅπερ χριόμεθα εἰς θεραπείαν· τὰ δὲ ποτά, ἤγουν ἅπερ πίνομεν· τὰ δὲ ἐπίπαστα, ἤγουν ἅπερ ἐπιπάττομεν. — (Τρικλινίου. Τὴν σοφίαν μόνην φησὶ δύνασθαι τοὺς ἔρωτας καταστέλλειν, τἄλλα δὲ τῶν φαρμάκων ἀδυνάτως ἔχειν. εἴδη δὲ

1) *Πέφυκε.* L. N. P. *ὑπάρχει.* M. *ἐστί, πέφυκε. χρόνος ἀντὶ χρόνου κατὰ ἀνθυπαλλαγήν.* r. — *Θεραπείαν φέρον.* M.

2) *Χριόμενον.* M. N. — *Ἢ τὸ πινόμενον ἢ τὸ ἐπιπασσόμενον.* L. P. *πασσόμενον.* M. *ἐπιπασσόμενον ἢ δι' ᾠδῆς γινόμενον.* *N.

---

1) *δελφοῖσιν* Gen.^{b} 2) *αὐτὸν*] p. B. D. L. Q., *αὐτῷ* Can. Gen.^{b} vulg., *αὐτῇ* Reisk. seqq. — *ὅτι*] p. B. D. L. Q. Can. Gen.^{b}, *ὅπως* vulg. 2) *ἀνακεῖται* p., *ἀσκεῖται* Can. Vulc., *κεῖται* Gen.^{b} 4) *Callim. Epigr.* 48 ex AP. XII, 150, ubi rectius *ἀγαθὰν* et *ἐπαοιδάν.* 5) *κατισχναίνοντι*] AP., *κατίχανον* p. Q.^{4} Gen.^{b} et ante Brub., *κατίσχανον* B.^{3} D.^{3} L.^{3} Q.^{3} et vulg., *ἐτίχανον* Can. 6) //Om. Gen.$^{a.b}$ 18) *κιόνος* ante Heins. 23) //Om. Gen.$^{a.b}$ 24) *χριώμεθα* ante Heins. 25) *Τρικλινίου* om. Gen.^{a} 27) *ἔχει* M. — 30) L. in textu habet *ἐπίπιστον* (*α* suprascr.).

φαρμάκων τέτταρα· βρωτόν, πιστόν, χριστὸν καὶ παστόν. βρωτὸν μὲν οὖν ἐστι τὸ τρωγόμενον, πιστὸν τὸ πινόμενον, χριστὸν τὸ χριόμενον, παστὸν δὲ τὸ παττόμενον. ἀλλὰ καὶ τούτου οὕτως ἔχοντος οὐ ῥάδιόν φησιν εὑρεῖν· ὀλίγοις γὰρ σοφίας καὶ μουσικῆς μέλει, καὶ ὀλίγοι τούτων ἐφικνοῦνται. M. Q. Gen.[a])

Vet. (Τὸ διὰ μούσης καὶ ᾠδῶν ἄγειν τὸν ἔρωτα κοῦφόν τέ ἐστι καὶ ἡδύ· τὸ δὲ περιγενέσθαι σοφίας οὐ ῥάδιον. a. I. L. Gen.[b]) — Κοῦφον δέ τι τοῦτο: τὸ κατὰ τὴν φιλοσοφίαν ⟨φάρμακον⟩ τῷ ἐρῶντι κουφότατον παρέχει τὸ πάθος. ἤγουν συντόμως ⟨περι⟩γίνεται ἡ σοφία καὶ [σύντομον] τὸ μουσικὸν εἶναί τινα. — Εὑρεῖν δ' οὐ ῥάδιον: τὴν σοφίαν λέγει [ἢ τὴν παιδείαν], ὅτι οὐκ ἔστιν εὐχερὲς περιγενέσθαι σοφίας [ἢ παιδείας].

Vs. 7.

Vet. Οὕτω γοῦν ῥᾷστα: τοῦτον γὰρ τὸν τρόπον ῥάδιον διῆγε καὶ ὁ παρ' ἡμῖν Κύκλωψ διὰ τῶν ᾠδῶν. τὸ δὲ παρ' ἡμῖν ἐπὶ τῆς Σικελίας φέρει, καθὸ καὶ Συρακούσιός ἐστι. δοκεῖ δέ τισιν, ὅτι καὶ ἡ πλάνη τοῦ Ὀδυσσέως περὶ Σικελίαν που γέγονε.

Vs. 10.

Vet. Ἤρατο δ' οὐ μάλοις: εἰς ἔρωτα ἐκινήθη, ἠράσθη

3) Παρὸ αἱ μοῦσαι, αἱ ᾠδαί. M. μοῦσαι· λέγει δὲ τὰς ᾠδάς. N. — Ἐλαφρόν. C. M. κοῦφον φροντίδων ἁπασῶν. r. — Τὸ αὐλεῖν. L. P. — Εὐφραντικόν. M.

4) Μαθεῖν. r. N. χωρὶς δὲ παιδείας οὐ κατορθοῦται. r. L. N. P.

7) [Διάγων:] ὑπῆρχεν, ἤγουν θεραπεύων τὸν ἔρωτα. M. [διᾶγ':] διέτριβε δι' ᾠδῆς τὸν ἔρωτα παραμυθούμενος. N. — Ἤγουν ὁ ἐν Σικελίᾳ ὢν τῇ ἡμετέρᾳ νήσῳ. M.

9) Ηγουν ἐν τούτοις γὰρ πρῶτον τοῖς μέρεσιν ἐκφύονται τὰ γένεια. M. — Τὸν μύστακα. N.

---

1) τρία pro τέτταρα M.[2.4.], ubi deest βρωτὸν et post παστὸν pergitur: πιστὸν μὲν οὖν ἐστὶ τὸ πιν. — βρωστὸν bis Gen.[a.] — πιστὸν δὲ M.[3.] Q. 3) δὲ om. Gen.[a.] 5) ἐπιφικνοῦνται Gen.[a.] 7) ὠδῆς I. L. 8) τε om. a. Gen.[b.] — τὸ δὲ .. ιγένεσθαι a. 9) //Gen.[b.] sine τοῦτο et a. cum lemm. κοῦφον δ' ἔτι. 9) τὴν] add. a. 3. Gen.[b.] 10) τῷ ἐρῶντι] τῷ ἔρωτι a. 3. Gen.[b.], ἐρᾶν vulg. 10) τῷ πάθει a. 3. Gen.[b.] Verba post συντόμως ex a. non enotata. 12) //Gen.[b.] 12) σοφίαν et σοφίας] Gen.[b.], φιλοσοφ. vulg. 13) ἢ τὴν παιδ. et ἢ παιδ. om. Gen.[b.] 13) εὑρεῖν post ἔστιν Gen.[b.] 13) περιγίνεσθαι Gen.[b.] 16) //Gen.[b.] hoc initio: οὕτω γοῦν ῥᾴϊσαι: ῥᾷον οὖν διῆγε. 18) Συρρακ. vulg. 22) //Om. Gen.[a.b.]

οὐκ ἐλαφρῶς ὥστε μῆλα διδόναι ἢ ῥόδα ἢ ἕτερόν τι εἰς τὸ καλλωπίζειν. — Ἠ· (ἤρατο δ' οὐ μάλοις: Gen.[b.]) ἠράσθη οὐκ ἐλαφρῶς καὶ τῶν κατὰ μέρος αὐτῆς, οὔτε ῥόδων οὔτε μήλων· μήλων μὲν ἐπὶ τῆς ὄψεως, ῥόδων δὲ ἐπὶ τῆς γυναικείας ἥβης, παρόσον καὶ ῥοδωνιὰν αὐτὴν ἔσθ' ὅτε φασίν, ὡς Κρατῖνος ἐν Νεμέσει·

ὥστ' οὖν ἐσθίων τοῖς σιτίοις ἥδομαι.
ἅπαντα δ' εἶναί ⟨μοι⟩ δοκεῖ ῥοδωνιὰ
καὶ μῆλα καὶ σέλινα καὶ σισύμβρια.

— Οὐ δὲ κικίνοις: τοῖς μαλίοις, τῇ κόμῃ, ὡς καὶ ὁ κωμικὸς κέχρηται·

ὥσπερ ἐγχέλυς χρυσοῦς ἔχων κικίννους.

Rec. (Κικίνοις: ταῖς ὑπογαστρίαις θριξί, ταῖς κόμαις. *M. Gen.[a.])

Vs. 12.

Vet. Ποτὶ τωὔλιον αὐταί: αὐταὶ ἀντὶ τοῦ μόναι. Ὅμηρος·

Τυδείδης δ' αὐτὸς πονέων.

ἀντὶ τοῦ αὐτόματος καὶ μόνος.

10) Τὸν ἔρωτα διῆγε. L. P. — Ἤγουν οὐ μερικῶς. M. — Κόμαις. r. N.

11) Ἤγουν ἄκρον ⟨ἐκ⟩ καρδίας [ἐνόμιζε.] ἢ τεταμέναις, ἰσχυραῖς, τουτέστι γεννικαῖς ἐπεμάνη αὐτῇ μανίαις. *L. *P. σφοδρῶς καὶ μανικῶς. M. μανικῶς. r. — Περισσὰ εἶναι καὶ μάταια. r.

12. 13) Πρὸς τὰ σταθμά. r. N. τὸ αὔλιον, ἤγουν τὴν μάνδραν. M. — Μόναι. 6. r. — Ἑσπέρας καταλαβούσης. M. — Ἤγουν κορεσθεῖσαι βοτανῶν μόναι ὑπέστρεψαν εἰς τὴν μάνδραν. M.

14) [Αὐτῷ:] αὐτοῦ. v. 6. — Τοῦ αἰγιαλοῦ. M. — Ἐδαμάζετο. M. διερρεῖτο. N. — Τῆς βρύα ἐχούσης. M. P. βρυώδους. r. N.

---

2) //Gen.[a.b.] — ἤρ. δὲ Gen.[a.] 3) οὐκ ἐλ. om. Gen.[b.] — τὴν κατὰ Gen.[b.] 4) ἐπὶ post δὲ] add. Gen.[b.] 5) φασίν] M. Gen.[b.], λέγει vulg., λέγουσιν Hemsterh. 6) ἐννεμεσα Gen.[b.] Ipsos versus Cratini om. Gen.[a.b.] 7) *Cratin. fr.* 5. 8) μοι] suppl. Meursius. 10) //Gen.[b.] c. lemm. κικίννοις. 10) τοῖς μαλίοις] ante Brub., τοῖς μαλλίοις vulg., om. Gen.[b.] 10) ταῖς κόμαις Gen.[b.] 12) ἐγχέλυς] Gen.[b.] et ante Heins. (item E.[2.], qui codex hoc scholium non habet), ἐγχέλεις vulg. — κικίννους] Duebn., κικίνους vulg., κικκίνους Gen.[b.] Versum Aristophani tribuit Toupius. 13) ὑπὸ γαστρίας Gen.[b.] 13) ταῖς κόμαις om. M. 16) //Om. Gen.[a.b.] 18) *Hom. Il.* Θ, 99, ubi T. αὐ. περ ἐών. — Τυδίδης ante Xyl. — 23) γεννικαῖς] Duebn., γενικαῖς codd. 29) βρύα] βρία M., ἐρία P.

Vs. 15.

Rec. (*Ὑποκάρδιον*: ἐν τῇ ψυχῇ, ἤγουν ἐν τῷ ὑπὸ τὴν καρδίαν ἤπατι· ἐν τούτῳ γὰρ τὸ ἐπιθυμητικόν. *M. Q. Gen.[a])

Vs. 17. 18.

Vet. *Ἀλλὰ τὸ φάρμακον εὗρε*: ἀλλὰ τετρωμένος ὑπὸ τῆς Ἀφροδίτης εὗρε τὸ φάρμακον, τουτέστι τὴν θεραπείαν. καθεζόμενος γὰρ ἐπάνω τινὸς πέτρας ὑψηλῆς μέλη τινὰ συνετίθει ἐμμούσως, πρὸς τὴν θάλασσαν βλέπων.

Vs. 19.

Rec. *Ἀποβάλλῃ*: μισεῖς, ἀπορρίπτεις. ἀποβάλλω γὰρ τὸ ἀπορρίπτω· προσβάλλω τὸ προσκρούω, ὡς τὸ προσβάλλουσιν οἱ πολέμιοι τῷ τείχει τῆς πόλεως· περιβάλλω τὸ ἐνδύω, ὅθεν καὶ περιβολὴ τὸ ἔνδυμα.

Vs. 20.

Vet. *Λευκοτέρα πακτᾶς*: τυροῦ πεπηγότος, ὃ οἱ Ἀττικοὶ τροφαλίδα καλοῦσι.

Vs. 21.

Rec. *Μόσχω γαυροτέρα*: αὐθαδεστέρα. γαῦρος γὰρ ὁ ἐπηρμένος, καὶ γαυριᾷ ῥῆμα ἀντὶ τοῦ ἐπαίρεται. ἐκ τούτου συγκριτικὸν γαυρότερος, καὶ γαυροτέρα θηλυκόν.

15) Ἐκ πρωίας. C. M. ἕωθεν. N. — *Βαρύ*, μισητόν. L. M. P.
16) Ἰωνικῶς τὸ Κύπριος. L. — *Βέλος* λέγω. M.
17) Ἤγουν τὴν διὰ τῆς ᾠδῆς παραμυθίαν. *L. *N. *P.
18) Ἐπ' ἀκρωτηρίου. C.
19) Ἀρχὴ τῆς ᾠδῆς. L. P. — Ἀποπέμπῃ. M. ἀποστρέφῃ. N.
20) *Τοῦ πεπηγμένου γάλακτος*, ἤγουν τοῦ τυροῦ. L. τυροῦ νεωστὶ πεπηγμένου. Stop. μετίθρας (?), τυροῦ. r.
21) *Σκιρτῶσα καὶ ἀγαλλομένη πλέον μόσχου*. *L. οἰστρικωτέρα. M. *γαῦρον*· στερρόν, μέγα, ἀκλινές, ἀγερῶχον. r. — [*Φιαρωτέρα*:] φιαρὸν τὸ ἀσθενές· ἤγουν λαμπροτέρα ἢ στρυφνοτέρα. *L. δριμυτέρα. M. σκληροτέρα. 6. λαμπροτέρα, καθαρωτέρα. r. — Ἀωρίδος. L.

---

2) ἐν τῇ ψ. om. Q. 3) ἐπιθυμητόν Gen.[a] 5) //Om. Gen.[a.b.] 5) τετρωμένος] Kiessl. auctore Toupio, τετραμένος ante Heins., τετραμμένος vulg. 8) εἰς pro πρὸς M. 10) //Om. Gen.[a.b.] 15) //Gen.[b.] c. lemm. *πακτᾶς*, ubi πυροῦ et προφαλ. 18) //Om. Gen.[a.b] — 29) στεργον cod., cf. Suid. *γαῦρον*: στερρόν, μέγα, ἀκλινές, quae gl. ad Arist. Ran. 283 pertinet.

Vet. Φιαρωτέρα ὄμφακος ὠμῆς: σκληροτέρα ἀώρου σταφυλῆς. ὄμφαξ γὰρ ἡ ἄωρος σταφυλή, καὶ ἡ ἄωρος ἐλαία· ὅθεν καὶ ὀμφάκινον ἔλαιον τὸ ἐξ ἀώρων ἐλαῶν γενόμενον, ὃ δὴ πινόμενον τὰς ἐν τῇ κοιλίᾳ πλατείας ἕλμινθας ἀναιρεῖ.

Vs. 24.

Vet. Πολιὸν λύκον: ἀντὶ τοῦ λευκόν. οἱ γὰρ λύκοι αἰθαλώδεις τὴν χροιάν· ἐπεὶ οὖν ἐκ μέλανος καὶ λευκοῦ εἰσὶ τὰ τοιαῦτα, εἶπε καταχρηστικῶς τοὺς λύκους λευκούς. ἢ πολιὸν λέγει ἀντὶ τοῦ γηραιόν.

Vs. 27.

Rec. Ἐξ ὄρεος δρέψασθαι: κυρίως ἐπὶ βοτανῶν καὶ ἐπὶ φύλλων δένδρων· καὶ λέγεται ἀεὶ παθητικῶς. τὰ γὰρ ἐνεργητικὰ ἄχρηστα. σημαίνει δὲ τὸ τέμνω. ἐκ δὲ τούτου τοῦ δρέπω ἀχρήστου καὶ δρεπάνη, δι' ἧς τοὺς ἀστάχυας δρέπομεν.

Vs. 28. 29.

Rec. Παύσασθαι δ' ἐσιδών τυ: οὐ δύναμαι παύσασθαι ἐξ ἐκείνου τοῦ καιροῦ, καθ' ὃν εἶδόν σε, οὔτε μετὰ τοῦτο οὔτε μέχρι τοῦ νῦν. — (Τοῦ Τρικλινίου. Ἐξ ὅτου περ, φησίν, εἶδόν σε, ἐξ ἐκείνου τοῦ καιροῦ τῷ ἔρωτί σου τρωθεὶς οὐ δύναμαι μέχρι τοῦ νῦν τοῦ ἔρωτος παύσασθαι. M. Q. Gen.[a])

22) [Οὕτως:] μάτην. N.
24) Λευκόν, ἢ γηραιόν. M.
26) Γρ. ἕμα, ἤγουν ὁμοῦ. *r.
27) Ἐγὼ γὰρ κατὰ τὴν ὁδὸν ἡγεμὼν ὑπῆρχον. C. προωδοποίουν, ὡδήγουν ἡμᾶς. M.
28) [Παύσασθαι:] τοῦ ἔρωτος. M. τοῦ ἐρωτιᾶν. L. P. — [Οὐδέτι πα:] ἀκμήν. M.
31) Δασεῖα. M. N. T. — ΟΦΡΥΣ: ὠπαρύς τις οὖσα, ἢ τοὺς ὦπας ῥυομένη καὶ φυλάσσουσα. *L. *Q.

---

1) //Om. Gen.[a.b.] 3) ἐλαῶν] ante Xyl., ἐλαιῶν vulg. 4) τὰς] τοὺς vulg. 4) πλατέας Reisk. seqq. 4) ἕλμυνθας ante Kiessl. 6) //Gen.[a.b.] — λυκὸν πολιὸν Gen.[b.], πολιόν φησι τὸν λυκόν Gen.[a.] 7) χρείαν Gen.[a.] 8) πολιὸν ... γηραιὸν] M., πολιοὺς ἀντὶ τοῦ γηραιοὺς καὶ παλαιοὺς vulg., γηρ. καὶ om. Gen.[b.], ἢ πολ. seqq. om. Gen.[a.] 11) //Om. Gen.[a.b.] 11) ἀνθέων pro βοτανῶν N. 16) //Om. Gen.[a.b.] 18) τοῦ Τρ. om. Gen.[a.] — 27) ἐρωτικοῦ P. 29) ὠπαρὺς] ὠπαρὶς Q., ὀπαρὶς L. 30) ὅπας L.

Vs. 32.

Rec. (*Ἐξ ὠτός*: ἀπὸ τοῦ ἑνὸς ὠτίου μέχρι τοῦ ἑτέρου ὠτίου. *M. Gen.[a])

Vs. 33.

Rec. (*Γράφε ἧς διὰ τοῦ η τροπῇ καὶ προσγραφομένου τοῦ ι.* N.) — *Πλατεῖα ῥὶς ἐπὶ χείλῃ*: τουτέστιν εἰμὶ σιμός. σιμὸς δέ ἐστιν ὁ συγκαθημένην ἔχων τὴν ῥῖνα καὶ ἀνεστηκότας τοὺς ῥώθωνας· γρυπὸς δὲ ὁ ἐπικαμπῆ ταύτην ἔχων δίκην ἱέρακος.

Vs. 34. 35.

Rec. *Ἀλλ' ωὑτὸς τοιοῦτος*: ἀλλ' ἐγὼ αὐτὸς τοιοῦτος ὤν, ἀσχήμων δηλονότι καὶ δυσειδής, ποιμήν εἰμι προβάτων χιλίων καὶ βόσκω αὐτά, καὶ τὸ γάλα τούτων τὸ κάλλιστον πίνω ἀμελγόμενος. ἰστέον ὅτι τὸ ἀμέλγω κοινόν, ὃ καὶ βδέλλω τὸ ἐκπιέζω. ἐκ τούτου καὶ βδέλλα ἡ ἐκμυζῶσα καὶ πίνουσα τὸ αἷμα. Ἀττικῶς δὲ βδάλλω τὸ αὐτό.

Vs. 36.

Rec. (*Τοῦ Τρικλινίου.* Ὀπώρα ἐστὶ κυρίως τὸ θέρος· ἐν τούτῳ γὰρ αἱ ὀπῶραι τῇ τοῦ ἡλίου σφοδρᾷ ἀκτῖνι πεπαίνονται. ἐνταῦθα [οὖν] οὐ τὸ θέρος φησίν — οὐ γὰρ ἐν θέρει ἐπιλείπει τυρός — ἀλλὰ τὸ μετόπωρον καταχρηστικῶς· ἐν μετοπώρῳ γὰρ καὶ χειμῶνι σπάνις τοῦ γάλακτος. M. Q. Gen.[a])

Vs. 37.

Vet. (*AKP.* ἤγουν ἐν τῷ μεσαιτάτῳ τοῦ χειμῶνος, ὥστε ἄκρον ἐνταῦθα ἡ ἀκμὴ τοῦ χειμῶνος. ἢ ἄκρον λέγει τὸ τέλος μὲν τοῦ φθινοπώρου, ἀρχὴν δὲ τοῦ χειμῶνος. 3. Gen.[b])

34) [*Ωὑτός*:] ἄλλως γράφεται *οὕτως*. r. — *Βοσκήματα.* N. *πρόβατα.* T.

37) *Τῷ μέσῳ τοῦ χειμῶνος.* L. *ἀκμῇ.* 6. *τῇ ἀκμῇ, ἤγουν τῷ τέλει.* M. *ἐπὶ τῆς ἀκμῆς.* N. — *Ἀπὸ τοῦ τείρω τέρσω τὸ ξηραίνω.* L. *τάλαροι.* N. *τυροψύκται.* M. *φίσινοι, φίσελλα.* r. — *Βεβαρυμένοι τοῖς τυροῖς.* M. P. *βρίθουσι.* C.

---

3) *ὠτίου* in fin.] Duebn., *ὠ.* M., om. Gen.[a], *ὠτός* Gail. 6) //Om. Gen.[a.b] 11) //Om. Gen.[a.b] 18) *τοῦ Τρ.* om. Gen.[a] 20) *οὐ* om. M.[2] Gen.[a] 21) *πυρὸς* Gen.[a] 21) *μετοπώριον* Gen.[a] 24) //In Gen.[b] post schol. Vs. 46, quod ipsum non suo loco legitur, sine lemmate, omisso *ἐν*.

Rec. *Ταρσοὶ δ' ὑπεραχθέες αἰεί*: ταρσοὶ τὰ κοινῶς λεγόμενα τυροβόλια· καὶ γίνεται ἀπὸ τοῦ τείρω τερῶ καὶ πλεονασμῷ τοῦ σ καὶ ἀναδόσει τοῦ τόνου τέρσω, ἀφ' οὗ ταρσός, ἐν ᾧτινι δηλονότι ὁ τυρὸς ξηραίνεται.

Vs. 38—41.

Rec. *Συρίσδεν δ' ὡς οὔτις*: γινώσκω δὲ δια σύριγγος μελουργεῖν ὡς οὐδεὶς τῶν ἐνταῦθα ὄντων Κυκλώπων. — *Τὶν τὸ φίλον γλυκύμαλον*: τοῦτο πρόσφθεγμα ἐρωτικόν. εἰώθασι γὰρ οἱ ἐρῶντες πρὸς τὰς ἐρωμένας λέγειν „γλυκύ μου μῆλον". ἐμαυτὸν καὶ σὲ παρὰ καιρὸν τῆς νυκτὸς ᾄδω, τουτέστι διὰ μελουργημάτων ἐγκωμιάζω.

Vet. Ἄλλως. *Γλυκύμαλον*: ναί, φησίν, οὕτω τὸ συρίζειν ἐπίσταμαι ὡς οὐδεὶς τῶν Κυκλώπων, ὑμνῶν σὲ τὸ προσφιλέστατόν μοι γλυκύμηλον, ἤγουν τὸ γλυκὺ μῆλον. — *Μελίμηλον* δέ ἐστιν ὡς μελίλωτον· ἔστι γάρ τι μήλου γένος ⟨ὃ καὶ γλυκύμηλον⟩. Σαπφώ·

γλυκύμαλον ἐρεύθεται [ὡς] ἄκρω ἐπ' ὄσδω.

— *Τρέφω δέ τοι ἕνδεκα νεβρώς*: τοῦτο ἐρεθιστικόν, ἤγουν παρακινητικὸν πρὸς ἔρωτα, ὅτι ἐκ περιουσίας ἔχω καὶ ἐλάφους μετὰ τῶν γεννημάτων αὐτῶν. — *Ἀμνοφόρως* γὰρ ἀμνίδας καὶ βρέφη φερούσας. ἢ *μαννοφόρως*· γράφεται γὰρ ἔν τισι καὶ οὕτω. μάννος δέ ἐστιν ὁ περιτραχήλιος κόσμος, τὸ λεγόμενον μανιάκιον. — (⟨*Σκυμνὼς*⟩ *τέσσα-*

38) Ἐπίσταμαι συρίσδειν ὡς οὔτις Κυκλώπων. r.

39) [*Τίν*:] σέ. 5. 9. — Ἤγουν σὲ τὴν γλυκεῖαν ἐμοὶ φίλην. M. — [*Ἁμῶ*:] ἤγουν ὁμοῦ. r. — Παραμυθούμενος. L. P.

40) Ἐν μεσονυκτίῳ. M. — Ἐλάφους καταχρηστικῶς. M.

---

1) //Om. Gen.[a.b.] 6) //Om. Gen.[a.b.] 8) //Om. Gen.[a.b.] 12) //Gen.[b.] 12) τὸ om. Gen.[b.] 13) σὲ] δὲ Gen.[b.], om. vulg. 15) //M. Gen.[b.] — μελίμηλον] μῆλον vulg., γλυκύμηλον p. M. Gen.[b.], γλυκ. δέ ἐστι μήλου τι γένος ὡς μελ. καὶ Σ. M. 15) γάρ τι] Gen.[b.], γάρ τοι καὶ (?) p., γὰρ vulg., καὶ Reisk. seqq. 16) καὶ Σ. M., σαμφὼ M. Can. 17) *Sapph. fr.* 93. — γλυκύ τι μᾶλον M., γλυκύτατον μ. Gen.[b.] — ἐρεύθεται] Sch Hermog., ut conj. Casaub., ἐρεύγεται vulg. — ὡς om. SchHermog. — ἄκρω] ante Xyl., ἄκρῳ Gen.[b.] et vulg. — ἐπ' ὄσδω] p. Can. et cod. Ursini Lyricc. p. 294, ἐπ' ὄσδῳ Gen.[b.], ἐπόσδων M., ἐπ' οὔδῶ ante Brub., ἐπ' οὐδῷ vulg. 18) //Om. Gen.[a.b.] 20) //Gen.[b.] sine ἀμν. γὰρ post schol. ad Vs. 81. 21) μαννοφόρους Gen.[b.] 23) μανιάκιον] Gen.[b.] Vulc., ut suasit Koehlerus, μαννιάκιον 3., μαννάκιον vulg. — 26) ὁμοῦ] Wart., ἐμοῦ cod. 27) In r. est gl. Suidea: ἀωρίᾳ: ἀκαίρως παρὰ τὸν δέοντα καιρόν.

ρας: σκυμνοὶ τῇ τάσει ⟨χρῆται⟩ ὡς μωροί, ὅταν ἐπὶ ἄρκτων ὡς νῦν· ἐπὶ δὲ τῶν λεόντων σκύμνοι, φησί, κυρίως λέγονται ὡς φίλοι. p. Gen.[b])

Rec. Καὶ σκύμνως τέσσαρας: καὶ σκύμνους ἄρκτων τέσσαρας.

Vs. 42.

Rec. Ἀλλ' ἀφίκευ τύ: ἀλλ' ἐλθὲ πρὸς ἐμέ, καὶ οὐχ ἧττον ἐμοῦ ἕξεις· δηλονότι ὁμοίως ἐμοὶ ἀπολαύσεις τῶν ἐμῶν.

Vs. 45.

Rec. Ἐντὶ ῥαδιναὶ κυπάρισσοι: ῥαδινὸν τὸ ἐπίμηκες καὶ λεπτόν, τὸ ῥεῖα, ἤγουν εὐκόλως, δονούμενον.

Vs. 46.

Vet. Ἐντὶ μέλας κισσός: οὐκ ἀσκόπως τοῦτό φησι· παραδίδωσι γὰρ ὁ Κρατεύας καὶ ἄλλον λευκὸν κισσόν, οὗ τὸν καρπὸν μετὰ τὸ τριβῆναι πινόμενον πρὸς τὴν παιδοποιίαν φησὶ συντελεῖν.

Vs. 47. 48.

Rec. Ἁ πολυδένδρεος Αἴτνα: ἰστέον ὅτι ἡ Αἴτνη τὸ ὄρος τῆς Σικελίας ἐξ ἑνὸς μέρους πῦρ ἀναπέμπει, ὃ καὶ Αἰτναῖον λέγεται, ἐκ δὲ τοῦ ἑτέρου μέρους ἐστὶ δενδροφόρον, ἐν ᾧ καὶ χιὼν δι' ἔτους τηρεῖται, ἐξ οὗ φησὶν ὁ Θεόκριτος,

41) [Ἀμνοφόρως:] φερούσας νεογνὰ γεννήματα. L. P. ἐχούσας νεβρούς. M. — Σκυλάκια. M.

42) Καὶ ἕξεῖς οὐδὲν ἔλασσον: ἤγουν εἰς τὸ μέλλον οὐδὲν χεῖρόν ⟨σοι παρ'⟩ ἡμῖν γενήσεται. *L. *P. [Οὐδὲν ἔλασσον:] ὧν ἔχεις, ἀλλὰ πάντα καλά. M.

43) [Ὀρεχθεῖν:] κινεῖσθαι. 6. πλήττειν. M.

45) Πυκναί, ἢ λεπταί. L. M. P.

47) [Πολυδένδρεος:] τοιαῦτα γὰρ τὰ ὄρη. M.

1) σκυμνοὶ] σκυμνῶς Gen.[b], σκύμνως p. 1) μωροὶ] μωρῇ Gen.[b], μωροὺς p. 2) φησὶ et ὡς φίλοι om. p. 4) //Om. Gen.[a.b.] 7) //Om. Gen.[a.b.] 11) //Om. Gen.[a.b.] 14) //Gen.[a.] sine lemmate et Gen.[b.] post schol. ἀμνοφόρως ad Vs. 41, quod ipsum non suo loco; ἔστι recte Gen.[b.] 15) γὰρ] M. Gen.[a.], δὲ vulg. 15) Κρατεύας] Reines. Toup. Hemsterh., Κρατῖνος vulg. 16) τριβῆνον Gen.[a.] 16) τὴν] I. Gen.[b.], τὸ M., om. vulg. 17) φησὶ] I. M. Gen.[a.], ut voluit Toup., φασὶ vulg. 19) //Om. Gen.[a.b.]

τῆς χιόνος τηκομένης ῥεῖν τὸ ὕδωρ καὶ μάλα ψυχρόν. — *Ποτὸν ἀμβρόσιον*: νέκταρ θεῶν πόμα· ἀμβροσία τροφὴ θεῶν, ὥς φασιν Ἕλληνες. ἐκ δὲ τῆς ἀμβροσίας καὶ ἀμβρόσιον πόμα τὸ θεῖον, τουτέστι τὸ γλυκύτατον.

Vs. 49.

Rec. *Τίς κ' ἂν τῶνδε θάλασσαν*: ἤγουν τίς τοσαῦτα ἔχων, ὅσα ἐγὼ ἔχω δηλονότι, ἀφεὶς ταῦτα προέλοιτο, ἤγουν προκρίνοι, οἰκεῖν θάλασσαν καὶ κύματα;

Vs. 50—53.

Rec. *Αἰ δέ τοι αὐτὸς ἐγὼ δοκέω*: εἰ δὲ ἐγὼ παρὰ σοὶ νομίζομαι λάσιος εἶναι, δηλονότι σύνοφρυς, καὶ διὰ τοῦτο μεμίσημαι, ἔστι μοι ξύλα δρύϊνα, καὶ καιόμενος καὶ τὴν ψυχὴν καὶ τὸν ἕνα ὀφθαλμόν, οὗ γλυκερώτερον οὐδὲν ἐμοί, ὑπὸ σοῦ ὑπομείναιμι ἂν ἡδέως. τοῦτό φησιν, ὅτι οἱ ἐρῶντες πάσχοντες ὑπὸ τῶν ἐρωμένων τὰ ἔσχατα τῶν δεινῶν ἡδέως φέρουσιν. — (Τοῦ Τρικλινίου. *Λασιώτερος*: εἴπερ, φησί, δασύς τις εἶναί σοι δοκῶ, ὡς ἐν ὅλῳ τρίχας φέρων τῷ σώματι, ἀλλ' ἔστι μοι ξύλα καὶ πῦρ, εἰ θελήσεις καῦσαι τὰς τρίχας καὶ ψιλῶσαι τὸ σῶμα, εἰ δὲ καὶ τὴν ψυχὴν καὶ τὸν ὀφθαλμόν, οὗ μοι γλυκύτερον οὐδέν, καύσεις, ἀνέξομαι. M. Q. Gen.[a.]) — (Ὑπομένοιμι ἄν, εἰ καὶ τὴν ψυχὴν αὐτὴν καὶ τὸν ὀφθαλμὸν καύσεις, καὶ οὐ μόνας τὰς τρίχας. *M. Gen.[a.])

48) Ἀθάνατον. L. P. ἀένναον. 6. ἡδύ, θεῖον. M.— Πέμπει. C. M.

49) Ἀντὶ τῶνδε. r. ἀντὶ τούτων ὧν εἶπον. M. ἕνεκα τοσούτων. L. [*κἀντ' τῶνδε*:] ἀντί. s. — Προκρίνοιτο. L. M. P.

50) Δασύτερος. M.

51) Τῇ αἰθάλῃ. M. τέφρᾳ. L. P. — Ἄσβεστον. P.

52) [*Καιόμενος*:] ὥστε ψιλωθῆναι τῶν τριχῶν. M. — [*Τὰν ψυχάν*:] σύναπτε ἐνταῦθα τὸ ἕνα ὀφθαλμόν. M. τὴν ψυχὴν αὐτὴν καρτεροίμην. L. P. — Ἀπολέσαι δηλονότι ἐμαυτὸν εἰς τὸ πῦρ ἐμβαλών, ἵνα καυθῶ σοῦ γε ἕνεκα, εἴ σοι δοκῶ λάσιος τὴν ὀφρῦν, Νύμφα φίλη. r.

---

2) //Om. Gen.[a.b.] 6) //Om. Gen.[a.b.] 10) //Om. Gen.[a.b.] 16) τοῦ Τρ. λασ. om. Gen.[a.] 21) ὑπομείνοιμι Gen.[a.] 22) μόνον Gen.[a.] — 25) Gl. in s. est a pr. man. 30) ἔμβαλω cod.

Vs. 54—59.

Rec. (*Βράγχια*: ἰχθύος πτέρα, ἃ περὶ τὴν κεφαλὴν ἔχει καὶ δι' ὧν πνέει. *M. Gen.[a])

Vet. *Ὤ μοι ὅτ' οὐκ ἔτεκέ μ' ἁ*: ἀπορῶν ὁ Κύκλωψ καὶ ἀποτυγχάνων ὡς ἐρῶν Νηρεΐδος τῆς Γαλατείας φησὶ δεινοπαθῶν· φεῦ μοι ὅτι οὐκ ἐγέννησέ με ἡ μήτηρ μου ἰχθύν. οὕτω γὰρ ἂν κατεφίλησα τὴν χεῖρά σου, ἐὰν μὴ τὸ στόμα ἤθελες· [*Ἔφερον δέ τοι κρίνα λευκά*:] ἔφερον δέ σοι καὶ ἐρωτικὰ σύμβολα, κρίνα δηλονότι λευκὰ καὶ μήκωνος φύλλα. ἀλλ' οὐκ ἂν δυνηθείην φέρειν σοι ἀμφότερα ἐν τῷ αὐτῷ καιρῷ· τὰ γὰρ κρίνα τοῦ θέρους εἰσί, τὰ δὲ τῆς μήκωνος φύλλα τοῦ χειμῶνος. — (Ἐν τῷ θέρει τὰ κρίνα καὶ ἐν τῷ χειμῶνι αἱ μήκωνες καὶ τὰ φύλλα αὐτῶν. Gen.[b]) μήκων δὲ λέγεται ἡ κεφαλή. μήκων καὶ ἀνθηφόρος βοτάνη, ἡ κοινῶς λεγομένη κουδέα. — *Ἐρυθρὰ πλαταγώνια*: (πλαταγώνια M. Gen.[b]) τὰ τῆς μήκωνος φύλλα φασὶ καὶ τὰ τῆς ἀνεμώνης ἀπὸ τοῦ πλατάσσειν, ὅ ἐστι ψοφεῖν. τιθέντες γὰρ αὐτὰ κατὰ τὸν ἀντίχειρα καὶ τὸν λιχανὸν δάκτυλον τύπτουσι τῇ ἑτέρᾳ χειρί (ὥστε ψοφεῖν p. M. Q. Gen.[a.b]). καὶ οὕτω σημειοῦνται, εἰ ἀγαπῶνται ὑπὸ τῶν ἐρωμένων· [ὥσπερ καὶ ἀπὸ τοῦ τῆς πλαταγῶνος ψόφου, εἰ ἀψόφως ἐπικρουσθείη.]

Vs. 60—62.

Rec. *Νῦν μὲν ὦ κόριον*: λείπεται τοίνυν ὦ κόρη, ἐπεὶ

54) Ἤγουν τὰ σπάραγνα (?) ἰχθύος. καὶ *βράγχι' ἔχοντα καὶ* βραγχιάζω, ἄσω παρὰ τὸ βρέχω, βρόχος ὁ συνεχῶς βρεχόμενος. r.

55) Ἵνα κατῆλθον ἐν τῷ βυθῷ. ἐν σοί. M.

56) [*Λῇς*:] φιλῆσαί με. L. P.

57) Κόκκινα. M. — Ἀπὸ τοῦ πλαταγίζειν, ὅ ἐστι σημεῖον ἔρωτος. r.

58) [*Τὰ μέν*:] Τὰ κρίνα. M. κρίνα. r. — [*Τὰ δέ*:] τὰ τῆς μήκωνος φύλλα. M. — [*Γίνεται*:] μᾶλλον. r.

---

2) ἅπερ οὐδὲν τὴν Gen.[a] 3) πλέει codd. 4) //Om. Gen.[a.b] 5) Νηρεΐδος] ante Brub., Νηρηΐδος vulg. 10) τῷ αὐτῷ] Geel., αὐτῷ τῷ vulg. 12) //Gen.[b] post schol. Vs. 37, quod ipsum non suo loco. 14) μήκων alterum add. Gen.[b], ante quam vocem distinxi. 14) ἀνθοφόρος Gen.[b], ubi desunt ἡ κοινῶς λ. κ. 15) κουδέα] ante Heins., κούδεα vulg. 15) Gen.[a.b] sine lemmate, item M. praefixo παλαιόν. 16) φασὶ] Geel., φησὶ vulg., idque post πλαταγ. Gen.[a.b] 17) πλατάσσειν] Kiessl. auctore Stephano in Thesaur. s. v. ut supra sch. III, 29 p. 143. 12. et Suidas, πλάσσειν Gen.[b] vulg. cum Photio, πλήσσεις Gen.[a] 18) αὐτὸ Gen.[b] 19) ὥστε ψόφον ἀποτελέσαι M. Q. Gen.[a] 20) φιλοῖντο pro ἀγαπ. M. Q. Gen.[a] 20) ὥσπερ seqq. om. M. Q. Gen.[a] 23) //Om. Gen.[a.b] — 24) τὰ ἤγουν cod. Glossae addita sunt Latina „brachia quibus pisces natant.“ 27) φιλήσαιμι codd.

οὐ βράγχια ἔχω, τουτέστιν οὐκ ἰχθὺς ἐγενόμην, μαθεῖν ἐμὲ τὸ νεῖν, τουτέστι τὸ πλέειν καὶ κολυμβᾶν, ἐάνπερ ἀφίκηταί τις ξένος ἐνταῦθα μετὰ νηός· οὗτος γὰρ ἐμὲ διδάξεται δηλονότι πλέειν, ἵνα μάθω, τί γλυκύ ἐστιν ὑμῖν, ταῖς Νηρεῖσι δηλονότι, τὸ κατοικεῖν τὸν βυθόν.

Vet. (*Νῦν μὲν ὦ κόρη: νῦν δὲ ὦ κόρη, ἐάν τις ἐνθάδε πλέων ἔλθῃ ξένος, μαθήσομαι νεῖν, ἤτοι κολυμβᾶν, ὡς ἂν ἴδω, τί δήποτέ ἐστιν ὑμῖν ἡδὺ τὸν βυθὸν κατοικεῖν.* Gen.[a.b.])

Vs. 63—66.

Rec. Ἐξένθοις Γαλάτεια: τὸ πᾶν· εἴθε ἐξέλθοις ὦ Γαλάτεια, καὶ ἐξελθοῦσα εἴθε λήθην λάβοις, ὥσπερ ἐγὼ νῦν ἐνταῦθα καθήμενος, εἰς τὸν οἶκον ἀπελθεῖν· καὶ εἴθε βουληθείης σὺν ἐμοὶ ποιμαίνειν καὶ ὁμοῦ γάλα ἀμέλγειν· καὶ εἴθε βουληθείης — ἀπὸ κοινοῦ τὸ σχῆμα — τυρὸν πῆξαι πιτύαν δραστικωτάτην ἐμβαλοῦσα.

Vs. 67—71.

Vet. Ἁ μάτηρ ἀδικεῖ με: ὅτι οὐ μαστροπεύει μοι. αὕτη ἂν εἴη Φόρκυνος θυγάτηρ ἡ Θόωσα, καθώς φησιν ὁ ποιητής. — Ἄλλως. τοῦτο ἀγροικικὸν καὶ ἀφελὲς τὸ ἦθος. ὅτι ἡ μήτηρ μου ἀδικεῖ με μὴ προαγωγεύουσα τὴν ἐμὴν ἐρωμένην πρὸς ἐμέ, καὶ ταῦτα ὁρῶσά με ὑπὸ τοῦ ἔρωτος ἰσχναινόμενον καὶ λεπτυνόμενον καθ' ἑκάστην ἡμέραν, διὰ τοῦτο καὶ ἐγὼ ἀντιλυπήσω αὐτὴν προφασιζόμενος ὅτι τὴν κεφαλήν μου

60) *Γράφεται καὶ οὕτω: νῦν μὲν ὦ κόρα νῦν τόγε νεῖν με μαθεῦμαι.* *I. *Q. — *Πλεῖν.* s. — *Μαθοῦμαι, μαθήσομαι.* M.
62) [*Τί ποθ'*:] *εἴ που.* P. *ἄρα.* M. — *Ταῖς Νηρηίσι.* C.
63) *Εἴθε ἐξέλθοις τῆς θαλάσσης.* M. — [*Λάθοιο*:] *σύναπτε πρὸς τὸ οἴκαδε ἀπελθεῖν.* M. *ἐπιλάθεις εἰσελθεῖν εἰς τὴν θάλασσαν.* L.
64) [*Ἐγὼν νῦν*:] *ἀπελαθόμην οἴκαδε ἀπελθεῖν.* M.
66) *Πιτύαν.* M.
67) *Ἡ Θόωσα. καὶ Ὅμηρος· Θόωσα δέ με τέκε μήτηρ.* L. P.
68) *Ἐν σοί.* M. — *Προσφιλὲς ἐμοί, ἤγουν ὃ ἐγὼ ποθῶ.* M.

---

1) *βραγχία* ante Gail. 4) *Νηρεῖσι*] ante Brub., *Νηρηΐσι* vulg. 6) Lemma om. Gen.[a.] — *δὲ* om. Gen.[b.], ubi haec post schol. Vs. 58, quod ipsum extra ordinem. 7) *μαθ. κολυμβᾶν* reliquis omissis Gen.[b.] 11) //Om. Gen.[a b.] 15) *πιτύαν*] Lamb. Bosius Animadv. p. 133, *πιτείαν* vulg., *πυετίαν* Kiessl., vid. Toup. Cur. post. 18) //Gen.[b.] 18) *με* Gen.[b.] 19) *καθὼς* om. Gen.[b.] — *Hom. Od. A*, 71. 20) //Om. Gen.[a.b.] 20) Male Kiessl. seqq. post *ἦθος* comma posuerunt, postea ante *διὰ τοῦτο* punctum; vulgo utroque loco puncto distinctum. — 25) *νεῖν γε* I. 32) *Hom. Od. A*, 71, ubi *μιν*.

ὀδυνῶμαι καὶ τοὺς πόδας μου ἀμφοτέρους, ἐπεὶ τοῦ ἔρωτός μου οὐ φροντίζει. — (*Φάσω τὰν κεφαλάν: προφασισθῶ καὶ προσποίητον ποιήσομαι φωνὴν κεφαλαλγεῖν· οὐ γὰρ τοῦ ἔρωτός μου ἡ μήτηρ φροντίζει.* I. Gen.[b])

Rec. (*Φάσω τὰν κεφαλήν:* Gen.[a] *πρόφασίν τινα ποιήσομαι τὴν κεφαλὴν ἀλγεῖν καὶ τοὺς πόδας, ὡς ἂν καὶ ἡ μήτηρ λυπηθεῖσα ζητήσῃ θεραπεῦσαί μου τὸν ἔρωτα δηλονότι.* M. Gen.[a] — *Ἵνα λυπηθῇ βλέπουσά με πάσχοντα, ὅπερ λυπηρὸν ταῖς μητράσιν.* *M. Gen.[a])

Vs. 72—74.

Vet. *Ὦ Κύκλωψ Κύκλωψ: ὥσπερ συστραφεὶς καὶ ἀνήσας τὴν ψυχὴν ἀπὸ τῆς ἐκστάσεως πρὸς ἑαυτὸν διαλέγεται· ποῦ τὰς φρένας ὦ Κύκλωψ ἐκπεπετασμένας καὶ πεπλανημένας ἔχεις; ἐὰν ἀπελθὼν καλαθίσκους συμπλέκοις καὶ πόαν θερίσας τοῖς ἀρνίοις φέροις, ἴσως γένοιο φρονιμώτερος.*

Vs. 75.

Vet. *Τὰν παρεοῖσαν ἄμελγε: ὁ νοῦς· τί πρὸς ἀμηχανίαν τρέπῃ. Ἡσίοδος·*

νήπιος ὃς τὰ ἕτοιμα λιπὼν [τὰ] ἀνέτοιμα διώκει.

— (*Τὰν παρεοῖσαν ἄμελγε:* Gen.[b]) *κατὰ τὴν παροιμίαν*

69) *Ἡμέραν ἐφ' ἡμέραν.* M. — *Τηκόμενον τῷ ἔρωτι.* P. *τήκομαι γὰρ ὑπὸ τοῦ ἔρωτος.* M.

71) *Ἀλγεῖν.* M. *φλεγμαίνειν.* L.

72) [*Φρένας:*] *καθ' ὅλον καὶ μέρος λέγε.* M. — *Τῶν φρενῶν ἀπέπτης.* L. P. *ἐξέβης.* M.

73) *Εἴθε ἄν.* M. — *Κοφίνια, τὰ κοινῶς τυροβόλια.* M. — *Βοτάνην.* M. *κλάδον ἐλαίας.* r. — *Σωρεύσας.* L.

74) *Δόξεις μᾶλλον νοῦν ἔχειν.* M. *εἰς φρόνησιν πλείονα ἔλθοις.* L. P.

75) *Τὴν παροῦσάν σοι.* M. *τὴν οὖσαν πλησίον.* T. — *Ἤγουν ἔχε.* M.

---

2) Post *μου* Wart. seqq. ex 3. inseruerunt *ἡ μήτηρ*, quae fortasse potius ad l. 4 pertinent. 2) Gen.[b] post schol. Vs. 60, quod ipsum non suo loco. 3) *προσποίητον*] *πρόσφατον* I., *πρόσφαγον* Gen.[b] 6) *ἂν* om. Gen.[a] 8) *ἵνα* om. Gen.[a], ubi haec antecedenti scholio adhaerent, unde Adertus *δηλονότι* huc traxit. 11) //Om. Gen.[a.b.] 11) *ἀνήσας*] *ἀλγήσας* vulg. 14) *συμπλέκῃς* vulg. 17) //Om. Gen.[a.b.] 18) *τρέπῃ*] Kiessl. auctore Toupio, *τρέπει* vulg. 19) *Hesiod. fr.* 209 *Marksch.* — *τὰ ἀνέτ.*] ante Brub., *τ' ἀνέτ.* vulg., *τἀνέτ.* Kiessl. 20) //Gen.[a.b.] sine *τοῦτο λέγει.* — 23) In r. sunt glossae Photianae *σφύζει ... καὶ σφυγμὸς κτλ.*, quae etiam Suidas habet, nisi quod hic *σφρυγμός*.

[τοῦτο λέγει] *τὸν θέλοντα βοῦν ἔλαυνε*· ἤγουν τὴν ἀγαπῶσάν σε φίλει.

Vs. 78.

Vet. (*Πολλαὶ συμπαίσδε με*: Gen.[b.] γελῶσι δὲ πᾶσαι κόραι, ἐπὰν ἀκούσωμαι αὐτῶν. ἴσως δὲ καταγελῶσιν αὐτοῦ. 3. Gen.[b.])

Vs. 80. 81.

Vet. *Οὕτω τοι Πολύφαμος*: πρὸς τὸν Νικίαν ὁ λόγος ἀπὸ τοῦ ποιητοῦ. οὕτως ὁ Πολύφημος, φησί, μετεχειρίζετο τὸν ἔρωτα [ἐθεράπευε μελουργῶν]. — (*Μουσίσδων*: τῇ σοφίᾳ τῶν Μουσῶν ᾄδων. M. Gen.[a.b.])

Rec. *Ῥᾶον δὲ διῆγεν*: εὐχερέστερον δὲ διέζη παρὸ μισθὸν δοῦναι, εἰς θεραπείαν τοῦ ἔρωτος δηλονότι.

Vet. (*Ῥᾷον δὲ διῆγεν ᾄδων* I. Gen.[b.]) ἢ εἰ χρυσίον εἶχε δοῦναι, ὅπως πείσῃ τὴν Γαλάτειαν.

Rec. (*Ῥάον δὲ διᾶγ' ἢ χρυσὸν ἔδωκεν*: Gen.[a.] εὐκολώτερον τὸν ἔρωτα ἔφερεν οὕτως ἢ εἰ χρυσὸν δοὺς φάρμακον ὠνήσατο. M. Gen.[a.])

77) Προστάσσουσι, λέγουσι. M. θέλουσι. L. P.
78) Ἠχοῦσιν, ᾄδουσι. M. — Ὁπηνίκα. L.
79) Τῶν πολυσήμων εἰμὶ καὶ ὀνομαστῶν. L.
80) Μετήρχετο, διεξῆγε. M. κατεπράϋνεν. C.
81) Ἔδωκε καὶ ἔπεισε τὴν Γαλάτειαν. L. P.

---

2) σε] add. M. Gen.[a.] — φησι pro φίλει Gen.[a.] 4) γελῶσι] (Gen.[b.]) Kiessl. seqq., γελῶσαι Wart. 5) κόραι] καὶ hoc loco Wart., post ἐπὰν Kiessl. seqq., om. Gen.[b.] 5) αὐτῶν om. Gen.[b.] 5) καταγελῶσιν] καταγελῶσαι Gen.[b.], -ῶμαι 3. — αὐταῖς 3. 8) //Gen.[a.b.], ille sine lemmate. 8) τὸν om. Gen.[a.b.] 9) ἐκ τοῦ π. Gen.[b.] 9) ἤγουν οὗτος ὁ Π. Gen.[b.] 10) ἐθ. μελ. om. M. Gen.[a.b.] 10) Lemma om. M. Gen.[b.] 12) //Om. Gen.[a.b.] 14) //I. Gen.[b.] — εἰς χρυσεῖον Gen.[b.], εἰ om. I. 15) ὅπερ pro ὅπως Gen.[b.] 16) εὐκολώτερον] Duebn., εὐκόλως codd. 17) φάρμακα ὠμνήσατο Gen.[a.]

Idyll. XII.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Ἀΐτης· γέγραπται δὲ Ἰάδι διαλέκτῳ. ἔστι δὲ τὸ εἶδος ἀφηγηματικόν· ἀφ' ἑνὸς γὰρ προσώπου προάγεται ὁ λόγος, τουτέστι τοῦ Θεοκρίτου. διαλέγεται γὰρ ὡς ἐραστὴς πρός τινα ἐρώμενον οὐ πλέον τριῶν ἡμερῶν ἀποδεδημηκότα. ὅθεν φησίν· ἤλθες μετὰ τρεῖς ἡμέρας· ἐγὼ δὲ ἐν μιᾷ ἡμέρᾳ γεγήρακα ὡς ποθῶν. ἔστι δὲ εἴσπνιλος ὁ ἐραστὴς κατὰ τὴν τῶν Ἀμυκλαίων διάλεκτον· ἀΐτης δὲ ὁ ἐρώμενος, ὡς Θετταλοί φασιν. εὔχεται δὲ ἵνα μετὰ θάνατον γένοιντο ἀοίδιμοι. ἐπαινεῖ δὲ καὶ τοὺς Μεγαρέας ὡς τετιμηκότας τὸν Διοκλῆν ὡς παιδεραστὴν ὄντα ἐπιταφίῳ ἀγῶνι, ἐν ᾧ οἱ νέοι ἠγωνίζοντο φιλήμασι καὶ ὁ μᾶλλον ⟨ἥδιον⟩ φιλήσας ἐστεφανοῦτο βαρεῖ στεφάνῳ καὶ ⟨χαίρων⟩ ἀπήρχετο πρὸς τὴν ἑαυτοῦ μητέρα. — (Προσφωνητικόν. Ἰακόν. M. — Ἰακὸν τῇ κοινῇ Ἰάδι. Q. — Τῇ κοινῇ Ἰάδι. B. D. M. — Ἰάδι διαλέκτῳ. G. I. — Ἰάδι διαλέκτῳ ἢ Δωρίδι. r. N.)

(Τοῦ αὐτοῦ Τρικλινίου. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν λζ, ὧν τελευταῖος· πεύθονται μὴ φαῦλον ἐτήτυμον ἀργυραμοιβοί. M. Gen.[a])

Inscriptio.

Vet. Ἀΐτας: ἀΐτην τὸν ἑταῖρόν φασιν. Ἀλκμὰν δὲ τὰς ἀΐτιας χορδὰς φησὶν ἀντὶ τοῦ τὰς ἐπεράστους.

Vs. 1. 2.

Rec. Ἤλυθες ὦ φίλε κοῦρε· τρίτῃ σὺν νυκτὶ καὶ ἀοῖ; ἤλυθες: ὦ φίλε μοι νέε, ἦλθες μετὰ τρεῖς νύκτας τε καὶ ἡμέρας. εἶτα ἐπαναφέρων εἴρηκεν, ὅτι βραδέως ἦλθες. — (Τοῦ αὐτοῦ Τρικλινίου. M. Ἰστέον ὅτι ἐντεῦθεν τῷ

1) Ὁ λόγος ἐκ τοῦ ποιητοῦ. r. P. — Κατὰ παρέλευσιν τριῶν νυχθημέρων. 6. μετὰ τρεῖς ἡμέρας καὶ νύκτας τοσαύτας. M.

---

3) ἰάδια ante Brub. 13) χαίρων] suppl. Geelius cf. Schol. Vs. 28. 16) διαλ. om. N. 17) τ. αὐ. Τρ. et in fine ἐτ. ἀργ. om. Gen.[a] 21) //Om. Gen.[a.b.] et vulg. Scholion ad inscriptionem carminis pertinens in Call. Hypothesi adhaeret, in 5. L. ab ejus initio ante ἐπιγράφεται legitur. — ἀΐτας om. 5., ἀΐτας οἱ Θεσσαλοὶ φασὶν (?) L. litteris valde evanidis et incertis. — φησὶν 5. 22) ἀΐτιας] EtM. cf. Hypoth., ἀΐτας L. Call., ἄιτας 5. 22) ἀπεράστους φησὶν pro φησὶν ἀ. τ. ἐπ. 5. L. 24) //Om. Gen.[a.b.] 27) ἴσθι Gen.[a]

Θεολόγῳ παρείληπται τὸ „καὶ βίος ἅπας ἡμέρα μία τοῖς πόθῳ κάμνουσιν.“ M. Gen.[a])

Vet. (*Ἠοῖ ἤλυθες*: Gen.[b] *ἐν τῇ τρίτῃ ἡμέρᾳ, ἀφ' οὗ οὐκ εἶδόν σε. καὶ συντάσσεται οὕτως· ὦ φίλε κοῦρε, σὺν νυκτὶ τρίτῃ καὶ ἀοῖ ἤλυθες. Ἄλλως. Ἤλυθες ὦ φίλε κοῦρε σὺν νυκτὶ τρίτῃ καὶ ἀοῖ τρίτῃ, ἤγουν μετὰ τρεῖς ἡμέρας καὶ νύκτας.* 3. Gen.[b]) — *Οἱ δὲ ποθεῦντες: οἱ δὲ ἐρῶντες ἐν μιᾷ ἡμέρᾳ ἀποδυρόμενοι γηρῶσιν. ἔστι δὲ παρὰ τὸ Ὁμηρικόν·*

αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.

Rec. *Ἢ· οἱ δὲ ποθοῦντες ἐν ἡμέρᾳ μιᾷ γηρῶσι τῶν ἐρωμένων ἀποτυγχάνοντες.*

Vet. *Ἄλλως. οἱ ἐρῶντες εἰ μίαν μόνην ἡμέραν τοῦ ἐρωμένου ἀπολειφθεῖεν, τὴν πᾶσαν ζωὴν ἐστερῆσθαι τῆς αὐτοῦ παρουσίας νομίζουσιν.*

Vs. 3—9.

Rec. *Ὅσσον ἔαρ χειμῶνος: ὅσον δὲ ἡδύτερον τὸ ἔαρ τοῦ χειμῶνος, ὅσον ἡ ὄϊς τῆς ἰδίας ἀρνὸς δασυτέρα, ὅσον ἡ παρθένος προτιμοτέρα τῆς πολυγάμου γυναικός, ὅσον ταχυτέρα ἡ ἔλαφος τοῦ μόσχου, ὅσον ἡ ἀηδὼν γλυκυτάτη, εἰς τὸ ᾄδειν δηλονότι, τῶν πετεινῶν πάντων· τόσον φανεὶς σὺ εὔφρανας ἐμέ· κατέφυγον δὲ ὑπὸ σέ, ἀναψυχὴν ληψόμενος δηλονότι, ὥσπερ καὶ ὁδοιπόρος τῷ ἡλίῳ φλεγόμενος ὑπὸ σκιὰν δένδρου κατέφυγε.* —

Vet. (*Τόσσον ἔμ' ἔφρανας: ἡ σύγκρισις κακή. ὤφειλε γὰρ εἰπεῖν· ὅσον ἔαρ χειμῶνος διαφέρει, τοσοῦτον εἶ καὶ σὺ*

2) [*Ἤλυθες*:] *ὑπὸ χαρᾶς διπλασιάζει τὴν λέξιν.* M. — *Ἐν ἡμέρᾳ μιᾷ τῷ πόθῳ τηκόμενοι γέρουσιν ἐοίκασιν.* M.

3) [*Ὅσσον*:] *διαφέρει.* C. — [*Ὅσον*:] *ὑπάρχει ἥδιον.* M. — *Βραβίλου, τοῦ λεγομένου ἀβραβίλου.* M.

4) *Πολυμαλέστερος.* 6.

1) *Gregor. Naz.* — *καὶ βίος καὶ ἅπας* M. 3) *ἀφ' ὦ* Gen.[b] 5) *ἄλλως . . . ἀοῖ τρίτῃ* om. 3. 7) //Gen.[a.b] Lemma om. Gen.[a] 7) *δὲ* om. Gen.[a.b] — *ἔρωτες* Gen.[a] 8) *παρὰ τὸ τοῦ Ἡσιόδου* Gen.[a] 9) *Hom. Od.* T, 360. 10) //Om. Gen.[a.b] 12) //Gen.[a.b] In Gen.[a] post *γηρῶσιν* l. 8 insertum est hoc initio: *εἰ τοῦ ἐρ. ἀπολ.* 12) *εἰς μίαν καὶ μόνην* Gen.[b] 13) *καὶ διὰ πάσης αὐτῶν τῆς ζωῆς ἐστερῆσθαι αὐτοῦ νομίζουσιν.* M. Gen.[a], *στερεῖσθαι* p. 16) //Om. Gen.[a.b] — *ὅσσον* pro *ὅσον* Reisk. seqq. 18) *προτιμωτέρα* ante Gaisf. 24) Lemma sic Gen.[b], *ὅσσον ἔαρ χειμῶνος* minus recte M. Gen.[a] — *ἡ* om. Gen.[a] 25) *γὰρ . . . διαφέρει* om. Gen.[b] — *ὅσσον* Gen.[a] 25) *τοσσοῦτον* Gen.[b] — *καὶ σὺ* om. Gen.[a]

γλυκύτερος. p. M. Gen.[a.b.]) — *Σκιερὰν δ' ὑπὸ φαγόν:* ὡς ἄν τις, φησί, φλεγόμενος ὑπὸ τοῦ ἡλίου εἰς σκιὰν φηγοῦ παρέλθῃ, οὕτω κἀγώ σοι προσανεπαυσάμην ἀσμένως. (ἐπαινέσειεν ἄν τις τῆς παραβολῆς τὸν ποιητήν· παραβάλλει γὰρ τὸν ἔρωτα καύματι, τὴν δὲ παρουσίαν τοῦ ἐρωμένου δρυῒ κατασκιαζούσῃ. 3. B. L. M. Q. Gen.[a.b.])

Rec. (⟨*Παρθενική:*⟩ παρθένος. ⟨*προφέρει:*⟩ κρείττων ἐστὶν εἴς τε εἶδος καὶ τἄλλα. ⟨*τριγάμοιο γυναικός:*⟩ τῆς τρεῖς ἄνδρας σχούσης, ἢ τῆς πολλάκις συνευνηθείσης ἀνδρί. *M. Gen.[a.])

Vs. 10—16.

Vet. *Εἴθ' ὁμαλοὶ πνεύσειαν:* εἴθε, φησίν, ἐνεχώρει ὅμοιον γενέσθαι τὸν εἰς ἀλλήλους ἡμῶν ἔρωτα, ἵνα καὶ ὑπὸ τῶν μεταγενεστέρων περιβόητος ἡμῶν ἡ φιλία ᾖ.

Rec. Ἢ· εἴθε δὲ ἐφ' ἡμῖν ἀμφοτέροις εὐμενεῖς οἱ Ἔρωτες γένοιντο καὶ ἐπιπνεύσειαν ἀταράχως, γενοίμεθα δὲ καὶ τοῖς μεθ' ἡμᾶς ἐσομένοις λόγος ᾀδόμενος· ὅτι δύο τινὲς ἐν ἀλλήλοις ἐγένοντο συντακέντες τῷ ἔρωτι.

Vet. *Ἐπ' ἐσσομένοις δέ:* ἐπὶ πᾶσι δὲ τοῖς ἐσομένοις καὶ μέλλουσιν ἔσεσθαι, ἤτοι τοῖς μεταγενεστέροις, γενοίμεθα

6) Ἐλαφροτέρα εἰς τὸ δραμεῖν. M.

7) Εἰς ᾠδὴν κρείττων. M.

8) Δρῦν. M.

9) Καίοντος. M. — [*Ὁδοιπόρος:*] τρέχει. M. — Ἐν σοὶ τὴν τοῦ ἔρωτος πυρκαϊὰν ἀναψῦξαι. M.

10) [*Ὁμαλοί:*] ἥμεροι. M. — Ἤτοι κατὰ τοὺς ἀμφοτέρους φίλους. L. P. — [*Ἔρωτες:*] φιλίας. M.

11) Τοῖς ἐσύστερον γενησομένοις ἀνθρώποις. M. — Τραγῴδημα. 6. — Λέγουσιν ὅλοις ὅτι. L. P.

---

1) //M. Gen.[a.b.] — *ὑποφαγῶν* Gen.[b.], lemma om. Gen.[a.] 2) ὥσπερ τις M. Gen.[a.] 2) τοῦ] add. Gen.[b.] 3) προστρέχει pro παρέλθῃ M. Gen.[a.] 3) προσανέπνευσα ἄσμενος M., προσανεμαυσάμενος Gen.[a.] 3) ἐπαιν. seqq. in M. Gen.[a.b.] hoc loco leguntur, in 3. B. L. Q. hypothesi adhaerent; in L. recens manus addidit. — ἐπαινέσειεν ἂν] 3. B.[2] L. Q., ἐπαινέσῃ ἂν Gen.[b.], ἐπαινέσειεν δ' ἂν M., ἐπαινέσειε δ' ἂν B.[2] Gen.[a.] 5) τῷ πόθῳ τὸ καῦμα pro τὸν ἔρ. καύμ. 3. B. L. Q. Gen.[b.] 7) Schol. ex glossis interl. conflatum. παρθένος ex M. non affertur. 8) εἴτε εἶδος Gen.[a.] 9) ἐχουσούσης Gen.[a.] 12) //Gen.[b.] c. lemm. *εἴθ' ὁμαλή.* 12) ἐνεχώροι ante Brub. 13) ἡμῶν] add. Vat. (Gen.[b.]) 15) //Om. Gen.[a.b.] 19) //Gen.[b.] post schol. *ἴσῳ ζυγῷ*, quod ipsum non suo loco; ibi lemma sic, *ἐπεσσομένοισι δὲ* Call. 19) αἰσθομένοις Gen.[b.] 20) γεγενήμεθα Gen.[b.] — 29) fort. λέγουσι δηλονότι ut in Scholl.

αοιδή, ἤτοι ἄκουσμα, λέγουσι δηλονότι <*δοιὼ δή τινε*>. — *Δοιὼ δή τινε: τοῦτό ὡς* <*ἀπὸ τῶν μεταγενεστέρων. Προτέροισι:*> *τοῖς προγενεστέροις.* — <*Ἢ·*> *ἵνα οἱ μεταγενέστεροι τῆς φιλίας ἡμῶν μνησθέντες λέγωσιν, ὅτι δύο πρὸ ἡμῶν ἐγένοντο ἄνθρωποι, ἕτερος μὲν ὑπὸ Λακώνων λεγόμενος ἴσπνιλος, τουτέστιν ἐραστής, ἕτερος δὲ ὑπὸ Θεσσαλῶν ἀΐτας, τουτέστιν ἐρώμενος· οὗτοι δ' ἀλλήλους ἐξ ἴσου ἐφίλησαν τοῦ χρυσοῦ γένους, ὡς ἔοικεν, ὄντες.* (*ἐν ἴσῳ ζυγῷ δὲ εἶπε διὰ τὸ ἰσόρροπον τοῦ ζυγοῦ.* M. Gen.[a]) — (*Φαίη χ' ὠ μυκλαΐσδων: ὁ τῇ τῶν Ἀμυκλαίων χρώμενος διαλέκτῳ, ἀντὶ τοῦ τῶν Λακώνων. οὗτοι γάρ φασιν ἐμπνεῖν τὸ ἐρᾶν. Ἀμύκλαι δὲ πόλις Λακωνικῆς. μυκλαΐσδων δέ φησι κατὰ μετάθεσιν τοῦ α ἀντὶ τοῦ ἀμυκλίζων.* 3. M. Gen.[a.b.] et fere p.) — (*Ἴσπνιλος: ἀπὸ τοῦ εἰσπνεῖσθαι.* 3. *M. Gen.[b.] et fere p.) — (*Ἀΐταν: ἑταῖρον.* Hesych.) — (*Ἴσῳ ζυγῷ: ἀντὶ τοῦ ὁμοίως, ὡς μήτι γεγονέναι ἑτερόρροπον* [*τινὰ*] *ὑπὸ τοῦ σταθμοῦ. ἀπὸ δὲ τοῦ ζυγοῦ μετήνεκται, εἴ τι ἴσον ἐστὶ καὶ μὴ ἑτερορρεπές.* p. 3. Gen.[b.])

Rec. Φῶθ' ὁ μέν, ἦν εἴσπνιλος· φαίη χ' ὠ'μυκλαΐσδων: ὁ μὲν κατὰ τοὺς Ἀμυκλαίους εἴσπνιλος ὀνομαζόμενος — οὗτοι γὰρ τὸν ἐραστὴν εἴσπνιλόν φασιν — ὁ δὲ ἕτερος κατὰ τοὺς Θετταλοὺς ἀΐτης, τουτέστιν ἐρώμενος. τὴν ἀλλήλων δὲ φιλίαν ἰσόρροπον εἶχον ὡς ἐπὶ ζυγοῦ ἰσοστάθμου.

12) [*Τῶδε:*] *ἤγουν ἡμεῖς.* M. — *Συνεκράθησαν ἀλλήλοις εἰς φιλίαν.* M.

13) *Ἔρωτα πνέων.* M. *πνέων ἔρωτα, ἐρῶν.* L. P. — *Ὁ Λακωνίζων.* M. P. *ὁ Λακεδαιμόνιος.* C.

---

1) *λέγ. δηλ.* om. Gen.[b.] 2) //Gen.[b.], ubi *τινες*. 3) *τοὺς προγενεστέρους* vulg. 3) //Gen.[a.b.] — *ἢ*] suppl. Geel. 3) *ἵν' οἱ* Gen.[b.], *εἴθε φησὶν οἱ μετ.* (*ἄνθρωποι* Gen.[a.]) et *λέγοιεν* M. Gen.[a.] 5) *πρὸς* Gen.[a.] 5) *εἷς* pro *ἕτερος* M. Gen.[a.], *μὲν* om. Gen.[a.], ubi *λεγόμενον*. 6) *ἴσπνιλος*] Gen.[a.], *εἴσπνιλος* vulg., *εἴσπνηλος* Gen.[b.] 7) *ἤγουν ἐρ.* M. Gen.[a.] 7) *ἀΐτης καλούμενος* M. Gen.[a.] 7) *οὗτοι* seqq. in Gen.[a.] leguntur post schol. Vs. 17, omisso *δέ*. 10) In M. Gen.[a.] desunt verba ante *οὗτοι*, reliqua post *ἐραστὴς* l. 6 inserta leguntur. Lemma sic Gen.[b.], cujus loco *ἀμυκλαΐσδων* Gaisf. 10) *Ἀμυκλαίων*] Toupio auctore Kiessl. seqq., *ἀμυκλων* Wart., *ἀμυκλέων* Gen.[b.] 11) *γὰρ* om. Gen.[a.] — *ἐμπνεῖν φασὶ* M. Gen.[a.] 12) *οὖν* pro *δέ φησι* M. Gen.[a.] 13) *τοῦ η* Gen.[b.], om. M. Gen.[a.] 13) *ἀντὶ τοῦ*] M. Gen.[a.], om. rell. — *ἀμυκλίζων*] M. Gen.[a.], *ἀμυκλαΐζων* 3. et fort. p., *ἀμυκλαΐσδων* Gen.[b.] 14) *εἴσπνιλος* Gen.[b.] — *δὲ ἀπὸ* 3. (p.?), ubi schol. praecedenti adhaeret. 15) *ἑταῖρον*] Musurus, *ἕτερον* cod. 15) Gen.[b.] post schol. *φαίη χ' ὠ μυκλ.* 16) *ὡς*] Gaisf. et Gen.[b.], *ὥστε* Wart. — *μήτε* et *ἕτερον τρόπον* codd., *ἑτέραν ῥοπὴν* Geel. 17) *ὅτι ἴσον* Gen.[b.] 19) //Om. Gen.[a.b.]

ὡς ἔοικε δέ, τότε ἦσαν πάλιν ἄνδρες ἐκ τοῦ χρυσοῦ γένους, ὅτε ὁ φιλῶν ἀντεφιλεῖτο. Ἀμύκλαι δὲ πόλις Λακωνική.

Vs. 17—21.

Rec. Εἴ γὰρ τοῦτο πάτερ Κρονίδα: εἴθε γὰρ τοῦτο ὦ Ζεῦ γένοιτο, υἱὲ τοῦ Κρόνου.

Vet. (Ἀθάνατοι: προσληπτέον τὸ ὦ ἔξωθεν ἐπὶ κλητικῆς, ἵν᾽ ᾖ· εἰ γὰρ τοῦτο ὦ Κρονίδη Ζεῦ γένοιτο, Gen.[b.]) εἰ ὦ ἀγήρῳ ἀθάνατοι, ἤγουν ὦ Ζεῦ καὶ ὦ ἕτεροι θεοὶ οἱ μὴ γηράσκοντες καὶ ἀθάνατοι. Ἄλλως. Εἴ γὰρ ἀγήρω ἀθάνατοι: νοητέον ἔξωθεν ἡμεῖς.

Rec. (Εἴ γὰρ τοῦτο πάτερ Κρονίδα: προσληπτέον τὸ ὦ ἔξωθεν, ἵν᾽ ᾖ· εἴθε ὦ Κρονίδη, ἤγουν ὦ Ζεῦ, καὶ ἄλλοι ἀθάνατοι θεοὶ πέλοι τοῦτο, εἴθε καὶ ἡμεῖς ἀγήρω γενοίμεθα, ἤγουν ἀθάνατοι. M. Gen.[a.])

Vet. Τοῦτο δὲ οὐχ ὡς θεοὺς καὶ αὐτοὺς εἶναί φησιν, ἀλλ᾽ ὡς καὶ τοῖς μεταγενεστέροις διὰ μνήμης εἶναι καὶ ᾄδεσθαι καὶ μὴ ἐπιλησθῆναι. — Ἤ· εἰ γὰρ ἀγήρω ἡμεῖς ὦ ἀθάνατοι, ἤγουν διὰ μνήμης ὑπάρχοιμεν.

Rec. Ὁ νοῦς. τὸ πᾶν· εἴθε ἀθάνατοι γενοίμεθα, μηδόλως γήρως γεγευμένοι· εἰ δὲ συμβαίη ἡμᾶς θανεῖν δηλονότι, εἴθε τις ἀγγείλειεν ἡμῖν εἰς τὸν ἀνέκβατον τόπον τοῦ ᾅδου μετὰ διακοσίας γενεάς, ὅτι ἡ σὴ νῦν φιλία καὶ τοῦ ἐρωμένου τοῖς πάντων ἔγκειται στόμασι, μάλιστα δὲ τοῖς τῶν ἠϊθέων, στόμασι δηλονότι.

17) [Τοῦτο:] τὸ ᾄδεσθαι ἡμᾶς. M. τὸ φημίζεσθαι ἡμᾶς τοῖς μεταγενεστέροις. *L. — Ὑπάρξοι. M. — [Ἀγήρω:] ἀθάνατοι καὶ ἡμεῖς γενοίμεθα ἐν τῷ ἀεὶ ᾄδεσθαι. M.

18) Ἀπείρων γενεῶν διελθουσῶν. M. — [Ἔπειτα:] ἤγουν μετὰ τὰς γενεὰς ταύτας. M.

19) Ἀνέκβατον. 6. τὸν ἐξέλευσιν μὴ ἔχοντα. M. ἐλεύθερον. L. P. — Ἀιδην, ἀπὸ τοῦ ἄχη ῥέειν. 6.

21) Ἐν τοῖς ἐνδόξοις. M.

---

1) πάλιν] ante Heins., πάλαι vulg. 4) //Om. Gen.[a b.] 8) //Gen.[b.] — εἰ ὦ ἀγ. ἀθ.] Gen.[b.] ut Scult., ἢ ὦ ἀγ. ἀθ. Call., εἴ γὰρ ἀγ. ἀθ. Brub., ΑΓΗΡΩ reliquis omissis vulg. post Ox. Ceterum ἀγήρω Gen.[b.] et edd. 8) θεοὶ μὴ γηρασάντες Gen.[b.] 9) ἢ ἄλλως Gen.[b.] 12) ὦ om. M., Ζεῦς Gen.[a.] 15) //M. Gen.[a.b.], etiam M. post praec. sch. 15) καὶ] add. M. Gen.[a.] — αὐτὸν Gen.[b.] 16) ὡς τοῖς Gen.[a.] 17) ἐπιλησθῆναι] M. vulg., ἐπιληθῆναι Gen.[a.b.], ἐπικλησθῆναι Call., ἐπικληθῆναι Brub. et ante Heins. 17) //Gen.[b.] — εἴ γὰρ ante Xyl. 18) ὑπάρχομεν Gen.[b.] et ante Reisk. 19) //Om. Gen.[a.b.] 19) μηδόλως] ante Heins., μηδ᾽ ὅλως vulg.

Vs. 22—24.

Rec. *Ἀλλ' ἤτοι τούτων μὲν ὑπέρτεροι:* ἀλλ' οἱ θεοὶ μὲν ἔσονται οἱ Οὐρανίωνες ὑπέρτεροι τούτων, τουτέστιν ἰσχυρότατοι βοηθοί, ὡς ἐθέλουσιν· ἐγὼ δὲ ἐπαινῶν σε τὸν καλὸν οὐ ψεύσομαι, οὐδὲ ἐπὶ τῆς ῥινὸς τῆς ἐμῆς ἀναβλαστήσω τὰ τοῦ ψεύδους σύμβολα.

Vet. *Ἐγὼ δέ σε:* ἐγὼ δέ σε ἐγκωμιάζων — λέγει δὲ πρὸς τὸν ἐρώμενον — οὐ ψεύσομαι περὶ σοῦ οὐδὲ ἐπάνω τῆς ῥινὸς ψεῦσμα γεννήσω [ἢ μᾶλλον φύσω]. εἰώθασι γὰρ ἔνιοι τὰ ἐπάνω τῆς ῥινὸς φυόμενα ψυδράκια ψεύσματα καλεῖν, καὶ εἶναι ταῦτα σημεῖον ψευδολογίας. — *Ἠ· ψεύδεα ῥινός:* φύσκαι ἐπὶ τῆς ῥινὸς λεπταὶ αἱ λεγόμεναι ἴονθοι, [ἢ ὄνθιοι] ὡς κατὰ τὸ ἄνθος τῆς ἡλικίας γινόμεναι, ἃς ψυδράκια ἐκάλουν, καὶ οἱ Σικελιῶται τὸν ταῦτα φύσαντα ψευδηγόρον ἐσημαίνοντο εἶναι. ἴονθος δὲ λέγεται παρὰ τὸ ὄνθος, οἱονεὶ μολυσμὸς τῆς ὄψεως.

Rec. (*Ἐγὼ δέ σε τὸν καλὸν αἰνῶν:* πρὸς τὸν ἐρώμενον λέγει, ὅτι ἐπαινῶν σε οὐδὲν ψεύσομαι. λέγει δὲ τοῦτο ἀπό τινος συμβάματος. εἰώθασι γὰρ ἔνιοι τὰ ἐπάνω τῆς ῥινὸς φυόμενα ψυδράκια ψεύσματα καλεῖν καὶ λογίζεσθαι ταῦτα σημεῖον ψευδηγορίας. οὐ φύσω οὖν φησὶ ἐπάνω τῆς ῥινὸς ψεύσματα ἐπαινῶν σε, ἀλλ' ἀληθῆ λέξω. καλοῦνται δὲ τὰ τοιαῦτα ψυδράκια καὶ ἴονθοι, ὡς κατὰ τὸ ἄνθος τῆς ἡλικίας γινόμεναι. M. Gen.[a] ἐξ ὧν τοὺς ψευδομένους τεκμαίρονται. Gen.[a])

22) *Τὸ ἤτοι καὶ τὸ μὲν ἐκ παραλλήλου.* M. — *Ἕνεκα τούτων.* M. — *Οἱ μείζονες πάντων θεοί.* M.

23) [*Ἔσσονθ':*] *ταῦτα.* M.

24) *Ψυδράκια, ἅτινα καὶ ἴονθοι καλοῦνται παρὰ Σικελιώταις.* L. P. *τὰ εἰς τὸ ἄκρον τῆς ῥινὸς φυόμενα ψυδράκια, ἐξ ὧν τοὺς ψευδολόγους τεκμαίρονται.* M. — *Ἐκβάλω.* L. P. *ἐκφύσω, ἤγουν οὐ ψευδῆ εἴπω, ἀλλ' ἀληθῆ.* M.

---

2) //Om. Gen.[a.b.] 5) *ἀναβλαστήσουσι* vulg. 7) //Gen.[b.] — *δὲ σὲ ἐγκ.* Kiessl. 8) *ὅτε οὐ* Vat., *ὅτι οὐδὲν* Gen.[b.] 10) *ψεύματα* ante Brub. 11) //Gen.[b.] post schol. Vs. 8. 9. sine lemmate. 12) *λεπταὶ*] Can. Gen.[b.], *λευκαὶ* vulg. 12) *ἴονθοι ἢ* om. Gen.[b.] — *ὄνθοι* pro *ὄνθιοι* Heins. et vulg. ante Reisk. 13) *γινόμεναι*] *γινόμενα* Gen.[b.], *γενόμεναι* vulg. 13) *ψυδάκρυα* Vulc. 14) *ἐκφύσαντα* Vulc. 15) *δὲ* om. Gen.[b.] 15) *μολ. ἐστι τῆς* Gen.[b.] 24) *γενόμεναι* Gen.[a.] Ad sequentia cf. GlM.

Vs. 25. 26.

Vet. Ἦν γάρ καί τι δάκνης: ἐὰν γὰρ καὶ δηκτικόν τι καὶ λυπηρὸν δράσῃς, ὡς καὶ ὁ λόγος ὁ τρώσας ἰάσεται.

Rec. Ἤ· ἐὰν γὰρ καὶ δηχθῶ ὑπὸ σοῦ, τὸ μὲν δῆγμα τεθεράπευκας καὶ ἀβλαβὲς ἐποίησας, μᾶλλον δὲ καὶ εἰς τὸ διπλάσιον ὠφέλησας· καὶ ἐπανῆλθον εἰς τὸν οἶκον ἔχων περισσὸν μέτρον τῆς φιλίας.

Vs. 27—33.

Vet. Νισαῖοι Μεγαρῆες: Νισαίους τοὺς πρὸς τῆς Ἀττικῆς· ἐπίνειον γὰρ Μεγαρέων ἡ Νίσαια, ἀφ' οὗ Νισαῖοι καλοῦνται. ⟨ἢ Νισαῖοι:⟩ οἱ Μεγαρεῖς. ὠνομάσθησαν δὲ ἀπὸ Νίσου τοῦ Πανδίονος, ⟨Μεγαρεῖς δὲ ἀπὸ Μεγαρέως τοῦ Ποσειδῶνος,⟩ συνοικήσαντος αὐτῷ. Ἀριστεύοντες: καὶ Σιμωνίδης ἐπαινεῖ τοὺς Μεγαρεῖς. — Οἰκοίητε: μακαρισθείητε, ὅτι ὑπερβαλλόντως τὸν Διοκλέα ἐτιμήσατε. οὗτος γὰρ Ἀθήνηθεν φεύγων εἰς Μέγαρα, φιλόπαις ὑπερφυῶς ὤν, ἔν τινι μάχῃ ἠρίστευσε καὶ ὑπερασπίζων τινὸς ἐρωμένου ἐκεῖ-

25) *Λυπήσῃς.* M. — *Οὐκ ἐπιβλαβές.* κατ' ἐπίτασιν τοῦ α καὶ οὐ κατὰ στέρησιν. M.

26) [*Ἔχων:*] ὁ λυπηθείς. C. ἔχων γὰρ πολὺ πλέον τοῦ μέτρου. M. περισσοτέραν ὠφέλειαν. L. P. περισσόν. L. rec.

27) *Ἄριστοι τὰ ναυτικά.* M.

28) *Εὐτυχεῖς οἰκοίητε τὴν ὑμῶν χώραν.* M. — *Ἀθηναῖον.* 6. — *Περισσῶς.* C. περισσοτέρως τῶν ἄλλων. M.

29) *Τὸν ἐρώμενον παιδός.* 6. ὃς τὸν αὐτοῦ ἐρώμενον πολέμου γεγονότος διέσωσεν. M.

30) *Συνηθροισμένοι ἐν ἔαρι ἀρχομένῳ.* M. κατὰ τὴν ἀρχὴν τοῦ ἔαρος. 6.

---

2) //Gen.[b.], ubi δάκης. 2) δηκτ. τι καὶ λυπ.] Gen.[b.] (sed δεικτικόν), λυπ. τι ἢ δηκτ. vulg., γὰρ λυπ. τι φησι καὶ δηκτ. M. 3) ὡς καὶ] p. Gen.[b.], ὡς M., om. vulg. 4) //Om. Gen.[a.b.] 6) περισσὸν] conj. Fr. Jacobs, τὸ ἴσον vulg., cf. Gl. 9) //Gen.[b.], ubi Νισσαῖοι. 9) πρὸ Gen.[b.] et vulg. ante Kiessl. 10) ἐπίνηον ante Heins. 10) Νίσαια] Amstel., Νισαα prop. Wart., Νισαία Kiessl., Νίσα Gen.[b.] vulg. 11) οἱ Μεγ. vulgo sine distinctione cum καλοῦνται junctum. 12) Παντίονος Gen.[b.] 13) συνοικήσαντος] συνοικήσαντες vulg., συμβοσκήσαντες 3., συνοικίσαντος αὐτοὺς Amst. 13) ἀριστ. in Gen.[b.] et vulgo ante Reisk. praecedentibus adhaeret. 14) //Gen.[b.] et inde ab οὗτος Gen.[a.], hic ante praec. schol., Phav. inde ab Διοκλῆς Ἀθήνηθεν. 15.16) οὗτος ὁ Διοκλῆς sine γὰρ Gen.[a.] 16) ἀπερχόμενος pro φεύγων M. Gen.[a.] 17) ἠρίστευε M. — 18) Glossae in unam conjunctae erant, nulla distinctione post λυπήσῃς posita.

νον μὲν ἔσωσεν, αὐτὸς δ' ἐτελεύτησεν· ὅθεν τοὺς Μεγαρεῖς φασὶ θάψαι αὐτὸν δημοσίᾳ καὶ τιμᾶν ὡς ἥρωα ἀγῶνά τε αὐτῷ ποιεῖν, ἐν ᾧ τοὺς καλοὺς περὶ φιλημάτων ἀγωνίζεσθαι· τὸν δὲ καταφιλήσαντα αὐτῶν ἥδιστα, τοῦτον ὑπὸ τοῦ κριτοῦ ὡς κρείττω στεφανοῦσθαι.

Rec. (*Νισσαῖοι Μεγαρῆες*: *Νίσαια γὰρ ἐπίνειον Μεγαρέων.* ⟨ἢ⟩ *ἀπὸ Νίσου τοῦ Πανδίονος.* Gen.^{a}) — *Ἄλλως. Ὦ Μεγαρεῖς οἱ τὴν Νίσαιαν κατοικοῦντες καὶ τὰ ναυτικὰ ἀριστεύοντες, εὐτυχοίητε, ὀλβίως τὴν ἑαυτῶν κατοικοῦντες πατρίδα, ἐπεὶ τὸν Ἀθηναῖον Διοκλῆν περισσότερον τῶν ἄλλων τετιμήκατε, ἐραστὴν παιδὸς γεγονότα, καὶ ἐπ' αὐτῷ ἀγῶνα φιλημάτων τεθείκατε, ἐν ᾧ ὁ γλυκύτατα φιλήσας καὶ τὰ ἑαυτοῦ χείλη τοῖς τοῦ ἀντιφιλοῦντος χείλεσι προσκολλήσας βαρεῖ στεφάνῳ στεφανωθεὶς χαίρων ἀπῆλθεν εἰς τὴν ἑαυτοῦ μητέρα.*

Vs. 34—37.

Rec. (*Τοῦ Τρικλινίου.* M. *Ὄλβιος, φησίν, ἐστὶν ὃς κρίνει τοῖς παισὶν ἐκεῖνα τὰ φιλήματα. ὄντως πολλὰ ἐπιβοᾶται τὸν χαροπὸν Γανυμήδην, ἔχειν τὸ στόμα ἴσον τῇ Λυδίᾳ λίθῳ, ἐν ᾗ τὸν ἀληθῆ χρυσὸν οἱ ἀργυραμοιβοὶ δοκιμάζουσι μὴ φαῦλον εἶναι. ἐν Λυδοῖς γὰρ ἡ τὸν χρυσὸν ἐλέγχουσα λίθος εὑρίσκεται.* M. Gen.^{a}) — (*Ἀργυραμοιβοί*: *οἱ ἄργυρον διδόντες καὶ χρυσὸν λαμβάνοντες.* *M. Gen.^{a})

31) [*Ἄκρα*:] *τέλεια.* 6. *δῶρα.* r. *τὰ πρῶτα.* M.

32) *Προσμήξῃ.* r. — [*Χείλεσι*:] *τοῦ κριτοῦ.* r.

33) *Καλλωπιζόμενος, βαρούμενος.* M. — [*Ἀπῆνθεν*:] *ἤγουν ὁ κριτής.* L.

35) *Ὡς ὡραῖον καὶ πρῶτον ἐν νέοις φιληθέντα ὑπὸ τοῦ Διός.* M. — *Ἐπικαλεῖται.* 6. *καλεῖ, βοᾷ.* r. *ὡς θεὸν αὐτὸν ἔλαβεν.* *r.

36) *Τῇ λίθῳ τῇ διακριτικῇ τοῦ χρυσοῦ.* M.

37) *Γινώσκουσι.* r. *μανθάνουσιν.* M. — *Κίβδηλον εἶναι.* M. — *Τὸν ἀληθῆ.* M. — *Τραπεζῖται.* r. *χρυσοχόοι.* 6.

---

1) *διέσωσεν* M. Gen.^{a} 1) *δὲ ἐτελ.* Kiessl. 2) *φασὶ* et *δημοσίᾳ*] add. M. Gen.^{a} 2) *τῷ* pro *τε* Gen.^{a}, *αὐτῷ* om. Phav. 4) *φιλήσαντα* M. Gen.^{a} 4) *αὐτὸν* 3., om. M. Gen.^{a} 4) *ὑπὸ τοῦ κριτοῦ*] *ὑπὸ κριτοῦ τινὸς* M. Gen.^{a}, *ὑπ' αὐτοῦ* 3. Gen.^{b}, *ὑπ' αὐτῶν* vulg., cf. Hypoth. 6) *Νίσα γὰρ ἐπήνειον* cod. 7) //Om. Gen.$^{a.b.}$, habet Phav. post *στεφ.* l. 5. 8) *Νίσαιαν*] Amstel., *Νισαίαν* Gaisf., *Νίσαν* vulg. 9) *εὐτυχοίητε*] *εὐτυχείοιτε* vulg., *εὐτυχέοιτε* Reisk. seqq., *εὐτυχοῖτε* Amstel. 12) *τεθήκατε* ante Heins. (recte Phav.) 18) *λιλήματα* Gen.^{a} 19) *Γαννυμήδεα* Gen.^{a} 23) *ὠνούμενοι* pro *λαμβ.* M.

Vet. *Ἦ που τὸν χαροπὸν Γανυμήδεα:* ὄντως ὁ κριτής, φησίν, εὔχεται τῷ Γανυμήδει, ἵν' ἐπιτήδειον ἔχῃ τὸ στόμα πρὸς τὸ δικάζειν τὰ φιλήματα οὕτως ὡς ἡ Λυδία λίθος δοκιμάζει τὸν χρυσόν, εἴτε καλὸς εἴτε καὶ μή. ⟨Λυδία δὲ λίθος⟩ ἡ λεγομένη χρυσῖτις ὡς τοὺς λίθους τούτους παρὰ Λυδοῖς εὑρισκομένους. τὸ δὲ ἑξῆς οὕτως· εὔχεται τῇ Λυδίᾳ πέτρᾳ ἴσον ἔχειν τὸ στόμα, ᾗτινι οἱ ἀργυραμοιβοὶ τὸν χρυσὸν δοκιμάζουσιν.

Idyll. XIII.

Θεοκρίτου Ὕλας Δωρίδι. — (Εἴρηται Δωρίδι διαλέκτῳ. B. D. G. I. L. M. N. Q. Gen.[a] — Διηγηματικόν. M. — Ἀπὸ τοῦ ποιητοῦ. P.)

(Τρικλινίου. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν οε', ὧν τελευταῖος· *πεζᾷ δ' ἐς Κόλχως τε καὶ ἄξενον ἵκετο Φᾶσιν.* M. Gen.[a])

Vs. 1. 2.

Vet. [*Οὐχ ἁμῖν τὸν ἔρωτα μόνοις ἔτεχ', ὡς ἐδοκεῦμες. Νικία ᾧτινι τοῦτο θεῶν πόκα τέκνον ἔγεντο:*] (οὐχ ἡμῖν, φησί, μόνοις τοῖς θνητοῖς τὸν Ἔρωτα ἔτεκεν, ὅστις ποτέ ἐστιν, ἀλλὰ καὶ Ἡρακλῆς ἠράσθη. ἐπεὶ δὲ τὰ τῆς ὑπὸ τῶν Νυμφῶν γενέσεως τοῦ Ἔρωτος ἐπὶ πολλὰ διαλλάττει, διὰ τοῦτό φησι· *ᾧτινι τοῦτο θεῶν τέκνον ἔγεντο.* Gen.[b]) — Ἀμφιβάλλουσι, τίνος υἱὸν τὸν Ἔρωτα. Ἡσίοδος μὲν γὰρ Χάους καὶ Γῆς, Σιμωνίδης Ἄρεος καὶ Ἀφρο-

1) Ἡμῖν τοῖς ἀνθρώποις. M. — Τὸν τῆς φιλίας ἐξάρχοντα. M. — Ὡς ἐνομίζομεν. C. M.

---

1) //Gen.[b] c. lemm. *Γανυμήδεα.* 1) εὔχεται φησὶ δὲ ὁ κριτὴς sine ὄντως Gen.[b] 2) ἵν'] Gen.[b], ἵνα vulg. 4) καλός ἐστι καὶ Gen.[b] 5) χρυσῖτις] χρυσᾶ vulg. commate post μὴ posito. 10) Θεοκρ. Ὑ. Δ. etiam v. post Hypoth., Ὕλλας ante Brub., et ita semper. Vulgo antecedunt eadem quae inter Hypotheses leguntur, ubi vid. 10) εἴρηται δὲ in fine Hyp. Gen.[a] 13) Τρικλ. et in fine ἵκ. Φᾶσιν om. Gen.[a], ubi πεζός. 19) ἁμὶν cod. 22) διαλλάττει] Duebn., διαλύττει cod. 23) //Om. Gen.[a.b.] et vulg. inter scholia, quo Gailius haec referri jussit, quum vulgo Hypothesi adhaereant, ubi desunt in v. B. K. M. N. Q. Y. Gen.[a] et cum reliqua hypothesi in Gen.[b]

δίτης, Ἀκουσίλαος Νυκτὸς καὶ Αἰθέρος, Ἀλκαῖος Ἴριδος καὶ Ζεφύρου, Σαπφὼ Ἀφροδίτης καὶ Οὐρανοῦ, καὶ ἄλλοι ἄλλων. Rec. (*Οὐχ ἡμῖν, φησί, μόνοις τοῖς θνητοῖς ἕτεκε τὸν Ἔρωτα, ἐκεῖνος δηλονότι, τῶν θεῶν ᾧτινι τοῦτο, ἤγουν ὁ Ἔρως, τέκνον ἐγένετο, ἀλλὰ καὶ Ἡρακλῆς ἠράσθη.* M. Q. Gen.[a])

Vs. 6.

Vet. *Ὃς τὸν λὶν ὑπέμεινε: λὶν τὸν λέοντα ἀπὸ εὐθείας τῆς λίς. καὶ Ὅμηρος·*

ἐπί τε λὶν ἤγαγε δαίμων

καὶ

λὶς ἠϋγένειος.

— *Ἱστορεῖται γ' λέοντας ὑφ' Ἡρακλέους διαφθαρῆναι, τὸν Ἑλικώνιον, τὸν Λέσβιον, τὸν Νεμεαῖον.*

Vs. 7—9.

Vet. *Χαρίεντος Ὕλλα: τὸν Ὕλαν Σωκράτης υἱὸν Ἡρακλέους φησίν, Ἀπολλώνιος δὲ ὁ Ῥόδιος Θειοδάμαντος, ⟨Νίκανδρος⟩ δὲ Κήϋκος, Εὐφορίων δὲ Πολυφήμου τοῦ Ποσειδῶνος ἐρώμενον, [καὶ ἄλλοι ἄλλων].* — *Τὰν πλοκαμίδα φορεῦντος: τοῦ ἔχοντος τὰς τρίχας τῆς κεφαλῆς πεπλεγμένας, ἵν' ᾖ τὸ φοροῦντος ἀντὶ τοῦ [φέροντος καὶ] ἔχοντος.* (ἢ

2) *Ὁ θεὸς ἐκεῖνος.* L. P. *ἐκεῖνος.* M.
3) [*Τὰ καλά:*] *τὸ πρὸς ἀλλήλους κτήσασθαι φίλτρον.* M.
4) *Τὸ μέλλον.* M.
5) *Ὁ γενναῖος κατὰ ψυχὴν καὶ σῶμα.* M. *ὁ ἰσχυρός.* C.
6) *Τὸν ἐν τῇ Νεμέᾳ λέοντα, οὗ καὶ τὴν δορὰν ἐφόρει ὁ Ἡρακλῆς.* L. P. — *Τὸν λέοντα τὸν ἐν Νεμέᾳ ἐβάστασε κτείνας.* M.
7) *Τοῦ ὡραίου, τοῦ τὴν πλοκαμῖδα φέροντος· πεπλεγμένος γὰρ ἦν ὡς γυναικώδης.* M. — *Μαλλὸν πεπλεγμένον. ἢ τοῦ φέροντος προσποιητὸν μαλλόν.* *L. *P.

---

1) *Ἴριδος*] conj. Gaisf., *Ἔριδος* vulg. 4) *δηλαδὴ* Gen.[a] 7) //Gen.[b] sine lemmate. 7) *λὶν*] Gen.[b] et vulg. ante Reisk., qui *ΛΙΝ*; tum *λῖς, λῖν, λῖς* Kiessl. 9) *Hom. Il. Λ*, 480 et *O*, 275. 12) //Om. Gen.[a.b.] — *γ'*] Unger. Parad. Theb. p. 401, *γὰρ* vulg. 13) *Νεμαῖον* ante Heins., fort. *Νέμεον*. 15) //Om. Gen.[a.b.] 16) *Θειοδ. Νίκ. δὲ Κήϋκος*] Toup. et Hemsterh., *Φιλοδάμου καὶ Κύηκος* vulg., *Θεοδάμαντος καὶ Μενοδίκης* Brub. mg. 17) *Πολυφήμου*] Koehl., *Εὐφήμου* vulg. 18) *ἐρώμενον*] Koehl. (quod voluit jam Brub., ubi *ἐρωμένον*), *ἐρωμένου* Call. et vulg. post Scult. 18) //Gen.[b] c. lemm. *φορεῦντος* post schol. *ὀρτάλιχοι* ad Vs. 12. 20) *καὶ* pro *τὸ* Gen.[b] 20) *φορέοντος* pro *φέρ.* Gen.[b] — 21) *ἐκεῖνο* M., unde male ad *τοῦτο* allatum. 28) *τὸ φέροντος προσποίηται* P.

τοῦ τοὺς πλοκάμους φοροῦντος, ἤγουν ἐνδυομένου καὶ περιβαλλομένου. ἴσως γὰρ ἂν φαλακρὸς ἦν, περιεβέβλητο δὲ ἀλλοτρίας τρίχας τῇ κεφαλῇ. p. 3. Gen.[b]) — *Ὅσσα μαθὼν ἀγαθός*: Ἀριστοτέλης φησὶν ὑπὸ Ῥαδαμάνθυος παιδευθῆναι τὸν Ἡρακλέα, Ἡρόδωρος δὲ ὑπὸ τῶν βουκόλων Ἀμφιτρύωνος, τινὲς δὲ ὑπὸ Χείρωνος καὶ Θεστιάδου. — [Ἰστέον ὅτι] Ὕλας παῖς ἦν Θεοδάμαντος τοῦ Δρύοπος. *Μαθών*: ὁ Ἡρακλῆς. πεπαιδεῦσθαι δὲ αὐτόν φασιν οἱ μὲν ὑπὸ Ῥαδαμάνθυος, οἱ δὲ ὑπὸ βουκόλων Ἀμφιτρύωνος, ⟨τινὲς δὲ ὑπὸ Χείρωνος⟩ καὶ Θεστιάδου.

Rec. (Ὕλας παῖς ἦν Θεοδάμαντος τοῦ Δρύοπος, ὃν μαθὼν Ἡρακλῆς πεπαιδεῦσθαι, ὥς τινες μέν φασιν, ὑπὸ Ῥαδαμάνθυος, οἱ δὲ ὑπὸ βουκόλων Ἀμφιτρύωνος, ⟨τινὲς δὲ ὑπὸ Χείρωνος⟩ καὶ Θεστιάδου ἔσχεν ἐρώμενον, παιδεύων καὶ αὐτὸς ἔτι μᾶλλον αὐτόν. M. Gen.[a])

Vs. 10—13.

Vet. *Χωρὶς δ' οὐδέ ποκ' ἦς*: οὐδέποτε, φησίν, ὁ Ἡρακλῆς αὐτοῦ ἐχωρίζετο, οὐδὲ μεσούσης τῆς ἡμέρας οὐδὲ ταῖς ἑωθιναῖς ὥραις. — *Οὐδ' ὁπότ' ὀρτάλιχοι μινυροί*: (οὐδέποτε, φησίν, ὁ Ἡρακλῆς αὐτοῦ ἐχωρίζετο, οὔτε πρωΐ, οὔτε μεσούσης τῆς ἡμέρας, Vat. Gen.[a.b.]) οὔτε κατὰ τὸν καιρόν, καθ' ὃν οἱ νεοσσοὶ ἐν οἰκήματί τινι ὄντες ἀποβλέποιεν

9) Ἀείμνηστος. M. — Ἐγένετο ἄν, εἴπερ ἦν. M.
10) Ἄνευ τούτου. M. διακεχωρισμένος. L. — Οὐδὲ ὅτε ἦν τὸ μέσον τῆς ἡμέρας. M. — Ἐκινήθη. C.

---

1) τοῦ om. Gen.[b.] 2) περιβάλλετο Gen.[b.] 3) //Om. Gen.[a.b.] 5) Ἡρόδωρος] Hemsterh. et Toup. ad Vs. 56, Ἡρόδοτος vulg. 6) Θεστιάδου] Hemsterh., Θεστιάδους vulg. 6) //Gen.[b.] sine ἰστέον ὅτι. Scholium vulgo potius Hypothesi adhaeret. 7) ἦν] Gen.[b.] et Q. in Hypoth., ubi vulg. ὑπῆρχε. — Θεοδήμαντος B. et ante Crisp., Θεομήδοντος Gen.[b.] 7) Δρύοπος] Geel. ex SchApoll. I, 131, δρυόπου Gen.[b.], δρυτόμου Hypoth., cf. lin. 11. 7) μαθὼν ὁ lemmate non distincto Gen.[b.], quorum loco οὗ ἤρα Hypoth. 8) δὲ et μὲν om. Gen.[b.], ubi φησι. 10) Θεστιάδα Q. 11) Ὕλλας Gen.[a.] — Θεοδήμαντος codd. 11) Δρύοπος] δρυόπου M.[2], δρυόμου M.[3.4.], δρυομένου Gen.[a.] 12) Ῥαδαμάνθους Gen.[a.] 14) Θεστιάδος codd. 15) αὐτὸν om. Gen.[a.] 17) //Om. Gen.[a.b.] 18) Verba οὐδὲ μεσούσης seqq. extant etiam in *r. 19) //Gen.[a.b.], ille cum veriore lemmate χωρὶς δ' οὐδέποτ' ἦς. — οὔθ' ὁπ. ὀρτ. Gen.[b.] 21) τῆς om. Gen.[a.] 21) κατὰ] add. M. Gen.[a.] — 24) διακεχωρισμένοι cod.

εἰς τὴν κοίτην, πτερυσσομένης τῆς μητρὸς καὶ λοιπὸν ἀναχωρούσης, τὴν τελευταίαν ἐκδεχόμενοι τροφήν. — Ὀρτάλιχοι δὲ νεοσσοὶ μικροί, μηδέπω πετόμενοι. μινυροὶ δὲ ἀντὶ τοῦ μινυρίζοντες καὶ λεπτῇ φωνῇ θρηνοῦντες. — ⟨Σεισαμένας πτερὰ⟩ μητρός: πτερυσσομένης, ὅπως ὑπὸ τὰς πτέρυγας λάβῃ τοὺς νεοσσούς. — Πέτευρον δὲ σανίδιον λεπτὸν καὶ τεταμένον, ᾧ καὶ εἰς τοὺς ὀρόφους ἀντὶ κεράμων πολλοὶ χρῶνται. οἱ δὲ αἰθαλόεν πέτευρον τὴν δοκὸν λέγουσιν, ὡς καὶ Ὅμηρος·

αὐτοὶ δ' αἰθαλόεντας ἀνὰ ῥῶγας μεγάροιο.

τινὲς δέ φασιν αἰθαλόεν εἰπεῖν τὸ πέτευρον διὰ τὸ αἴτιον εἶναι αἰθάλης. ἢ ἀπὸ τοῦ αἴθεσθαι λίαν (διὰ τὴν λεπτότητα M. Gen.[a.]) οὕτως αὐτὸ ἔφη.

Rec. (Ἄλλως. Ἀλλ' ὁμοῦ ἀεὶ [οὐδέποτε] ἦν. ἤγουν οὐδὲ ὅτε [ἦν] τὸ μέσον ἡμέρας ὁρμήσῃ· τοῦτο δὲ εἶπε διὰ τὴν τοῦ ἡλίου κίνησιν. *M. Gen.[a.]) — (Οὐδ' ὁπότ' ὀρτάλιχοι:

11. 12) Οὔτε πρωῒ οὔτε ἐν ἑσπέρᾳ ἀπελείπετο αὐτοῦ Ἡρακλῆς. r. — Οὔτε ὅτε ἡ Ἡμέρα ὑπὸ γῆν οὖσα ἀνέρχεται εἰς τὸ Διὸς οἴκημα, ἤγουν τὸν οὐρανόν. M. — [Ἐκ Διός:] ἐκ τοῦ οὐρανοῦ. r. — Οἱ τρωγλῖται. M. στρουθοί. r. — Μικροί, μινυρίζοντες. M. — Ὅταν ὁρῶσι πρὸς τὸν κοῖτον ἐρχομένης τῆς μητρὸς καὶ σεισαμένης τὰ πτερά, φερούσης δὲ αὐτοῖς τροφήν. *r. — Βλέπουσι, ἤγουν πρὸς κοίτην ἔρχονται. r.

13) Ἀναπτερυσσομένης, ὅπως ὑπὸ τὰς πτέρυγας λάβῃ τὰ νεοσσά. M. — Καπνώδει. 6. ξηρῷ ἢ λεπτῷ. M. μεμελανωμένῳ. P. — Πεταύρῳ, ὀρόφῳ. M. σανίδι. r. [Πετάλῳ:] σανιδίῳ. L. rec. P. γράφεται καὶ πηταύρῳ. L.

---

1) τὴν om. Gen.[a.] 1) περιτυσσομένης Gen.[b.], περιπτυσσομένης 3. In M. Q. pro πτερ. seqq. leguntur: ἀνακουφιζομένης τὰ πτερὰ τῆς μητρός, ὡς ὑπ' αὐτὰ τούτους δεξομένης, Gen.[a.] desinit in κοίτην ἀνακουφιζομένη. 2) δεχόμενοι Gen.[b.] 2) //Gen.[a.b.] sine δέ, Gen.[a.] post SchRec., Gen.[b.] post Θεστιάδου pag. 355. 10. 3) οἱ μικροὶ v. οἱ Q. Gen.[a.] 3) μηδέπω] Q., μηδέποτε Gen.[a.] vulg. — τῆς (om. Gen.[a.]) πτήσεως ἀρξάμενοι Q. Gen.[a.] 5) //Gen.[b.] ante schol. praec., cui vulgo μητρὸς πτ. etc. male adhaerent. 5) πτερυσσομένης] Gen.[b.], ut conj. Geelius, περιπτυσσομένης vulg. 6) //Gen.[a.b.] — πέταυρον sine δὲ Gen.[a.] 6) σανίδα Gen.[b.] 7) ὡς pro ᾧ καὶ Gen.[a.b.], εἰς et ἀντὶ κερ. πολλοὶ om. Gen.[a.] 7) κεράμων] Can. Gen.[b.], κεραμίων vulg. 8) οἱ δὲ … μεγάροιο in M. Gen.[a.] post sequentia leguntur. — εἰ δὲ αἰθολόεν πέταυρον Gen.[a.] 10) ἀνὰ ῥῶγας] Phav. vulg., ἀναρῶγας Gen.[b.] Call., ἀναῤῥῶγας Brub. et ante Heins., ἀναρώσας Can. 11) δὲ om. Gen.[b.], αἰθ. δὲ ἢ διὰ mediis omissis Gen.[a.] 13) οὕτως αὐτὸ ἔφη om. M. Gen.[a.] Phav. 13) φασι Gen.[b.] 14) Scholia hoc et sequens in Gen.[a.] leguntur ante SchVet. ὀρτάλιχοι. — οὐδέποτε … ἡμέρας ex M. non afferuntur. 15) ὁρμήσοι M. — 21) κοῖτον] Wart., οἶκον cod.

ἤγουν ὅτε ἑσπέρα καταλάβῃ καὶ οἱ τρωγλῖται ὑπὸ ταῖς καλιαῖς εἰσέρχονται ταῖς ἐν τοῖς τῶν ἀνθρώπων οἰκήμασιν οὔσαις. *M. Gen.[a])

Vs. 1—14.

Rec. [Τὸ δὲ πᾶν ἔχει οὕτω μέχρι τοῦ αὐτῷ δ' εὖ ἕλκων.] πάλιν ὁ λόγος πρὸς τὸν Νικίαν φίλον ὄντα τοῦ Θεοκρίτου. φησὶ γὰρ ὁ Θεόκριτος πρὸς αὐτόν, ὅτι, ὡς ἐδοκοῦμεν ὦ Νικία, οὐχ ἕνεκα ἡμῶν μόνων ἐγέννησε τὸν Ἔρωτα ὁ θεός, ᾧτινι ἐγένετο τέκνον· οὐχ ἡμῖν μόνοις τὸ καλὸν φαίνεται καλὸν εἶναι, οἵτινες θνητοί ἐσμεν καὶ σήμερον ὁρῶμεν, αὔριον δ' οὐχ ὁρῶμεν, τουτέστι σήμερον ζῶμεν, αὔριον δὲ τεθνηξόμεθα· ἀλλὰ καὶ ὁ Ἡρακλῆς ὁ χαλκεοκάρδιος, τουτέστιν ὁ στερρός, υἱὸς τοῦ Ἀμφιτρύωνος, ὅστις, ὁ Ἡρακλῆς, ἀπέκτεινε τὸν ἐν Νεμέᾳ λέοντα, δεδούλωτο τῷ Ἔρωτι. ἠράσθη γὰρ παιδὸς τοῦ χαρίεντος Ὕλα, τοῦ φέροντος πλόκαμον, τουτέστι τοῦ ἔχοντος τὰς τρίχας πεπλεγμένας, καὶ ἐδίδαξεν αὐτόν, τὸν Ὕλαν, ὁ Ἡρακλῆς, πάντα τὰ πρὸς ὠφέλειαν, ὡς καὶ πατὴρ διδάξειεν ἂν τὸν ἑαυτοῦ παῖδα· ἐκεῖνα δηλονότι ἐδίδαξεν αὐτόν, ὅσα αὐτός, ὁ Ἡρακλῆς, μαθὼν ἀγαθὸς ἐγένετο ⟨καὶ ἀοίδιμος,⟩ τουτέστιν ἐπαινετός. ἐς τοσοῦτον δὲ δεδούλωτο ὁ Ἡρακλῆς τῷ ἔρωτι τοῦ παιδός, ὥστε οὐδέποτε ἦν χωρὶς αὐτοῦ, τουτέστι κεχωρισμένος, ἀλλὰ διὰ παντὸς συνῆν καὶ ὡμίλει αὐτῷ — τοῦτο γὰρ δίδωσιν ὁ λόγος τῷ μηδέποτε ἀφίστασθαι τοῦ παιδός, μήτε τῷ μέσῳ τοῦ ἤματος, τουτέστι τῇ μεσημβρίᾳ, μήτε ὁπότε ἀνατέλλει ὁ ἥλιος — τοῦτο γὰρ σημαίνει τὸ ἀνατρέχει ἡ λεύκιππος Ἠὼς ἐς τὸ δῶμα τοῦ Διός, τουτέστιν ἡ ἐπὶ λευκῶν ἵππων ὀχουμένη — μήτε ὁπότε ὄρνις τις νεοσσοὺς ἐνθουσιάζοντας πρὸς τὴν κοίτην τοῦ ἡλίου δύνοντος, ἐπὶ ξύλου καθημένη καὶ τὰ πτερὰ αὐτοῖς περιβαλοῦσα σκέπει καὶ περιθάλπει. οὕτω πεπαίδευτο ὁ παῖς αὐτῷ κατὰ θυμόν, τουτέστι κατὰ τὴν οἰκείαν ἀρέσκειαν.

14) [Ὡς:] οὕτως. M. — Κατὰ ψυχήν. M. κατὰ τὴν οἰκείαν βούλησιν. L. P. — Ἠσκημένος. r. πεφιλημένος. M. ὅπως ὁ παῖς ⟨ὑπ'⟩ αὐτοῦ δεδιδαγμένος εἴη. L. P. — [Εἴη:] ἦν. M.

---

1) ἤγουν om. M. 2) τῶν om. M. 5) //Om. Gen.[a.b.] 8) μόνων] μόνον vulg. 20) τοσοῦτο Kiessl. 23) ὁμίλει ante Xyl. 28) ἐνθουσιάζοντας] ἔχουσα καὶ ὄντας vulg. 29) αὐτοῖς] Jacobs., αὐτῆς vulg. 29) περιβαλοῦσα] περιβαλλοῦσα ante Xyl., περιβάλλουσα vulg.

Vs. 15.

Vet. *Αὐτῷ δ' εὖ ἕλκων*: ἀντὶ τοῦ αὐτόθεν· ὡς παραυτόθεν ἐκ νεότητος καλῶς ἕλκων καὶ κατὰ μηδὲν ἐλαττούμενος μηδὲ ἐλλείπων ἀνὴρ γένοιτο. εἴρηται δὲ μεταφορικῶς ἀπὸ τῶν βοῶν τῶν ἐκ νέου εἰθισμένων καλῶς ἕλκειν.

Rec. (*Αὐτῷ δ' εὖ ἕλκων*: ἤγουν καλῶς ἐν αὐτῷ διερχόμενος καὶ διαβιβάζων τὸν ἑαυτοῦ βίον, ἀπὸ μεταφορᾶς τῶν βοῶν τῶν ἐκ νέου εἰθισμένων καλῶς ἕλκειν. *M. Gen.[a])

Vs. 20.

Vet. *Μιδεάτιδος*: Μίδεια πόλις Ἄργους· οἱ δὲ κώμην αὐτήν φασιν. Ἀργεία δὲ καὶ ἡ Ἀλκμήνη.

Vs. 21.

Rec. (*Ἀργώ*: διὰ τὸ ἐν Ἄργει ἢ ὑπὸ Ἄργου τινὸς κατασκευασθῆναι, ἢ διὰ τὸ ταχεῖαν εἶναι κατ' ἀντίφρασιν. M. Q. Gen.[a])

Vs. 22.

Vet. *Ἄτις Κυανεᾶν*: Καρύστιος ὁ Περγαμηνός φησι

15) *Καὶ ὁ Ἡρακλῆς ἕλκων αὐτον ἐπαίδευσεν ἐν τῇ ἑαυτοῦ ὠφελείᾳ, ἵνα ἀποβαίη εἰς ἀληθινὸν ἄνδρα ὁ Ὕλας.* *r. — [*Αὐτῷ*:] *ἤγουν ἐν τῇ ἑαυτοῦ ὠφελείᾳ.* r. — [*Ἕλκων*:] *ἑλκόμενος.* 6. Q. *παιδοτριβούμενος. λείπει δὲ τὸ ὅπως.* L. P. *ὑπ' αὐτοῦ διδαχθείς.* r. — *Ἀπέβη ἄν.* M.

16) *Εἰς τὸ δέρμα.* M.

17) *Οὗτοι.* M.

18) *Προκεκριμένοι.* L. M. — *Παρ' ὧν ἦν βοήθειά τις.* L. P.

19) *Ὁ καρτερικὸς καὶ γενναῖος.* M. — [*Ἰαολκόν*:] *ὄνομα πόλεως, ἡ λεγομένη Μαγνησία.* L. P. Q. *τὴν Κολχίαν ἢ τὴν Μαγνησίαν.* M.

20) *Τῆς ἐκ Μιδέας κώμης Ἄργους.* M. *ἥτις Ἀλκμήνη ην ἐκ τῆς Μιδέας πόλεως.* r. — *Τῆς ἡρωικῆς.* M.

21) *Εἰσήρχετο.* M. — *Εὐκάθεδρον.* M.

---

2) //Gen.[b] — *αὐτόθεν*] Duebn., *αὐτόθι* vulg. — *ὡς παραυτόθεν*] *ὥσπερ αὐτόθεν* vulg., *ὅσπερ αὐ.* Gen.[b] 3) *καλὸς* Gen.[b] 7) *τῶν βοῶν* om. M. 10) //Gen.[b] sine lemmate. — *Μίδεια*] *Μίδηα* Gen.[b], *Μίδεα* vulg. 11) *ἡ* om. Gen.[b] 13) //Gen.[a] post schol. *Συνδρομάδων* Vs. 22. 14) *κατὰ* M. Q. 17) //Gen.[b] sine lemmate, ubi hoc scholium et sequens extrema hujus idyllii sunt. — *Καρύστριος* Gen.[b] — 25) *ἦν*] *ἡ* codd. 30) *Μιδέας πόλ.*] Wart., *Μηδέας πολ.* cod.

Κυανέας μὲν ὑπὸ ἀνθρώπων, ὑπὸ δὲ θεῶν Φόρκου πύλας κεκλῆσθαι· Τιμοσθένης δέ φησιν ἀπὸ τοῦ ἱεροῦ ὡσεὶ στάδιον εἶναι νησίδιον σκοπελῶδες, καλεῖσθαι δὲ τὰς τούτου ἄκρας Κυανέας. — Συνδρομάδων: (συνδρομάδας λέγει τὰς Κυανέας πέτρας Gen.[a]) *διὰ τὸ συντρέχειν ἀλλήλαις καὶ συνέρχεσθαι καὶ συνθραύειν τὰς διαπερώσας ναῦς. μόνην δὲ τὴν Ἀργώ φασι προνοίᾳ τῆς Ἀθηνᾶς διαβεβηκέναι. ἦν δὲ πεπρωμένον ταῖς συμπληγάσι πέτραις, ὡς εἰ διαβαίη τις μία ναῦς αὐτὰς ἀβλαβῶς,* [*καὶ τὰς μετὰ ταῦτα μηδέν τι πάσχειν δεινὸν*] *ἐξ ἐκείνου τοῦ χρόνου στῆναι· διὸ καὶ ἔστησαν τῆς Ἀργοῦς διαβάσης.*

Vs. 24.

Vet. Βαθὺν δ' ἐσέδραμον Φᾶσιν: Φᾶσις ποταμὸς καὶ πόλις ὁμώνυμος ἐν Κόλχοις, παρ' ἣν Ἕλληνες, Μιλησίων ἄποικοι.

Vs. 25—28.

Vet. Ἀντέλλοντι Πελειάδες: περὶ ἀνατολήν, φησί, τῶν Πελειάδων ἤρξαντο στέλλεσθαι τὸν πλοῦν καὶ ἀνάγεσθαι οἱ ἥρωες εἰς Κόλχους. ἐστὶ δὲ ὁ καιρὸς ἀρχομένου τοῦ θέρους, διὸ καὶ ἐπήγαγε τετραμμένου εἴαρος, τουτέστι λήξαντος. — Ἄλλως. Αἱ Πελειάδες, φησὶ Καλλίμαχος, τῆς βασιλίσσης τῶν Ἀμαζόνων ἦσαν θυγατέρες, αἳ Πελειάδες

22) *Μελαινῶν πετρῶν.* M. *τὰς συμπληγάδας πέτρας φησίν.* L. P. — *Ἐπλησίασε.* M. — *Συμπληγάδων.* M.

23) *Καὶ διεξήλασε.* P. *διέβη ταύτας ἐν τῇ ταχυτῆτι, ἢ τὸ μέγα λαῖτμα.* M.

24) *Αἰετὸς ὡς μέγα λαῖτμα: λαῖτμα τὸ πέλαγος ἢ τὸ τῆς θαλάσσης πλάτος.* *L. *P. *ὥσπερ διέρχεται κῦμα.* M. *τὴν μεγάλην θάλασσαν.* M. — *Αἱ πέτραι.* M. *τὰ παραθαλάσσια σκύβαλα.* r.

25) *Ἀκρώρειαι.* 6. *τὰ ἄκρα τῶν ορῶν.* Q. *τὰ ὄρη.* M. *τὰ ἔσχατα μέρη τῶν ἀγρῶν καὶ τῶν πεδίων.* L. *τὰ πρὸς τοῖς τέρμασι τῶν χωρίων ἐσχατιὰς ἔλεγον.* r.

---

1) *Φόρκου*] Meinekius ad Menand. p. 141, *Ὅρκου* vulg. 4) //Gen.[a.b.], ille sine lemmate. 6) *καὶ συνδράνειν* Gen.[b.] 6) *διαπεραιουμένας* Gen.[a.] 7) *τῆς Ἀθ.* om. Gen.[a.] 8) *πέτραις* om. Gen.[a.] 8) *εἰ διέλθοι* Gen.[a.] 8) *μία*] 3. Gen.[b.], *ἅπαξ* vulg., om. Gen.[a.] 9) Circumscripta om. Gen.[a.b.] 10) *ἐξ ἐκείνου* seqq.] 3. Gen.[a.b.] (sed *διελθούσης* Gen.[a.], *ἔστη γῆς* pro *ἔστησαν* et *διαβάσας* Gen.[b.]), *ἐξ ἐκ. οὖν τοῦ χρ., ἀφ' οὗ ἡ Ἀργὼ διέβη, ἔστησαν τῆς συνδρομῆς* vulg. 13) //Gen.[a.b.] sine lemmate, hic post schol. Vs. 39. 17) //Gen.[a.b.] post schol. praec. c. lemm. *Πελειάδες* Gen.[b.], *Πλειάδες* Gen.[a.] 20) *ἐπάγει* et *ἔαρος* Gen.[a.] 21) //Om. Gen.[a.b.]

προσηγορεύθησαν. πρῶτον δ' αὗται χορείαν καὶ παννυχίδα συνεστήσαντο παρθενεύουσαι. ὁ δὲ νοῦς· καθ' ὃν, φησί, καιρὸν ἀνατέλλουσιν αἱ Πλειάδες θάλλει τε πᾶσα γῆ ταῖς βοτάναις τοῦ ἔαρος, τηνικαῦτα τοῦ ἀπόπλου ἐφρόντιζον. τὰ δὲ ὀνόματα τῶν Πλειάδων εἰσὶ ταῦτα· Κοκκυμώ, Γλαυκία, Πρῶτις, Παρθενία, Μαῖα, Στονυχία, Λαμπαδώ. — Θεῖος ἄωτος: τὸ ἀπάνθισμα τῶν ἡρώων, οἷον οἱ πρῶτοι τῶν ἡρώων. — (*Ἄωτος:* Gen.[a]) *τὸ θεῖον ἀπάνθισμα τῶν ἡρώων. εἴρηται δὲ ἄωτος ἀπὸ τοῦ ἄειν, ὅ ἐστι πνεῖν καὶ ὀδωδέναι.*

Vs. 30.

Vet. *Εἴσω δ' ὅρμον ἔθεντο: καθωρμίσθησαν ἐν τῇ Προποντίδι κατὰ τὴν Κίον, τὴν νῦν καλουμένην Προῦσαν, ἔνθα τὰ κατὰ τὸν Ὕλαν· ἢ ἔνθα καὶ Ἡρακλῆς ἀπὸ τῶν ἡρώων κατελείφθη. — Ἔνθα Κιανῶν αὔλακας: εἰς τὸν τόπον τῶν Κιανῶν. Κιανοὶ γὰρ οἱ τὴν Κίον οἰκοῦντες, ἥτις νῦν καλεῖται Προῦσα ἀπὸ τοῦ τῶν Βιθυνῶν βασιλέως Προυσίου. Κίος δὲ ἀπὸ Κίου τοῦ υἱοῦ Ὀλύμπου, ἀφ' οὗ τὸ ὄρος ὁ Ὄλυμπος.*

Rec. (*Ἔνθα Κιανῶν: τῶν τὴν Κίον οἰκούντων, τὴν νῦν καλουμένην Προῦσαν.* Gen.[a])

26) *Λήξαντος τοῦ ἔαρος.* L. P. *παυσαμένου τοῦ ἔαρος.* M.
28) *Βαθεῖαν.* M. — *Εἰσελθόντες.* M. *καθεσθέντες.* C.
29) *Ἤτοι τρεῖς ἡμέρας πνέοντος τοῦ νότου.* *L. *P.
30) *Τὴν εἰς τὸν λιμένα καταγωγὴν ἐποίησαν.* M. — *Τῶν περὶ τὴν Κίον ἀνθρώπων.* L. P. *κόλπος Κίου.* 6.
31) *Σχίζουσι* 6. *πλατύνουσι.* C. *σπουδαίως σύρουσι.* L. rec. P.
32) *Σύνδυο.* 6. *κατὰ συζυγίαν.* C. M. *ζυγὸν ἡ καθέδρα. ζυγοὶ παρὰ Ἡροδότῳ καθέδραι.* r. — *Ἤγουν σύνδυο εἰς τὰ περὶ τροφὴν ἠσχολοῦντο.* p. Vat. L. — *Ἐνήργουν.* 6. L. M. *ἐποίουν.* L. M.
33) *Ἤγουν κατὰ τὸ μεσημέριον.* M. Q. — *Κατέστρωσαν, ἐποίησαν.* M. — *Κοίτην.* M. *ταπεινὴ κλίνη.* r.

5) *Γλαυκία*] ante Scult., *Πλαυκία* vulg. 6) *Λαμπαθὼ* Reisk. seqq. 6) //Om. Gen.[a.b.] 7) *ἡρώων*] conj. Duebn., cf. lin. 8., *ἀνθῶν* vulg. 8) //Gen.[a.b.] post schol. *Πελειάδες.* — *ἤτοι τὸ ἀπ.* Gen.[a.] 9) *καὶ εἴρ. ἄωτος* Gen.[b.], om. Gen.[a.] 9) *ὅ ἐστι*] Gen.[a.b.], *ἤγουν* vulg. 11) //Gen.[b.] c. lemm. *ἔνθα Κιανῶν.* — *καθ' ὁρμ.* ante Brub., *καθορμ.* vulg. ante Kiessl., *καθωρμισθῆσαν* Gen.[b.] 14) *κατέλειφθεν* Gen.[b.] 14) //Om. Gen.[a.b.] 15) *κυανῶν· κυανοὶ* ante Brub. 16) *Βιθυνῶν*] Toup. et Wart., *Ἀθηνῶν* vulg., *Κιανῶν* Brub. mg. 19) *Κίαν* cod. — 21) *λήξαντος*] *ἄρξαντος* codd. — *παυσομένου* cod. 28) *τὸ λεγόμενον* pro *ἤγουν* L. — *τροφὴν*] Wart. II p. 351, *τρυφὴν* codd.

Vs. 34.

Vet. *Στιβάδεσσιν ὄνειαρ*: ἤγουν ταῖς κοίταις ὠφέλεια, παρ᾽ ὅσον ἐποίουν τὰς στιβάδας ἐκ τῆς ἐν τῷ λειμῶνι φυομένης ὕλης. στιβάδα δὲ καλοῦσι τὴν ἐξ ὕλης χορτώδη κατάστρωσιν.

Vs. 15—35.

Rec. Ἄλλως. *Αὐτῷ δ᾽ εὖ ἕλκων*: τὸ πᾶν μέχρι τοῦ *ἔνθα βούτομον ὀξὺ βαθὺ δὲ τάμον κύπειρον* ἔχει οὕτως. ἀγόμενος δὲ ὁ παῖς αὐτῷ τῷ Ἡρακλεῖ, ἵνα ἀποβαίη εἰς ἀληθινὸν ἄνδρα, τουτέστιν ἀνδρεῖος ἀναφανείη, μὴ ψευδόμενος τὴν ἑαυτοῦ φύσιν δηλονότι. ἀλλ᾽ ὅτε ὁ Ἰάσων ἔπλει εἰς τὸ χρύσεον δέρμα, ὁ υἱὸς τοῦ Αἴσονος, συνέπλεον δὲ μετ᾽ αὐτοῦ καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων, ἐκλελεγμένοι ἐκ πασῶν τῶν πόλεων, οἵτινες ἦσαν ὠφέλιμοι — τοῦτο γάρ ἐστι τὸ *ὦν ὄφελός τι* — ἀφίκετο καὶ ὁ Ἡρακλῆς ὁ υἱὸς τῆς Ἀλκμήνης τῆς Μιδεάτιδος τῆς ἡρωίνης ὁ ταλαεργός, τουτέστιν ὁ καρτερικός, ἐς τὴν πόλιν τὴν Ἰαολκὸν τὴν ἀφνειάν, τουτέστι τὴν πλουσίαν· σὺν αὐτῷ δὲ τῷ Ἡρακλεῖ καὶ ὁ Ὕλας εἰσέβαινεν εἰς τὴν νῆα τὴν Ἀργὼ τὴν εὔεδρον καὶ εὐκάθεδρον, ἥτις, ἡ Ἀργὼ ναῦς δηλονότι, οὐχ ἥψατο τῶν πετρῶν τῶν μελαινῶν τῶν συνδρομάδων, τουτέστι τῶν συγκροτουμένων πρὸς ἀλλήλας, ἀλλὰ διέδραμεν αὐτὰς καὶ ἦλθεν εἰς τὸν Φᾶσιν ποταμὸν τὸν βαθύν, ὥσπερ ἀετὸς διαπερᾷ τὴν θάλατταν. ἐξ ἐκείνου δὲ τοῦ καιροῦ ἔμειναν αἱ χοιράδες, ⟨τουτέστιν αἱ⟩ πέτραι, ἀκίνητοι. *Ἆμος δ᾽ ἀντέλλοντι Πελειάδες*: τότε δὲ ἐμνήσθησαν οἱ Ἀργοναῦται πλεύσεως, λέγω τὸ θεῖον ἀπάνθισμα τῶν ἡρώων — τοῦτο γάρ ἐστι τὸ *θεῖος ἄωτος* — ὅτε αἱ Πλειάδες ἀνατέλλουσιν. ἀνατέλλουσι δὲ ἐν τῇ ἀρχῇ τοῦ ἔαρος, ὅτε καὶ τὰ ζῷά εἰσιν ἀπολελυμένα πρὸς νομάς· τοῦτο γάρ ἐστι τὸ *ἐσχατιαὶ ἄρνα νέον βόσκοντι*.

34) *Τόπος λιβαδιαῖος*. M. — *Προέκειτο*. M. — *Ταῖς κοίταις ὄφελος*. M. *ἐπιτήδειον εἰς στρωμνήν*. L. P.

35) [*Βούτομον*:] *εἶδος χόρτου*. 6. L. *πάπυρον, τὸ κοινῶς ῥαγάζιον*. M. — [*Κύπειρον*:] *τὴν κοινῶς κύπεριν*. M.

---

2) //Om. Gen.[a.b.] 4) *στιβάδας* ante Reisk. 7) //Om. Gen.[a.b.] 8) *ἔνθα* et *βαθὺ δὲ τάμον*] ante Heins., *ἔνθεν* et *βαθὺν δ᾽ ἐτάμοντο* vulg. 25) *ἤγουν* supplere maluit Geelius. — 34) In r. est gl. Suid. *βούτομον* (*φυλλάριον* pro *φυτ.*)

καὶ δὴ ἐπιβάντες τῆς Ἀργοῦς — τοῦτο γὰρ ἡ ναῦς ὠνομάζετο — νότου λαμπροῦ πνέοντος μέχρι τρίτης ἡμέρας εἰς τὸν Ἑλλήσποντον ἵκοντο. ἐντὸς δὲ τῆς Προποντίδος ὥρμησαν εἰς τὸν τόπον τῶν Κιανῶν, ἐν ᾧ οἱ βόες ἀροτριοῦντες εὐρεῖαν τὴν αὔλακα ποιοῦσι καὶ κατατρίβουσι τὴν γῆν τῷ ἀρότρῳ — ἔστι δὲ τὸ ὅλον περίφρασις. Κίος δὲ πόλις πρὸς τὴν ἕω κειμένη τῆς Προποντίδος· οἱ δὲ τὴν Κίον οἰκοῦντες Κιανοί. ἐκβάντες δέ, τῆς νηὸς δηλονότι, σύνδυο δεῖπνον ἐπονοῦντο ἐπὶ τὸν αἰγιαλὸν κατὰ τὸν καιρὸν τῆς δείλης. κοίτην δὲ ἐποιήσαντο μίαν πολλοί. προέκειτο γὰρ αὐτοῖς λειμών, ὅστις ἦν ὠφέλεια τῶν στρωμνῶν, ἐξ οὗτινος λειμῶνος ἔκοψαν βούτομον ὀξὺ καὶ κύπειρον.

Vs. 36—44.

Rec. *Κῶχετο Ὕλλας ὁ ξανθός: ὁ νοῦς· καὶ ὁ Ὕλας ὁ ξανθὸς ἐπορεύθη κομίσων ὕδωρ ἐπιδείπνιον ἕνεκα τοῦ Ἡρακλέους καὶ τοῦ στερροῦ Τελαμῶνος καὶ ἐμβριθοῦς τὴν ψυχὴν ἢ ἀκαμποῦς καὶ σκληροῦ — τοῦτο γάρ ἐστι τὸ ἀστεμφεῖ, οἱονεὶ ἀστρεφεῖ — οἵτινες κοινὴν ἐποιοῦντο τράπεζαν. ᾤχετο δὲ ὁ Ὕλας κρατῶν ξίφος σιδηροῦν. ταχέως δὲ κρήνην εἶδεν ἔν τινι χώρῳ κοίλῳ καὶ οἱονεὶ καθημένῳ· παραπεφύκασι δὲ ταύτῃ βοτάναι πολλαί, λέγω θρύα, χελιδόνιον μέλαν καὶ ἀδίαντον χλωρὸν καὶ σέλινα θαλερὰ καὶ ἄγρωστις ἡ τεινομένη ἅμα καὶ ἑλισσομένη. μέσον δὲ τῆς κρήνης αἱ Νύμφαι ἐχόρευον — τοῦτο γάρ ἐστι τὸ χόρον ἀρτίζοντο — λέγω αἱ Νύμφαι αἱ μηδέπω τῷ ὕπνῳ δουλεύουσαι, αἱ φοβεραὶ τοῖς ἀγροίκοις θεαί.*

Vs. 40.

Vet. *Θρία πολλά: θρίον κυρίως τὸ τῆς συκῆς φύλλον*

36) Ὁ ὡραῖος. M. — Ἐπὶ τῷ δείπνῳ. M. — *ΟΙΣΩΝ*: σύναπτε ἐνταῦθα τὸ χάλκεον ἄγγος ἔχων. *M. *Q.

37) Ἰσχυρῷ, ἀμετακινήτῳ. M. ἀνδρείῳ. C.

38) [Οἳ *μίαν*:] διὰ μέσου. 6. ὁ Ἡρακλῆς, ὁ Τελαμὼν καὶ ὁ Ὕλας. L. — Εὐωχοῦντο, εἶχον. M.

39) *ΕΓΧΟΣ*: ἄγγος ἀπὸ τοῦ ἐγχεῖσθαι ἐν αὐτῷ τὸ ὕδωρ. *L. *P. — Ταχέως. C. ἴσως. M.

---

6) *Κίος ... Προπ.*] *Κίος δὲ π. τῆς Πρ.* ἢ *Κίος δὲ πόλις πρὸς τ. ἕω κειμένη* vulg. 8) *ἐπονοῦντο*] *ἐποιν.* ante Brub., *ἐποιοῦντο* vulg. 12) *καὶ* om. ante Heins. 14) //Om. Gen.[a. b.] 16) *στεροῦ* ante Brub. 19) *οἶδεν* ante Heins. 21) *θρύα*] ante Heins., *θρία* vulg. 28) //Gen.[a. b.], hic post *κολλητζίδαν* pag. 364. 9., uterque sine lemmate.

παρὰ τὸ εἰς τρία διεσχισμένον εἶναι, τρίον καὶ θρίον. ἀπ' αὐτοῦ δὲ καὶ θρίαμβος ὠνόμασται. οἱ γὰρ παλαιοὶ προπομπὴν ποιοῦντες φύλλα συκῆς ἐκρέμων τῇ προπομπῇ καὶ ἔβαινον.

Vs. 41.

Vet. Κυάνεόν τε χελιδώνιον: φυτάριόν ἐστι πλατύφυλλον, μέλαν ὡς ἡ χελιδών· ⟨ἢ⟩ ὃ ἅμα τῷ φανῆναι τὴν χελιδόνα ἀνθεῖ. — Ἀδίαντον: βότανον ἐστὶν ἀεὶ [καὶ διαπαντὸς] ἄβροχον. ὅθεν καὶ τὸ ὄνομα ἀπὸ τοῦ ἀ στερητικοῦ μορίου καὶ τοῦ διαίνω τὸ βρέχω, ἤγουν τὸ μηδόλως βρεχόμενον διὰ τὸ εἶναι ὀρθόν τι καὶ ὀξὺ καὶ γλίσχρον. — (Καὶ τὸ ἀδίαντον δέ ἐστι διαπαντὸς ἄβροχον καὶ ταχέως ὡς ξηραινόμενον, καὶ ὕδωρ ἄν τί που ἐπιβληθῇ καὶ ἐπιχεθῇ, διολισθαίνει. p. Gen.[b.]) ἔστι δὲ ὅμοιον πηγάνῳ, τὰ φύλλα ἔχον μικρότατα καὶ μέλανα· καυλὸν δὲ οὐκ ἔχει οὐδὲ ἄνθος οὐδὲ καρπόν, ῥίζαν δὲ μόνην ἄχρηστον καὶ λεπτήν. [καλεῖται δὲ οὕτω παρὰ τὸ μὴ δεύεσθαι ὕδατι, ἐπεὶ ἐὰν ἐπιχέηται ὕδωρ ἐπὶ τῶν φύλλων οὐ μένει, ἀλλ' ὀλισθαίνει. δεῦσαι γὰρ τὸ βρέξαι.]

Rec. (Χελιδόνιον: βοτάνη τις πλατύφυλλος, μέλαινα ὡς ἡ χελιδών, ἥτις ἅμα τῷ φανῆναι τὰς χελιδόνας ἀνθεῖ καὶ τυφλωθείσας ταύτας φωτίζει ἐπιτεθεῖσα. M.) — (Ἀδίαντον: βοτάνη τις ἐν ὕδασι φύουσα ἀπὸ τοῦ ἀεὶ διαίνεσθαι καὶ βρέ-

40) Χθαμαλῷ. 6. L. P. ὁμαλῷ. C. δασεῖ. M. διύγρῳ. r. [ἐν χόρτῳ:] ἐν χλοερῷ τόπῳ. C. — [Θρία:] φύλλα. 6. M. ἤγουν βοτάναι. M. εἶδος βοτάνης. L. P.

41) Ὁ τὰς τῶν χελιδόνων κόρας τυφλωθείσας φωτίζει. Q. — Τὸ ἀκμάζον καὶ νέον. r. — [Ἀδίαντον:] βοτάνη οὕτω καλουμένη ἐν ὕδατι φύουσα. M.

---

1) περὶ τὸ Gen.[b.] 1) διησχ. Gen.[a.] 1) ἀπὸ τούτου Gen.[a.] 2) δὲ om. Gen.[a.b.] 2) ὠνομάσθη 3., om. Gen.[a.b.] 3) καὶ ἐπορεύοντο M. Gen.[a.] 5) //Gen.[b.] c. lemm. χελιδόνιον, sine ἐστι. 6) ὡς ἡ] p. et infra M., ὡσεὶ vulg., ὡς Gen.[b.] 6) ἢ ὅτι Hemsterh. 6. 7) τῇ χελιδόνι Gen.[b.] et vulg. ante Reisk. 7) //Gen.[b.] post ultimum scholium ad Vs. 22—25, quod ipsum non suo loco legitur, c. lemm. τὸ δίαντον. 7) βότανον] Gen.[b.], βοτάνη vulg. 7) καὶ διαπαντὸς om. Gen.[b.], quae verba ex sequente scholio arrepta. 8) ἄβρωτον 3. 9) μηδόλως] ante Heins., μηδ' ὅλως vulg. 10) τι] Gen.[b.] vulg., τε Reisk. seqq. 10) καὶ τὸ et δὲ om. p. 11) διὰ παντὸς p. 11) ὡς om. p. 12) ἄν τί που] ἀντὶ τοῦ Gen.[b.], αὐτῷ p. 12) ἐπιβληθὲν καὶ ἐπισχεθὲν p. 13) //Gen.[b.] sine ultimis καλεῖται seqq. 20) τὰς χελιδόνας] M.[4.], τὴν χελιδόνα M.[3.] 21) τυφλωθείσας ταύτας] M.[2.], τυφλωθεῖσαν ταύτην M.[3.4.], cf. GlQ. 21) In Gen.[a.] falsum lemma χελιδόνιον. 22) ὕδατι M.[2.] — 23) χθαλαμω 6.

χεσθαι κατὰ συγκοπήν, οὐκ ἀπὸ τοῦ ἄβροχος εἶναι, ὥς τινές φασίν. ἔστι δὲ ὀξεῖά τις καὶ ἰθυτενὴς ὡς ἡ ἄγρωστις καὶ λεπτή. M. Q. Gen.[a])

Vs. 42.

Vet. Εἰλιτενὴς ἄγρωστις: ἡ συνεστραμμένη, καθὸ εἰλεῖται ἐπὶ μῆκος καὶ περιπλέκεται τοῖς φυτοῖς κισσοειδῶς. ἄγρωστις δέ ἐστιν ἡ παρὰ τοῖς γεωργοῖς καλουμένη ἀγρία. — Ἄλλοι δὲ τὴν ἄγρωστίν φασιν εἶναι βοτάνην πρασοειδῆ, ἣν ἰδιωτικῶς φασὶ κολλητζίδαν. — (ΑΓΡΩΣΤΙΣ: ἡ παρὰ τοῖς γεωργοῖς καλουμένη ἀγρία· εἰλιτενὴς δὲ ὡς καὶ συνεστραμμένη καὶ εἰς μῆκος ἐκτεινομένη καὶ τοῖς φυτοῖς κισσοῦ δίκην περιπλεκομένη. M.) — (Εἰλιτενὴς ἄγρωστις: ἡ ἐν τοῖς ἕλεσι τεινομένη· ῥιζοβόλος γὰρ τῶν πολὺ διικνουμένων· πλεονασμῷ τοῦ ι. EtM. 299, 18.)

Vs. 43.

Vet. Νύμφαι χορὸν ἀρτίζοντο: ἡτοίμαζον, εὐτρέπιζον. συνέβη, φησί, καθ' ὃν καιρὸν ὁ Ὕλας ἦλθεν ἀντλῆσαι, τὰς Νύμφας αὐτόθι χορείαν στήσασθαι.

Vs. 44.

Vet. Δειναὶ θεαὶ ⟨ἀγροιώταις⟩: παρόσον φόβον ἔσθ' ὅτε αὐτοῖς ἐγγεννῶσί τε καὶ ἐπάγουσιν, ὅθεν καὶ νυμφολήπτους τινάς φαμεν.

Rec. (Θεαὶ ἀγροιώταις: τοῖς ἐν ἀγροῖς οἰκοῦσι, φαντάζουσαι αὐτοὺς καὶ τὸν νοῦν παρατρέπουσαι. M. Gen.[a])

42) Ἥτις τείνεται εἰλουμένη. L. P. ἑλικοειδῶς ἐκτεινομένη. M. κισσοειδής. r.

43) Αἱ Νηρηίδες. M. — Ἡτοιμάζοντο. L. κατεσκεύαζον. M.

44) Ἐπανάληψις τὸ σχῆμα. M. — Ἀθάνατοι, ἄγρυπνοι. M. — Φοβεραί. L. P. χαλεπαί. M.

---

5) //Gen.[b] c. lemm. ἄγρωστις. 7) ἄγρωστις seqq.] Gen.[b], ἥτις παρὰ τ. γ. καλεῖται ἀγρία vulg. 8) //Gen.[b] post schol. ἀδίαντον Vs. 41, quod ipsum alienum locum occupavit, hoc initio: τὴν ἄγρ. ἄλλην φασὶ βοτάνην. 9) κολλητζίδα Gen.[b] 10) ὡς καὶ] καὶ ὡς cod. 13) τεινομένη] conj. Meinekius, γινομένη vulg. — τῶν πολὺ διικνουμένων] Gaisf. ex cod. P., ἡ ἐπὶ πολὺ διικνουμένη vulg. 16) //Om. Gen.[a. b.] 20) //Gen.[b.] 21) ἐγγενῶσι ante Kiessl. 22) post φαμὲν in Gen.[b.] adhaerent καὶ οἱ νυμφόληπτοι.

Vs. 45.

Vet. Ἔαρ θ' ὀρόωσα Νύχεια: ἱλαρὸν καὶ ἡδὺ βλέπουσα, ἀπὸ τῆς περὶ τὸ ἔαρ τερπνότητος.

Vs. 46—50.

Rec. Ἤ τοι ὁ κοῦρος ἐπῆχε ποτῷ: ὁ μὲν δὴ νέος Ὕλας ἐπὶ τῷ ὕδατι τὸν κρωσσόν, ἤγουν τὸ ὑδροφόρον ἀγγεῖον εἶχε, τὸ πολυχώρητον, ἐπειγόμενος πληρῶσαι αὐτὸ ὕδατος. αἱ δὲ Νύμφαι ἐνεπλάκησαν τῇ χειρὶ αὐτοῦ· τὰς γὰρ φρένας αὐτῶν τὰς ἁπαλὰς ἁπασῶν ὁ ἔρως περιέσχεν ἕνεκεν τοῦ παιδὸς τοῦ Ἀργείου. κατέπεσε δὲ εἰς τὸ βαθὺ ὕδωρ δίκην ἀστέρος, ὅστις πυρώδης ὢν εἰς τὴν θάλατταν κατέπεσεν ἐξαίφνης, ὅ,τι σύμβολον εὐπλοίας ἐστί.

Vet. Συμφωνεῖ δὲ τῇ ἁρπαγῇ καὶ Ἀπολλώνιος ὁ Ῥόδιος καὶ Νίκανδρος. ὁ δὲ Ὄνασος ἐν τοῖς Ἀμαζονικοῖς φησὶν αὐτὸν εἰς τὴν κρήνην πεσεῖν καὶ ἀποθανεῖν. κρωσσὸς δὲ διὰ τοῦ ω μεγάλου ὑδροδόχου ἀγγεῖόν ἐστι, διὰ δὲ τοῦ ο μικροῦ [εἶδος] ἱματίου καὶ πύργου. — (Κρωσσὸς τὸ ἀγγεῖον μέγα, κροσσὸς δὲ ὁ τοῦ πύργου καὶ ὁ τοῦ ἱματίου μικρόν. Gen.[b])

Rec. (Κρωσσὸς τὸ ἀγγεῖον τὸ εἰς ὑδάτων μετακομιδὴν ἐπιτήδειον μέγα· κροσσὸς δὲ τὸ ἄκρον τοῦ πύργου καὶ τὸ τοῦ ἱματίου, ὅπερ οἱ κοινοὶ ἀκρόσιον λέγουσι, μικρόν. M. Gen.[a])

Vs. 51. 52.

Rec. Ναύταις δέ τις εἶπεν ἑταῖρος: ἰδὼν γάρ τις αὐτὸν καταπεσόντα λέγει πρὸς τοὺς συμπλέοντας· ὦ παῖδες,

46) Ἐπέβαλε τῷ ὕδατι πολυχώρητον ὑδρίαν. L. P. — [Ἔπεικε:] ἐπέκειτο, ἐπήρειδεν, ἔκυψεν, ἐπάνω τῆς κρήνης ἔκειτο. r. — Πολυχώρητον. 6. εὐρύστομον. M. — Ἀγγεῖον, στάμνον. M.

47) Ἐνεπλάκησαν τῇ χειρὶ αὐτοῦ. r. περιεπλάκησαν, ἡρμόσθησαν. M.

49) Κατέβαλεν ἑαυτόν. M.

50) [Ἀθρόος:] ἐξαίφνης. r. C. M. — Ξανθός. M. κεκαυμένος. r. — Κατέβαλεν ἑαυτόν. M.

---

2) //Gen.[a.b.] sine Νύχεια. 2) χάριεν καὶ ἱλαρὸν βλ. et κατὰ τὸ ἔαρ M. Gen.[a] 5) //Om. Gen.[a.b.] 12) ὅ,τι] ὅστις vulg. 13) //Om. Gen.[a.b.] 14) Ὄνασος] Reinesius et Koehl., Ὄνατος vulg. 17) Schol. legitur post SchVet. ad Vs. 58. 59. 19) μὲν κομιδὴν M. 20) κρώσσος δὲ Gen.[a] 21) ἀκρώσιον Gen.[a] 24) //Om. Gen.[a.b.]

μετεωρίσατε τὰ ἱστία· ὁ γὰρ ἄνεμος φορος καὶ πρὸς πλεῦσιν ἐπιτηδειότατος.

Vet. *Ἄλλως. Κουφότερ' ὦ παῖδες: εὔλυτα καὶ εὐτρεπῆ* (φησὶ M. Gen.[a]) *ποιεῖτε τὰ ἱστία (καὶ τὰ λοιπὰ ὅπλα τῆς νεώς* M. Gen.[a])· *οὔριον γὰρ ἐπιγενήσεται τὸ πνεῦμα, ὡς τοιούτου ὄντος σημείου, ἐπὰν πέσῃ ἀστήρ.*

Vs. 53—56.

Rec. *Νύμφαι μὲν σφετέροις: αἱ μὲν δὴ Νύμφαι τὸν Ὕλαν ἐπὶ τῶν γονάτων ἀνέχουσαι παρεψύχοντο καὶ παρεμυθοῦντο ἱλαροῖς τισι λόγοις κλαίοντα — βουκολικῶς δὲ τὸ παρεψύχοντο ὡς ἐπὶ τῶν πηγῶν. ὁ δὲ Ἡρακλῆς ὁ τοῦ Ἀμφιτρύωνος ἕνεκεν τοῦ παιδὸς ταρασσόμενος ἐπορεύθη, κατὰ τοὺς Σκύθας λαβὼν τὰ τόξα τὰ κυκλοτερῆ.*

Vet. *Ὤχετο Μαιωτιστί: ἤτοι Σκυθιστί. (ἀπὸ μεταφορᾶς τῶν ὁπλιζομένων ἐν τόξοις Σκυθῶν.* M. Gen.[a]) *Μαιῶται γὰρ Σκύθαι οἱ περιοικοῦντες τὴν Μαιῶτιν λίμνην. ἐχρῆτο δὲ Ἡρακλῆς τοῖς Σκυθικοῖς τόξοις διδαχθεὶς παρά τινος Σκύθου Τευτάρου, ὡς ἱστορεῖ Ἡρόδωρος καὶ Καλλίμαχος.*

Vs. 57.

Rec. *Τό οἱ αἰὲν ἐχάνδανε: ἀντὶ τοῦ ἐχώρει. ἀπὸ τοῦ*

52) *Εὔλυτα καὶ εὐτρεπῆ.* r. — *Πετάσατε τὰ ἄρμενα. ἐπιτήδειος εἰς τὸ πλέειν ἄνεμος.* M.

54) *Εὐφραντοῖς.* M. *προσηνέσι.* C. — *Παρεμυθοῦντο. χαριέντως δὲ τοῦτο ὡς ἐπὶ πηγῆς φησίν.* *L. *P. *παρηγόρουν.* 6. C.

55) [*Ἀμφιτρυωνιάδας:*] *προσθέσει τοῦ α, πατρωνυμικόν.* r. — *Λυπούμενος.* M.

56) *Ἐπορεύθη ἀγρίως μαινόμενος.* M. — [*Μαιωτιστί:*] *ἀπὸ τοῦ μαίομαι. Σκυθιστί.* r. *ἐπὶ τοὺς Σκύθας.* C. — *Εὐέλκυστα.* M.

57) *Ἐχώρει, εἶχε.* M.

---

3) //Gen.[a] sine lemmate et Gen.[b] — *εὔλυτα καὶ* om. Gen.[a] — *εὐτρεπῆ*] M. (Gen.[b]) et Reisk. seqq., *εὐπρεπῆ* p. et ante Reisk., *ἡ τρεπὴ* Gen.[a] 4) *ὅπλα* om. Gen.[a] 5. 6) *ἑτοίμου* pro *ὡς τοιούτου* M. 6) *ἡνίκα* pro *ἐπὰν* M. Gen.[a] 8) //Om. Gen.[a.b.] 14) //Gen.[a.b.], ille hoc initio: *Μαιωτιστί, φησίν, ἤτι σκιθυστί.* Phav. habet *Μαιωτιστί: .... τόξοις.* 16) *γὰρ*] add. Gen.[b] Phav. — *Σκύθαι οἱ*] Phav., *οἱ Σκ.* Gen.[b] vulg. *τῶν περὶ τὴν Μαιώτιδα λίμνην οἰκούντων* (*οἰκύτων* Gen.[a]). *ἐχρ. γὰρ* pro *Μαιῶται* seqq. M. Gen.[a] 18) *τευτάλου* M. Gen.[b], *τοῦ ἄλου* Gen.[a], *πεταύλου* Can., *πενταύλου* Vulc. — Seqq. om. Gen.[a.b.] 18) *Ἡρόδωρος*] Toup. et Hemsterh., *Ἡρόδοτος* vulg. 20) //Om. Gen.[a.b.] — 23) *προσηνίσι* cod. 25) *προσθέσει*] Duebn., *προθεσι* cod.

χῶ τὸ χωρῶ χάδω, καὶ ἀπὸ τοῦ χάδω χανδάνω ὡς ἀπὸ τοῦ ἥδω τὸ εὐφραίνομαι ἀνδάνω.

Vs. 58—60.

Rec. Τρὶς μὲν Ὕλλαν ἄϋσεν: ἐκ τρίτου μὲν ἐφώνησε τὸν Ὕλαν ὅσον ἤρυγεν, ἤγουν ἐχώρει ὁ λαιμὸς αὐτοῦ, τουτέστιν ὅσον ἠδύνατο· ἐκ τρίτου δὲ καὶ ὁ παῖς ἤκουσεν αὐτοῦ βοῶντος.

Vet. Ἀραιὴ δ' ἵκετο φωνά: οὐχ ὡς κατὰ φύσιν ἀσθενῆ φωνὴν τοῦ Ὕλα ἔχοντος, ἀλλ' ὡς ἐν βάθει ὄντος καὶ ὑπὸ τῶν Νυμφῶν κατεχομένου. — (Εἴδετο πόρρω: ἄγαν ἐγγὺς ὢν πορρώθεν ἐδόκει ἀκούειν διὰ τὸ λεπτὴν αὐτοῦ καὶ ἀμαυρὰν φέρεσθαι τὴν φωνήν. Gen.[b.])

Rec. Ἤ· λεπτὴ δὲ καὶ ἀμυδρὰ ἡ φωνὴ αὐτοῦ ἐγένετο ἅτε ἐν τῷ ὕδατι ὄντος, καὶ ἐγγὺς ὄντος αὐτοῦ διὰ τὸ λεπτότατον τῆς φωνῆς εἴδετο πόρρω, ἤγουν ἐῴκει πόρρω εἶναι. — (Οὐχ ὡς κατὰ φύσιν ἀσθενῆ φωνὴν τοῦ Ὕλα ἔχοντος λεπτὴ ἦν ἡ φωνὴ αὐτοῦ, ἀλλ' ὡς ἐν βυθῷ κατεχομένου ὑπὸ τῶν Νυμφῶν, διὸ καὶ ἄγαν ἐγγὺς ὢν πόρρωθεν ἐδόκει βοᾶν, μὴ ἐξικνουμένης τῆς φωνῆς αὐτοῦ καλυπτομένου τοῖς ὕδασιν. M. Gen.[a.])

Vs. 61—65.

Rec. Ὡς δ' ὁπότ' ἠυγένειος: ὁ δὲ Ἡρακλῆς τῆς φωνῆς τοῦ παιδὸς ἀκούων ἐκινήθη κατὰ τοῦτον τὸν τρόπον, καθ' ὃν ἂν καὶ λέων χαροπὸς ἐπὶ τῆς ἑαυτοῦ κοίτης ὢν καὶ πεινῶν ἀκούσας νεβροῦ φθεγξαμένης ἐπήδησεν εἰς τροφὴν ἑτοιμοτάτην. ἐκινήθη δὲ εἰς τὰς ἀκάνθας τὰς ἀδιοδεύτους καὶ τετάρακτο ποθῶν τὸν παῖδα· ἐπῆλθε δὲ πολύν τινα χῶρον. — (Ὥσπερ δέ, φησίν, νεβροῦ καὶ ἐλάφου φθεγξαμένης

58) Ἀνέπνεεν· ἐρυγὴ γὰρ ἡ πνοή. L. P. ἔπνεεν. M.
60) Εἰκάζετο μακρὰν ὑπάρχειν. M.
63) Εὐωχίαν. M. τροφήν. C.

---

1) χάω pro χῶ Reisk. seqq. 2) ἠνδάνω ante Reisk. 4) //Om. Gen.[a.b.] 8) //Om. Gen.[a.b.] 10) κατεχομένου] Brub. mg. et Reisk. seqq., κατεχομένη vulg., τὸ κατέχεσθαι ὑπὸ τῶν νυμφῶν pro ὑπὸ τ. ν. κατ. 3.[1.], pro κατεχ. 3.[2.] 11) λεπτὴν] Duebn., λεπτὸν cod. 13) //Om. Gen.[a.b.] 15) Post φωνῆς ante Xyl. erat comma, qui quum punctum posuisset, Scult. εἴδετο πόρρω pro lemmate novi scholii posuit, quod Ox. seqq. in ΕΙΔ. mutilarunt. 19) ἐξακουομένης M. 19) καλυπτομένης M.[2.] 22) //Om. Gen.[a.b.] 28) φθεγξάμενος Gen.[a.]

ἀκούσας λέων εὐγένειος ὠμοφάγος ἐξέρχεται τῆς κοίτης αὐτοῦ ἐπὶ ἑτοιμοτάτην τροφήν, οὕτω καὶ Ἡρακλῆς ἀκούσας τῆς τοῦ παιδὸς φωνῆς ἀβάτοις ἐν ὄρεσι διήρχετο τεταραγμένος, τὸν παῖδα ποθῶν. M. Gen.[a] — (*Ἀτρίπτοισι ἀκάνθαις: ἤγουν ὄρεσιν ἀκανθώδεσι,* *M. Gen.[a] *μὴ ἔχουσι τρίβον καὶ βάδισιν.* Gen.[a])

Vet. (*Ὥσπερ νεβροῦ φθεγξαμένης ἐκ κοίτης λέων ἀκούσας σπεύδει ἐπὶ τὴν ἑτοίμην τροφὴν αὐτοῦ.* Gen.[b])

Vs. 66. 67.

Rec. Σχέτλιοι οἱ φιλέοντες: ἐλεεινοὶ οἱ φιλοῦντες. καὶ γὰρ ὁ Ἡρακλῆς πολλὰ ἐκακοπάθησε πλανώμενος εἰς τὰ ὄρη καὶ εἰς τοὺς δρυμούς· τὰ δὲ τοῦ Ἰάσονος ἐν δευτέρῳ λόγῳ ἦν αὐτῷ, τουτέστι τὸ ἀκολουθεῖν αὐτῷ οὐδὲν ἡγεῖτο. — (*Ὕστερα πάντ' ἦς: ἤγουν τὸν μὲν Ὕλαν ἐζήτει, καὶ πᾶσα ἦν αὐτῷ φρόντις τούτου, τὰ τοῦ Ἰάσονος δὲ ἐν δευτέρῳ εἶχε λόγῳ.* *M. Gen.[a])

Vs. 68—71.

Rec. Ναῦς μὲν ἄρμενα: ἡ μὲν ναῦς τὰ ἄρμενα εἶχε μετέωρα διὰ τῶν παρόντων· οἱ δὲ νέοι ἐκάθηραν τὰ ἱστία κατὰ τὸ μεσονύκτιον περιμένοντες τὸν Ἡρακλῆν. ὁ δὲ Ἡρα-

64) *Οὕτως ἐκινήθη.* C. — *Ἀβάτοις.* 6. r. M. *ἀπατήτοις.* L. P. *ἀδιοδεύτοις.* C. — *Ὄρεσιν ἀκανθώδεσι.* M. —

65) *Ἐταράσσετο.* M. — *Διήρχετο.* 6. L. P. *ἐπήρχετο.* C. *περιήρχετο.* M. — *Μακρὰ βιβάς.* r.

66) *Ἐπίκρισις τὸ σχῆμα καὶ ἐπιφώνημα.* *M. *σημείωσαι.* *r. — *Μετὰ μόχθου διῆλθεν.* M.

67) [*Ὕστερα:*] *τῷ Ἡρακλεῖ τῆς ἀναζητήσεως τοῦ Ὕλα.* L. P.

68) *Ἱστία εὐτρεπίσασα.* r. — [*Παρεόντων:*] *ἕνεκα τῶν πραγμάτων.* r.

69) *Οἱ ἔνδοξοι ἥρωες.* M. — *Ηὐτρέπιζον.* 6. L. P.

70) *Καρτεροῦντες.* M.

71) [*Χαλεπά:*] *χαλεπῶς.* C. — *Ἔτρωσεν.* M. *ἐσπάρασσεν.* L. P. *ἔξεεν.* Paris.

---

3) Post *τεταρ.* recte in M. distinctum, ante in Gen.[b] 5) *τρίβον*] Adert., *τριβὴν* cod. 10) //Om. Gen.[a.b] 13) *ἦν αὐτῷ*] ante Heins. et Reisk. seqq., *ἦν αὐτοῦ* vulg. 15) *πᾶσαν* Gen.[a] 15) *οὗτος* pro *τούτου* Gen.[a] — *Ἰάσονος*] Adert. tac., *Ἰάσωνος* codd. — *δὲ* om. Gen.[a] 18) //Om. Gen.[a.b] 19) *ἐκάθηρον* ante Reisk. — 25) *σημείωσαι* Wart., *σῆ* cod.

κλῆς ὡς μαινόμενος ἐχώρει, ὅπου οἱ πόδες αὐτὸν ἔφερον. ὁ γὰρ θεός, τουτέστιν ὁ Ἔρως, τὸ ἧπαρ αὐτοῦ ἔκοπτε. τοῦτο γάρ ἐστι τὸ ἄμυσσεν. ἀμύσσω γὰρ τὸ διὰ ξυροῦ τὴν σάρκα τέμνω· ὅθεν καὶ ἀμυχαί, αἱ τοῦ δέρματος τομαί.

Vs. 72—74.

Rec. *Οὕτω μὲν κάλλιστος: κατὰ τοῦτον τὸν τρόπον ὁ κάλλιστος Ὕλας ἐναρίθμιος τοῖς θεοῖς ἐγεγόνει. τὸν δὲ Ἡρακλῆν οἱ συμπλέοντες ἥρωες ἐλοιδόρουν, λέγοντες δηλονότι, λιποναύταν, διότι ἐξέλιπε τὴν Ἀργὼ τὴν τριακοντάζυγον, τουτέστι τὴν πολυκάθεδρον. — (Τριακοντάζυγον: ἤγουν ὑπερμεγέθη, τριάκοντα ἔχουσαν τῷ ἑνὶ μέρει καθέδρας, ὡς ἑξήκοντα εἶναι ἐρετῶν.* *M. Gen.[a])

Vet. (*Λιποναύταν: καθάπερ λιποτάκτην.* p. Vat. *M. Gen.[b]) — *Ἤ·* (*τριακοντάζυγον:* Gen.[b]) *τὴν τριάκοντα ἔχουσαν καθέδρας ἐρετῶν, ὡς ἑξήκοντα εἶναι τοὺς πλέοντας. — Τὸ δὲ ἠρώησεν ἀντὶ τοῦ κατέλιπεν, ἐξέφυγεν ἀπὸ τοῦ ἐρωῆσαι.*

Vs. 75.

Vet. *Πεζᾶ δ' ἐς Κόλχως: ἰδίως πεζόν φησιν ὁ Θεόκριτος τὸν Ἡρακλέα εἰς Κόλχους ἐλθεῖν· ἡ γὰρ πολλὴ κατέχει δόξα, ὅτι βουλῇ Ἥρας ὑστέρησεν Ἡρακλῆς ὑπὲρ τοῦ τὸν Ἰάσονα κατορθῶσαι μόνον δοκεῖν τὸν εἰς Κόλχους πλοῦν καὶ μὴ ἐξιδιοποιήσασθαι τὸν ἆθλον αὐτοῦ.*

72) *Μετὰ θεῶν.* C. M.
73) *Ὠνείδιζον.* L. P.
74) *Κατέλειψε.* 6. — *Πολύζυγον.* 6.
75) *Κακόξενον.* r.

---

3) *ξηροῦ* ante Heins. 6) //Om. Gen.[a.b.] 9) *λειποναύταν* vulg. 10) //Gen.[a.] post schol. Vs. 72. — *ὡς* pro *ἤγουν* M. 11) *ὑπὲρ μεγέθει* Gen.[a.] 11) *τῷ* om. Gen.[a.] 13) *λειποναυτὰν* Gen.[b.] — *ὡς* pro *καθ.* M. — *λειποτάκτην* p. M. Gen.[b.] 14) //Gen.[b.] sine *ἢ* et *τήν.* 16) //Om. Gen.[a.b.] 17) *ἐρωῆσαι*] Brub. mg., *ἀραιῶσθαι* Vulc. et ante Brub., *ἀρεῶσθαι* Brub., *ἐρεῶσθαι* Xyl., *ἐρωεῖσθαι* Heins. vulg. 19) //Gen.[a.b.], ille sine lemmate, *πεζᾶ δ' εἰς Κολχούς* Gen.[b.] 19) *ὁ Θεόκρ.* om. Gen.[a.] 20) *Κολχοὺς* M., et sic ubique. 20) *γὰρ* om. Gen.[a.] 20. 21) *πλείων δόξα κατέχει* M. Gen.[a.] 21) *βολὴ* Gen.[a.] 21) *ὑστέρισεν* M. sec. 21) *τοῦτον Ἰασῶνα* Gen.[a.] 22) *κατορθῶσαι*] M. (Gen.[b.]) et Reisk. seqq., *κατορθῶσθαι* vulg., *κατορθωμόνον* Gen.[a.] — *δοκεῖν* om. M. Gen.[a.] — *τῆς* pro *τὸν* Gen.[a.], *καὶ τὸν* Gen.[b.] 22. 23) *καὶ* (om. M.) *μὴ Ἡρακλέους δόξῃ κατόρθωμα* pro *καὶ μὴ* seqq. M. Gen.[a.]

Rec. Ἄλλως. Πεζᾶ δ' ἐς Κόλχως: ὁ δὲ Ἡρακλῆς, τῶν Ἀργοναυτῶν ἀποπλευσάντων δηλονότι, πεζῇ ἀπῆλθεν εἰς τοὺς Κόλχους καὶ εἰς τὸν Φᾶσιν τὸν ἄξενον, τουτέστι τὸν κακόξενον.

Vet. Μνασέας δὲ Κόλχους φησὶ κληθῆναι ἀπὸ Κόλχου τοῦ Φάσιδος.

Idyll. XIV.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Κυνίσκας ἔρως ἢ Θυώνιχος. προλογίζει δὲ Αἰσχίνης. — (Δωρίδι δραματικόν. M.)

(Τοῦ αὐτοῦ Τρικλινίου. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν ο', ὧν τελευταῖος· λευκαίνων ὁ χρόνος. ποιεῖν τι δεῖ οἷς γόνυ χλωρόν. M.)

Vs. 1.

Vet. Χαίρην πολλὰ τὸν ἄνδρα Θυώνιχον. Θ. ἀλλά τοι αὐτῶ Αἰσχίνα. Αἰ. ὡς χρόνιος. Θ. χρόνιος, τί δέ τοι τὸ μέλημα; προλέγων ὁ Αἰσχίνης χαίρειν φησὶ πολλὰ τὸν ἄνδρα Θυώνιχον. λείπει δὲ τῷ λόγῳ τὸ γένοιτο ἢ τὸ λέγω.

Rec. (Ἀττικῶς δὲ τὸ ρην η γράφεται ὡς τὸ οἱ βασιλῆς καὶ ἱππῆς. M.)

Vs. 2—4.

Vet. Τί δέ τοι τὸ μέλημα: ὁ Θυώνιχος, οἶδα (φησὶ Gen.[b.]) κἀγώ, ὅτι βραδέως ἥκω. τίς δέ σοι (φησὶν ἡ ἐρωμένη; p.) ⟨ἢ⟩ ἡ φροντίς. (⟨οὐχ⟩ οὕτω γὰρ μέμηλε τῆς ἐρωμένης ἢ αὐτῆς τῆς φροντίδος. Ἢ ἄλλως. Τί δέ σοι τὸ μέλημα: τίς δέ σοι φροντὶς χάριν τοῦ μὴ ἰδεῖν με; Ἄλλως.

1) [Τοι αὐτό:] αὐτὸ τὸ χαίρειν ἔστω σοι. M.

2) [Χρόνιος:] ἥκεις. 23. M. — Τίς δέ σοι ἡ φροντίς; ἰδὼν δὲ αὐτὸν κατατηκόμενον τοῦτο λέγει. M.

---

1) //Om. Gen.[a.b.] 5) //Om. Gen.[a.b.] 8) Θυώνυχος Call. 16) //Gen.[b.] c. lemm. χαίρειν πολλά. — προλέγων ὁ Αἰ. χ. φησὶ πολλὰ] B. et alii, ut videtur, codices, vid. ad Hypoth. extr., sine προλέγων Gen.[b.], προλέγει ὁ Αἰ. λέγων χ. πολλὰ vulg. 18) ρην] Duebn. tac., ρῆν M.[3], χαιρῆν M.[2.] — η et bis -ῆς] M.[2.], ῆ et -ῆς M.[3.], οἱβαλῆς M.[2.] 21) // Gen.[b.] post schol. Vs. 9. hoc initio: μέλημα: οἶδα, φησί, κἀγὼ γὰρ μέμηλε mediis omissis. 22) τίς] τί vulg., cf. lin. 25. 23) ἢ ἡ] ἡ p. vulg., ἢ Piccolos, cf. p. 371. 1. 24) ἢ ἄλλως .... φροντὶς om. Gen.[b.] — 27) τί cod.

Μέλημα: ἢ ἡ βραδυτής, ἢ ἡ φροντίς, ἢ ἡ ἐρωμένη. κάλλιον τὸ ἡ φροντίς, ἵν᾽ ᾖ ἀπὸ τοῦ Θυωνίχου τὸ λεγόμενον· χρόνιος μὲν ἦλθον ἐγώ, σὺ δὲ περὶ τίνων φροντίζων ἔοικας εἶναι σύννους; p. Gen.[b]) — Ὁ ἐρώμενός φησι· *πράσσομες οὐχ ὡς λῶστα*, ἤγουν οὐ κατὰ γνώμην. — *Ταῦτ᾽ ἄρα λεπτός*: διὰ τοῦτο λεπτὸς ἐγένου ὦ Αἰσχίνη, καὶ ὁ μύσταξ οὗτος πολὺς ὢν ἐκ τῶν φροντίδων οὐκ ἔτυχεν ἐπιμελείας. (ἔτι δὲ ἡ κόμη σου αὐχμηρὰ καὶ ἀτημέλητος. Ἄλλως. Ὁ πρίν, φησί, λεπτὸς μύσταξ διὰ τὸ συχνάκις κείρεσθαι νῦν πολὺς διὰ τὸ ἀτημέλητος εἶναι καὶ ἄκαρτος. p. M. Gen.[b]) — *Αὐαλέοι δὲ κίκινοι*: ἀντὶ τοῦ κομῶντί σοι τὸ γένειον καὶ οἱ κίκιννοι κατάξηροί εἰσιν, ὡς διὰ τὴν λύπην καὶ τὸ κείρεσθαι παραιτουμένῳ.

Vs. 5. 6.

Vet. *Τοιοῦτος πρώαν τὶς ἀφίκετο Πυθαγοριστάς*: τοιοῦτός τις ἧκεν Ἀθήνηθεν εἰς Σικελίαν πρὸ τούτου ἐπαγγελλόμενος Πυθαγορικὸν δόγμα. τινὲς δέ φασι τοῦτο λέγειν εἰς Πλάτωνα τὸν φιλόσοφον, ἀκούσαντες αὐτὸν ἐξ Ἰταλίας διαβῆναι εἰς Σικελίαν συνταξόμενον Διονυσίῳ τῷ τυράννῳ. διαφέρουσι δὲ Πυθαγορικοὶ τῶν Πυθαγοριστῶν, ὅτι οἱ μὲν Πυθαγορικοὶ πᾶσαν φροντίδα ποιοῦνται τοῦ σώματος, οἱ δὲ Πυθαγορισταὶ ὑπεσταλμένῃ καὶ αὐχμηρᾷ διαίτῃ χρῶνται. τινὲς δὲ Πυθαγοριστὰς λέγουσι τοὺς ἀποδεχομένους τὰ Πυθαγόρου, μὴ ὄντας δὲ τῆς ἐκείνου διαίτης, Πυθαγορικοὺς δὲ τοὺς οὕτω φρονοῦντας ὡς ἐκεῖνος καὶ κατὰ Πυθαγόραν

3) Οὐ λίαν καλῶς. M.
4) Ξηροί. 6. — Βόστρυχοι. 6. αἱ τρίχες. 23. τῆς σῆς κεφαλῆς αἱ τρίχες. M.
5) Πρὸ τῆς χθὲς ἦλθεν ἐν ἡμῖν. M. — Τὸν Πλάτωνα λέγει. r.

---

1) ἢ primum om. p., ἢ tertium Gen.[b] 2) δὲ pro τὸ ἡ p. 3) ἐλθὼν Gen.[b] 3) τινῶν Gen.[b] 4) //Om. Gen.[b] 5) //Gen.[b] omissis lemmate et διὰ τοῦτο post schol. *μέλημα* Vs. 2. 6) *Αἰσχίνη*] Gen.[b], *Αἰσχίνα* vulg. 8) ἔτι δὲ] Gen.[b], ἔτι τε p., καὶ M., ubi καὶ ἡ κόμη .... ἀτημ. post sequentia leguntur. 8) ὁ om. Gen.[b], φησὶ om. p., ὁ μύσταξ φησὶν ὁ πρ. λ. sine ἄλλως M. 10) καὶ ἄκαρτος] Gen.[b], ut correxit Piccolos, καὶ ἄκαρπος p., om. M. 10) //Gen.[b] post schol. *Θηλάζοντα* ad Vs. 15. 11) *κικῖνοι* Gen.[b] 12) κίκιννοι] Duebn., κίκινοι Gaisf., κικῖνοι vulg. 15) //Gen.[b] c. lemm. *πρώαν τις*. 17) τοῦτον Can. 18) διὰ τὸν Πλ. M. 18) ἐξ Ἰταλίας] M., quod Geelius flagitaverat, ἐν Ἰταλίᾳ vulg. 22) ὑπεσταλμένῃ] περισταλμένῃ Gen.[b], περιεσταλμένῃ vulg. 24) διαίτης] Hemsterh., δόξης M. vulg. 25) ἐκείνους et Πυθαγόρας Gen.[b]

διαιτωμένους. ἐλέγετο δὲ ὁ Πλάτων τὸν Πυθαγόραν οὕτως ἀποδέχεσθαι ὡς καί τινα νομίζεσθαι λέγειν ἐξ αὐτοῦ, ὥστε Πυθαγοριστὴν τὸν Πλάτωνα εἰρῆσθαι. τῶν δὲ Πυθαγόρου οἱ μὲν ἦσαν περὶ θεωρίαν καταγινόμενοι, οἵπερ ἐκαλοῦντο σεβαστικοί· οἱ δὲ περὶ τὰ ἀνθρώπινα, οἵπερ ἐκαλοῦντο πολιτικοί· οἱ δὲ περὶ τὰ μαθήματα τὰ γεωμετρικὰ καὶ ἀστρονομικά, οἵπερ ἐκαλοῦντο μαθηματικοί. τούτων οὖν οἱ μὲν αὐτῷ συγγενόμενοι τῷ Πυθαγόρᾳ ἐκαλοῦντο Πυθαγορικοί, οἱ δὲ τούτων μαθηταὶ Πυθαγόρειοι· οἱ δὲ ἄλλως ἔξωθεν ζηλωταὶ Πυθαγορισταί. — (Πυθαγορικὸς καὶ Πυθαγοριστὴς διαφέρει· καὶ Πυθαγορικὸς μέν ἐστιν ὁ τοῦ Πυθαγόρου ἔχων τὰ ἰδιώματα καὶ τοὺς τρόπους, Πυθαγοριστὴς δὲ ὁ τὰ τοῦ Πυθαγόρου ποθῶν, πλὴν μὴ κατ' ἐκεῖνον ὢν μηδὲ τὰ ἐκείνου ποιῶν. ἐνταῦθα δὲ Πυθαγοριστὴν τινὲς τὸν Σιμιχίδα, ἕτεροι δὲ τὸν Πλάτωνά φασιν. ἐλέγετο δὲ ὁ Πλάτων τὸν Πυθαγόραν οὕτως ἀποδέχεσθαι ὡς καί τινα νομίζεσθαι λέγειν ἐξ αὐτοῦ, ὥστε τὸν Πλάτωνα Πυθαγοριστὴν εἰρῆσθαι. ἕτεροι δὲ ἐναντία περὶ τοῦ Πυθαγορικοῦ καὶ Πυθαγοριστοῦ λέγουσιν. Gen.[b])

Vs. 7.

Vet. *Ἤρατο μὰν καὶ τῆνος ἐμὶν δοκεῖ: ἐμοί, φησί, δοκεῖ ὅτι λιμώττων ἤρατο καὶ ἐκεῖνος, ἤγουν ἐπεθύμει, ὀπτοῦ ἀλεύρου, ὅθεν ὠχρός τις ἦν.*

Vs. 8. 9.

Vet. *Παίσδεις ὠγάθ' ἔχων: Ἀττικῶς τὸ ἔχων παρέλκει. ἀντὶ τοῦ σὺ μὲν παίζεις, ἐμὲ δὲ ἡ χαρίεσσα Κυνίσκα*

7) *Ἤγουν ἀδυνάτου πράγματος.* M. *οἷον πτωχός. ἐλίμωττεν.* r.
8) *Ἔχων Ἀττικῶς.* r. — *Ἡ γυνή μου.* r.

1) *ἔλεγε δὲ τὸ ὁ Πλ.* Gen.[b] Ante *ἐλέγετο* in M. leguntur *Πυθαγορίους δὲ τοὺς τῶν Πυθαγορικῶν μαθητάς.* 2. 3) *ὥστε* seqq. om. M., *τὸν Πυθ. Πλ.* Gen.[b] 3) *τῶν δὲ Πυθ.* seqq. extant in Vita Pythagorae Phot. Bibl. cod. CCXLIX. p. 1313, Suid. s. v. *Πυθαγόρας* extr., Eudoc. p. 368. 8) *συγγινόμενοι* Gen.[b] 9) *Πυθαγόριοι* Gen.[b] et ante Heins. 9) *ἔξωθεν ζηλωταὶ*] p. Can. Gen.[b] ut Phot. et Suid., *ἔξω ζητηταὶ* vulg. et Eudocia. 10) Schol. legitur post schol. *Λεπτός* Vs. 3, quod ipsum non suo loco. 10. 11) *Πυθαγορικὸς* bis] Duebn., *Πυθαγορικτὴς* cod. 14) *Πυθαγορικτὴν* cod. 17) *Πυθαγορικτὴν* cod. 18) *Πυθαγορικοῦ*] *-ικτοῦ* cod. 21) //Om. Gen.[b] 25) //Gen.[b] c. lemm. *παίζεις ἔχων.* 25) *παρέλκον* Gen.[b] 26) *ἀντὶ τοῦ*] Gen.[b], *ἤγουν* vulg. 26) *χαρίεσσα* om. Gen.[b]

ἐκμαίνει (ἐρῶντα αὐτῆς. Gen.[b.]). — (*Λασῶ δὲ μανείς*: ἔοικα δὲ λανθάνειν ἐμαυτὸν εἰς μανίαν πεσών· ὀλίγον δὲ τὸ μεταξύ ἐστι καὶ ἀκαριαῖον τοῦ πάντα με κατασχεθῆναι τῷ πάθει τῆς μανίας. ἢ οὕτω· p. Gen.[b.]) *λασῶ δὲ μανείς ποκα*: λανθάνω πως, φησίν, ἐμαυτὸν εἰς μανίαν ἐμπεσών· εἶτα [διὰ μέσου] τὸ *θρὶξ ἀναμέσον*, τουτέστιν ὀλίγον δέ ἐστι τὸ μεταξὺ τοῦ μὴ πάντα με μανῆναι.

Vs. 10.

Vet. *Ἄσυχα ὀξύς*: (ἤγουν Gen.[b.]) ἐκ τοῦ παραχρῆμα καὶ τοῦ σιωπᾶν ὀξυνόμενος. — Ἢ· ὅτι μανιώδης εἶ ἠρέμα, οἷον ἔχεις τι καὶ ὀξύτητος· οὐ γὰρ πάντῃ σιωπηλὸς ὑπάρχεις. — (Ἢ· ὃς οὐ πάντῃ σιωπηλὸς ὑπάρχεις, ἀλλ' ἔχεις τι καὶ ὀξύτητος. Gen.[b.]) — (Ἢ· *Ἄσυχα ὀξύς*: ἀντὶ τοῦ αὐτὸς καθ' ἑαυτὸν ἔσω λυπούμενος καὶ τηκόμενος ἐν ἡσυχίᾳ καὶ μὴ ἐν φανερῷ. p. Gen.[b.])

Vs. 11.

Vet. *Ὅμως δ' εἶπον τί τὸ καινόν*: ἀλλ' ὅμως εἰπέ μοι, τί τὸ νεώτερον.

Rec. Ἢ ⟨*τὸ καῖνον*:⟩ τὸ πρᾶγμα τὸ λυποῦν σε.

Vs. 12—14.

Vet. *Ὠργεῖος κἠγών*: διηγεῖται τὴν τῆς μανίας ὑπό-

9) *Λαθεῖν μέλλω ἐμαυτὸν ἐκμανείς*. M. — [*Ποκα*:] ἄρα. M. — Ὡς εἰς τρίχα ἦλθον· ἤγουν ὀλίγον ἐστὶ τὸ μέσον τοῦ μανῆναί με. M. — [*Θρίξ*:] ἤγουν ὀλίγον, παροιμιακῶς. r.

10) *Καὶ ὀξύχολος*· τοιοῦτοι γὰρ οἱ ἡσυχάζοντες, ὀξύχολοι. M.

11) [*Ἐθέλων*:] γίνεσθαι δηλονότι. M. — [*Κατὰ καιρόν*:] ἐγκαίρως. M. — [*Τὸ καίνον*:] τὸ λυποῦν σε. 23.

12) [*Θεσσαλός*:] ἐπίθετον. r. — Ὁ τοὺς ἵππους ἐλαύνων ὡς στρατιώτης. M.

---

3) *με*] Duebn., *μοι* codd., cf. lin. 7. et GlM. 3. 4) *τῆς μανίας* om. p. 4) //Gen.[b.] Lemm. om. p., ut videtur, et Gen.[b.] 5) *πως*] *πῶς* p. Gen.[b.], om. vulg. — *φησὶν* om. p. Gen.[b.] 6) *ἀναμέσον*] add. Gen.[b.] — *τουτέστιν*] Gen.[b.], *ἤγουν* vulg. 6) *ὀλίγον*] Gen.[b.], *ὀλίγου* vulg. — *δέ ἐστι*] p. Gen.[b.], *δέεται* vulg. 7) *μὴ*] add. p. Gen.[b.] — *πάντα*] Gen.[b.], *πάντῃ* p. vulg., cf. lin. 3. 9) //Gen.[b.], ubi scholia ad h. v. post scholl. Vs. 22. — *ἄσυχα*] *ἄσυχα* Gen.[b.], *ἄσυχος*, Call. 10) //Om. Gen.[b.] 10) *ἠρέμα* ante Heins. 17) //Om. Gen.[b.] 19) //Om. Gen.[b.] 21) //p. Gen.[b.] c. lemm. *ὠργεῖος*.

θεσιν. (*τὸ δὲ Ἀργεῖος τινὲς ὄνομα κύριόν φασι καὶ οὐκ ἐθνικόν· τὸ δὲ Θεσσαλὸς ἄντικρυς ἐπίθετον· ἐπάγει γὰρ τὸ Ἄπις.* ⟨*Καὶ ὁ Θεσσαλός:*⟩ *ἀντὶ τοῦ ὁ ἐκ Θετταλίας Ἄπις καὶ ὁ στρατιώτης Κλεόνικος εἱστιῶντο τὴν εὐωχίαν σὺν ἐμοί, ἐμοῦ παρασκευάζοντος.* p. Gen.[b])

Vs. 15. 16.

Vet. (*Θηλάζοντα τε χοῖρον: οὐ τὸν θηλάζοντα παῖδα, ἀλλὰ τὸν θηλαζόμενον χοῖρον· ἐνεργητικὸν γὰρ ἀντὶ παθητικοῦ.* p. Gen.[b]) — *Ἀνῶξα δὲ Βύβλινον αὐτοῖς: οἶνον δηλονότι· Θρᾳκικόν,* [*ἢ*] *οὕτω καλουμένης τῆς ἀμπέλου ἐπὶ τῆς Θρᾴκης.* — (*Ὡς ἀπὸ λανῶ:* Gen.[b]) *παλαιὸν μὲν ὄντα ὡς τεσσάρων ἐτῶν, ἀνίσχυρον δὲ πρὸς τὸ μὴ διοχλῆσαι τῷ πίνοντι· σχεδὸν γὰρ* [*τότε*] *ἐδόκει* (⟨*τουτέστι*⟩ *παραχρῆμα καὶ πρὸ βραχέος* Gen.[b]) *ἠντλῆσθαι τῆς ληνοῦ.* — (*Ἄλλως. Ἀφθόνως, ὡς τὸν ἀπὸ ληνοῦ πλήθοντος ῥέοντα εἶναι, οὗ διὰ τὸ θολερὸν ἔτι καταφρονοῦμεν.* p. Gen.[b])

Vs. 17.

Vet. Βολβός τις κολχίας ἐξηρέθη: εἶδος βοτάνης Κολχικῆς ὁμοίας κρομμύῳ.

Rec. (*Τοῦ Τρικλινίου. Οἱ γράφοντες Κολχίας ἀγνοοῦσι τὸ μέτρον. ἔστι δέ, ὥς φασι, βολβὸς εἶδος βοτάνης Κολχικῆς ὁμοίας κρομμύῳ. ἐμοὶ δὲ τὸν οἶνον λέγειν δοκεῖ. εἰσὶ γὰρ καὶ κοχλίαι τοιαύτην οἴνου χροιὰν ἔχοντες, ἤγουν κόκ-*

13) *Εὐωχούμεθα· ἀπὸ μέρους τὸ πᾶν.* M.

14) *Εἰς τὸν οἶκόν μου.* 6. *ἐν τῇ ἡμετέρᾳ οἰκίᾳ.* M. *ἐν τόπῳ.* r. — *Τεμὼν εἰς μέλη παρέθηκα νεοσσοὺς ὄρνεις.* M.

15) *Νεογνὸν δελφάκιον.* M. — *Οἶνον δηλονότι, ἀπὸ Βύβλου νήσου.* M.

16) *Χρόνων.* M. — *Ἤγουν ὅμοιον ὄντα νέῳ οἴνῳ διὰ τὸ ἐρυθρόν· τοιοῦτοι γὰρ οἱ νέοι οἶνοι.* M.

---

1) *Ἀργεῖον* p. 2) *καὶ* pro *γὰρ* Gen.[b] 3) *Θεσσαλίας Ἄπις* Gen.[b] In utroque codice ante *ἀντὶ* nulla distinctio. 4) *εἱστίων* Gen.[b] 4. 5) *ὁμοῦ παρασκευάζοντες* codd. 7) *τε χοῖρον* et *παῖδα* om. p. 8) *ἀντὶ τοῦ* Gen.[b] 9) //Om. Gen.[b] 10) Distinctionem post *δηλ.* addidi. — *ἐπὶ*] *ἀπὸ* vulg. 11) //Gen.[b] — *ὡς*] *καὶ* vulg., om. Gen.[b] 13) *τότε* om. Gen.[b] 14) *παραβραχέως* cod. 14) *ἠντλῆσθαι*] Gen.[b], *ἀντλεῖσθαι* vulg. 15) *οὐ* Gen.[b] 18) //Om. Gen.[b] Extat schol. in *p. 19) *Κολχικῆς*] *p. et infra Tricl. hoc loco, *Κολχικῷ* vulg. post *κρομμύῳ.* 20) *ἢ* pro *οἱ* M.[2] 23) *καὶ* om. M.[2]

κινον ἢ κερασόχροον· καὶ διὰ τοῦτο νῦν τὸν οἶνον βολβὸν κοχλίαν εἶπεν. M.)

Vs. 18. 19.

Vet. Ἤδη δὲ προϊόντος ἔδοξ' ἐπιχεῖσθ' ἄκρατον ᾧτινος ἤθελ' ἕκαστος: [ἤγουν] ἤδη δὲ προκόπτοντος τοῦ πότου ἔδοξεν ἡμῖν ἐπιχεῖσθαι ἄκρατον, ἤτοι λείβειν καὶ ἐπισπένδειν· οὕτω γὰρ εἰώθασι ποιεῖν ἐν τοῖς συμποσίοις, ἄκρατον λείβειν καὶ ὀνομάζειν τινὰς ἐρωμένους ἢ φίλους καὶ ἐναποχεῖν τῇ γῇ (ἐκ τοῦ οἴνου M.) καὶ φθέγγεσθαι τῶν φιλτάτων τὰ ὀνόματα. — Ἔδει μόνον ᾧτινος εἰπεῖν: ἔδει δέ, φησί, μόνον εἰπεῖν, οὗ χάριν ὁ οἶνος ἐχεῖτο.

Vs. 20. 21.

Vet. Ἄμμες μὲν φωνεῦντες: ἡμεῖς μὲν ὀνομάζοντες ἕνα ἕκαστος ἐπίνομεν. — (Ἡ δὲ πίνουσα οὐκ ἐφώνει καθὼς ἡμεῖς παρόντος ἐμοῦ. Gen.[b]) — Ἃ δ' οὐδὲν παρεόντος ἐμεῦ: αὕτη δέ, ἡ Κυνίσκα δηλονότι, [οὐκ ἔπιε] παρόντος ἐμοῦ οὐδὲ ἀποκρίσεως με ἠξίωσεν ἐν τῷ ἐπιχεῖσθαι αὐτῇ

17) [Βολβός:] ἤγουν οἶνος. M. βολβοὺς τὰ λεγόμενα ὕδνα, ἅτινα τὴν γῆν σκάπτοντες εὑρίσκουσιν οἱ ἄνθρωποι. r. — Βολβός, καὶ ὕδνον, Κολχίας, ἤτοι Λαζικός, ἤγουν μέγας, ἀνεσπάσθη ἐκ τῆς γῆς· οὗτινος ὕδνου ὁ ποτὸς ἐστὶν ἡδύς. r. ὅμοιος τοῖς Κολχικοῖς βολβοῖς. *r. ἐκ Κόλχου. r. Κολχίας ἀπὸ τῆς Κολχικῆς. r. Κολχικὴ ἡ Λαζική. *r. [Κοχλίας:] κόκκινος. M. — Ἐξεβλήθη. M. — Ἤγουν ἡδέως ἐπίνομεν. M.

18) Εἰς τέλος τοῦ πότου ἐρχομένου. M. τοῦ οἴνου. D. — Ἤγουν φιλοτησίαν ποιήσασθαι, ἣν κοινῶς φασι σδράβιτζαν. M.

19) [Ὧτινος:] χάριν. D: οὗ χάριν ὁ οἶνος ἐχεῖτο. r. οὗτινος ἤρα εἰπεῖν. M.

20) Ἡμεῖς μὲν φωνοῦντες ἀλλήλοις χαίρειν· οὕτω γὰρ εἰώθασι ποιεῖν. M. — Ὡς ἐδόκει ἡμῖν. M.

---

4) //Gen.[b] c. lemm. ἤδη δὲ προϊόντος sine ἤγουν et omissis, ut videtur, τοῦ πότου ἔδοξεν. 6) ποτοῦ vulg. — λείβειν] λαμβάνειν vulg. Item mox. 7) ἐν τοῖς .... ἐναποχεῖν om. Gen.[b] 8) τοὺς pro τινὰς M. 8) ἐναποχεῖν] p., ἀποχεῖν M., ἐπιχεῖν vulg. 9) τῶν φιλαύτων ὀνόματα p.[1], τὸ τοῦ φιλουμένου ὄνομα M. 10) //M. Gen.[b] hujus scholii sola ultima habent οὗ χ. ὁ οἶ. ἐχ., praecedenti scholio adhaerentia, item p., ut videtur. 13) //Om. Gen.[b] 14) ἕκαστος] Duebn., ἕκαστον cod. 14) ἡ δὲ πίνουσα] ἢ ἡδὺ πίνουσιν cod. 15) //Gen.[b] hoc initio ἃ δ' οὐδέν: ἡ δὲ ἐμοῦ παρόντος, φησίν, οὐδὲ ἀποκρ. ἠξ. ἐμέ. — 18) βολβὸς cod. Haec sunt ex SchArist. Nub. 188, cf. Phav. 20) Λαζικὸς] ἀλαζονικὸς cod. 22) Κολχικῆς] κόλχης cod. — Λαζικὴ] ἀλαζονικὴ cod.

κυάθους. τίνα οὖν με ἔχειν δοκεῖς διάθεσιν τοιαῦτα πάσχοντα;

Vs. 22—24.

(*Ἔπειτα, φησί, σιγώσης αὐτῆς ἔπαιξέ τις εἰς αὐτὴν εἰπών·* Gen.b) *οὐ φθεγξεῖ; λύκον εἶδες. τοῦτο δὲ ἀμφιβόλως εἴρηται, ἢ ὅτι Λύκου ἐρᾷ ἡ Κυνίσκα, ἢ ὅτι, καθὸ οἱ ὀφθέντες ἄφνω ὑπὸ λύκου δοκοῦσιν ἄφωνοι γίνεσθαι, οὕτω **** δὲ ἐναντίως εἶπεν, οὐχὶ „μήποτε ὑπὸ λύκου ὤφθης", ἀλλὰ „μήτι λύκον εἶδες." — Ἔπαιξέ τις ὡς σοφὸς εἶπεν: ἡ Κυνίσκα, φησί, εἶπε πρὸς τὸν εἰς αὐτὴν παίξαντα, ὡς σοφός τις, καὶ ἅμα ταῦτα εἰποῦσα καὶ μνησθεῖσα τοῦ Λύκου οὕτως ἐφλέγετο ὡς καὶ λύχνον εὐκόλως ἀπ' αὐτῆς ἅψαι.* — (*Ἔπαιξέ τις: πρὸς τὴν Κυνίσκαν, ἤγουν·* Gen.b *οὐ φθεγξῇ, οὐ λαλήσεις. λύκον εἶδες, ὡς σοφὸς εἶπεν, ἤγουν ὡς ὁ παροιμιαστὴς ἐφθέγξατο.* p. Gen.b) — (*Λάβα τῶ γείτονος: τοῦ Λύκου φησὶν ἐρᾶν τὴν Κυνίσκαν διὰ τὸ κάλλος αὐτοῦ· Λάβαν δέ τινά φησι τὸν αὐτοῦ πατέρα ἀπὸ τοῦ παραλαμβάνεσθαι ἐκεῖσε τὴν Αἰσχίνου γυναῖκα.* Gen.b)

Rec. (*Τρικλινίου. Ἐπάϊξέ τις: εὕρηται καὶ ἔπαιξέ τις, καὶ εἰ καλόν, σκοπεῖν δεῖ. οὕτω γὰρ τοῦτο λέγουσιν, ὅτι σιωπώσης τῆς Κυνίσκας ἔπαιξέ τις εἰς αὐτὴν εἰπὼν οὐ φθεγξῇ, ἤγουν οὐ λαλήσεις. λύκον εἶδες, ὡς σοφὸς εἶπεν, ἤγουν ὡς ὁ παροιμιαστὴς ἐφθέγξατο. καὶ ἔφη· οὕτω τοῦ Λύκου δηλονότι ἐρᾷ, ὥστε καὶ φλεγομένης τῷ ἔρωτι εὐ-*

21) *Ἡ Κυνίσκα οὐδὲν ἐφώνει, καθὼς ἡμεῖς.* M. *Κυνίσκα οὐδὲν ἔπινεν, ⟨ἢ⟩ ἔλεξεν.* r.

22. 23) [*Φθεγξῇ:*] *τι περὶ τούτου.* M. — [*Λύκον εἶδες:*] *διὰ τοῦτο οὐ φθέγγῃ.* M. — [*Ἐπάϊξε:*] *συνίζησις. ὥρμησεν, ἦλθε καὶ ἔφη.* M. — *Καὶ ἔφη ἐκείνη, ὡς σοφὸς οὗτος εἶπεν.* r. *ὡς, ⟨ἤγουν⟩ λίαν [ὁ] σοφὸς οὗτος εἶπεν, ἐν καιρῷ δηλονότι.* r. — [*Τις:*] *τῶν φίλων εὐωχουμένων ξένων.* D. — [*Εἶπε:*] *ἡ Κυνίσκα.* D. — [*Κῆφα:*] *η Κυνίσκη.* r. — *Κατ' εἰρωνείαν· ἤγουν οὐδὲ φῶς ἀπ' αὐτῆς λάβῃς εἰς λύχνον τὸ φαυλότατον, ὃς αὐτὴν βούλῃ λαβεῖν.* M.

---

1) *δοκεῖς ἔχειν διάθεσις ταῦτα* Gen.b 5) //Gen.b, ubi *φθεγξῇ*. 5) *δὲ*] add. Gen.b 6) *ἢ καθὸ* Gen.b 8) *οὕτω*] Gen.b, *οὗτος* vulg. 8) *ἔναντι* Gen.b 9) //Gen.b sine *ἔπαιξέ τις*. 10) *εἶπε*] add. Gen.b, ubi deinceps *πρὸς αὐτὸν τὸν εἰς αὐτὴν παίζοντα*. 12) *εὐκόλως* om. Gen.b 16) Schol. extat post schol. Vs. 41. 16) *τοῦ Λύκου*] *τοῦ Λάβα* cod., *Λύκον τοῦ Λάβα* conj. Adertus. 17) *Λάβα* cod. 25) *ἐρᾶν* M.2 — 32) *εὐοχούντων* (λ superscr.) cod. 34) *βούλῃ*] *βου* cod., *βούλεται* Gail.

κόλως ἂν ἀπ' αὐτῆς καὶ λύχνον ἅψαις. παροιμία δέ ἐστι τὸ λύκον εἶδες, ὅτι οἱ λύκον ἰδόντες δοκοῦσιν ἄφωνοι γίνεσθαι. ἐμοὶ δὲ τὸ ἐπάϊξέ τις κρεῖττον εἶναι δοκεῖ, οὕτως· ἐπάϊξεν, ἤγουν ὥρμησε καὶ ἦλθέ τις καὶ ἔφη· εὐκόλως ἂν ἀπ' αὐτῆς καὶ λύχνον ἅψαις, ἤγουν οὐδὲ φῶς ἀπ' αὐτῆς εἰς λύχνον λάβῃς τὸ φαυλότατον, ὃς αὐτὴν βούλῃ λαβεῖν. τὸ δὲ ὡς σοφὸς εἶπε διὰ μέσου εἴρηται, ἤγουν ὡς φρόνιμος τοῦτο ἔφη. ἔστι γάρ, ἔφη, Λύκος τις υἱὸς τοῦ Λάβα, ὅς ἐστιν αὐτῆς ἐραστής. τὸ δὲ οὐ φθεγξῇ λύκον εἶδες πρὸς τὸ τίνα νοῦν ἔχειν με ἐδόκεις ἀποδίδοται. M.)

Vs. 26—28.

Vet. (Κλύμενον — ἔρωτα: ἐξάκουστον. Vulc.) — (Τοῦτο δι' ὠτός: παρηκηκόειν δέ, φησί, πρότερον περὶ τοῦ ἐρᾶν αὐτὴν τοῦ Λύκου, ἀλλ' ἡσύχως, διόπερ οὐκ ἐξήτασα. Gen.[b]) — Μάταν ἐς ἄνδρα γενειῶν: τουτέστι ματαιοπώγων ὑπάρχων, οἷον μάτην ἀνδρὸς πώγωνα ἔχων διὰ τὸ μὴ χρῆσθαι τῇ ἀνδρὸς γνώμῃ.

Rec. (Τρικλινίου. Ἐπεί, φησί, τοιαῦτα πάσχων οὐκ ἠρεύνων οὐδὲ ἐφρόντιζον, μάτην ἀνέφυσα γένεια καὶ εἰς ἀνδρῶν ἡλικίαν ἀφικόμην. M.)

Vs. 31—33.

Vet. (Θεσσαλικόν τι μέλισμα: οἷον Αἰολικήν τινα

24) Καὶ τότε ἐγὼ ἔλεξα ἐρυθριῶσαν αὐτὴν ἰδών. r. — Ἐστὶν ὁ ταύτης ἐρώμενος. M.

25) Μακρός. M. — Μαλακὸς ὡς γυναικώδης. M.

26) Ἤγουν τούτου. M. — Τὸν ἔνδοξον. F. M. ἐξάκουστον. D. F. M. — Ἐδαμάζετο ἡ Κυνίσκα. M. — [Τῆνον:] μέγαν. D.

27) Ἤγουν ἀκουστὸν ἐγένετο. M.

28) Ἠρεύνησα περὶ τούτου. M.

29) Ἐν πλείστῳ μέρει τῆς πόσεως. M. ἐν ἄκρῳ μέθης. r.

30) [Λαρισσαῖος:] ὁ Θεσσαλός· ἐκεῖ γὰρ ἡ Λάρισσα πόλις. M. ἀοιδός. r. — [Ἆιδεν:] ἔπαιζε. πρὸς ἐχθρόν. r.

31) Ὁ Θετταλοὶ ᾄδουσιν. M. — [Μέλισμα:] ᾠδήν τινα. M. — Ἤγουν κακόφρων ἦν, ὅτι τούτου ἐμνήσθη. M. ὢν κακόφρων, ὅτι ἐμνήσθη αὐτοῦ. r.

---

6) βούλῃ] Bast., βούλεται Gail., βου (λ superscr.) cod. 13) Schol. extat post schol. Λάβα Vs. 27, quod ipsum non suo loco. 15) //Gen.[b], ubi μάτην. 16) ἔχων om. Gen.[b] 17) τῇ τοῦ ἀ. p.[1] Gen.[b] — γνώμῃ] Geel., ῥώμῃ vulg., ἐρωμένῃ p. 22) Αἰολικὴν] αἰολικὸν Gen.[b], αἰόλον p. — 35) αὐτὴ cod.

ᾠδὴν ᾔδεν, ὢν κακόφρων, ὅτι ἐμνήσθη αὐτοῦ. p. Gen.[b.]) — (Ἐξαπίνης: ἡ δὲ Κυνίσκα, φησίν, ἀκούσασα οὕτως ἐξαπίνης ἔκλαιεν ὡς κόρη τοῦ τῆς μητρὸς κόλπου ἐπιθυμήσασα. Gen.[b.])

Vs. 34—36.

Vet. Τᾶμος ἐγὼ τόν, ἴσης: τότε ἐγὼ ἰδὼν αὐτὴν (φησὶ Gen.[b.]) κλαίουσαν, οἷόν με σὺ Θυώνιχε γινώσκεις ὀργίλον πυγμαῖς τὴν σιαγόνα αὐτῆς ἔπαισα. κόρρην γὰρ τὴν γνάθον καὶ σιαγόνα (φασὶν M. Gen.[b.]) οἱ Ἀττικοὶ (ἀπὸ ⟨τοῦ⟩ κόρση τροπῇ τοῦ σ εἰς ῥ. Gen.[b.]) — (Ἀνείρυσα δὲ πέπλως: ἀντὶ τοῦ ἀνέστειλα καὶ ἐγύμνωσα, καὶ οὕτω δείρας ἐξέβαλον. ἢ ὅτι ἡ Κυνίσκα, φησί, πληγεῖσα καὶ τοὺς πέπλους ἀνελκύσασα ὠκέως διὰ τῶν θυρῶν ἀνέδραμεν. p. M. Gen.[b.])

Vs. 38.

Vet. Τήνω τὰ σὰ δάκρυα μᾶλα ῥέοντι: ἐκείνῳ, φησί, τῷ Λύκῳ, τὰ ῥέοντά σου δάκρυα μῆλα πίπτει, τουτέστιν ἔρως καὶ ἐπιθυμία. μήλοις γὰρ εἴκαζον τοὺς ἔρωτας διὰ τὴν περὶ αὐτοὺς καλλονήν. (ὡς καὶ ἀλλαχοῦ φησίν· ὢ μάλοισιν ἔρωτες ἐρευθομένοισιν ὁμοῖοι. M.)

32) Σύντονον ἢ τρυφερώτερον, ὡς καὶ τὸ τέρεν δάκρυ παρ' Ὁμήρῳ. M.

34) Ὅντινα, ἐμέ, γινώσκεις οἷός εἰμι, δηλονότι ὀργίλος. M. — Οἶδας. D. — Τὰς σιαγόνας, ἢ τὰς μήνιγγας. p.

35) Ἔτυψα, συνέτριψα. M. — [Αὖθις:] ἔτυψα. M. — [Ἀναρύσασα:] ἀνήλκυσα. M.

36) Ἤγουν ταχέως. M. — Τὸ ἐμὸν κακόν. M. — [Οὔ τοι ἀρέσκω:] λέγων [σοι. ἐγώ]· τοῦτο πρὸς τὸ ἤλασα. M.

37) Ὑποκάρδιος, ἐκ καρδίας φιλούμενος. M. πάρεστι. D.

38) Εὔφραινε. M. — Τὰ σὰ δάκρυα μάλα ῥέουσι ἐκείνου ἕνεκα. r. — [Μᾶλα:] ἔρωτες. Vat. ὡς μῆλα καὶ ἔρωτες. D. ἡδύτητα ῥέουσι. M.

---

1) αὐτοῦ] Duebn., αὐτῆς codd. 2) Schol. adhaeret scholio Τοῦτο δι' ὠτὸς ad Vs. 27. 6) //Gen.[b.] c. lemm. τῆμος ἐγὼν τὸν ἴσαις, sine τότε ἐγώ. 7) σὺ Θ. om. Gen.[b.], ubi γιγνώσκεις. 8) πυγμαῖς et αὐτῆς] p. M. Gen.[b.], πυγμῇ et αὐτῇ vulg. 9) καὶ σιαγόνα om. Gen.[b.] 9) οἱ ἰατρικοὶ p., οἱ om. M. 10) πέπλον p. 11) δήρας Gen.[b.] 13) ταχέως et ἐξέδραμεν M. 15) //Gen.[b.] c. lemm. τήνω τὰ σὰ δάκρυα. — τῷ Λ. φησὶ sine ἐκείνῳ M. Gen.[b.] 16) τὰ δάκρυά σου μῆλα ῥέουσι M. 16) πίπτειν ante Reisk. 17) εἴκαζον] p. Gen.[b.] ut Amstel., εἰκάζουσι M., εἰκαστέον vulg. 18) τὴν — καλλονὴν] p. Gen.[b.], τὴν — κολονὴν M., τὸ — κάλλος vulg. — περὶ αὐτὸν Gen.[b.], περὶ αὐτὴν M., om. p. 18) *Idyll. VII*, 116. — 25) Gailius male verba λέγων σοι ad praecedentem glossam traxit. Voluit autem glossator οὔ τοι ἀρ. suppleto λέγων cum ἤλασα conjungi. Σοι et ἐγὼ sunt glossae ad τοι et ἀρέσκω male interjectae.

Vs. 39—41.

Vet. *Μάστακα δ' οἷα τεκνοισιν υποροφίοισι χελιδών*: οὐχ οὕτω τις χελιδὼν τροφὴν δοῦσα τοῖς νεοσσοῖς ταχέως πάλιν ὑπέστρεψεν ἐπὶ τῷ ἑτέραν κομίσαι, ὡς ἐκείνη λιποῦσα τὸν δίφρον (εἰς ὃν ἐκάθητο M.) [ἤγουν τὴν καθέδραν] (διὰ τῶν θυρῶν M. Gen.[b.]) ᾤχετο. Τὸ δὲ *μαλακᾶς* (ἀπὸ *δίφρακος* M. Gen.[b.]), παρόσον αἱ γυναῖκες μαλακῶς καθίζουσιν, καθὼς ἐν Συρακουσίαις.

Vs. 42. 43.

Vet. *Ἰθὺ δι' ἀμφιθυρου*: ηγουν εὐθύ, ἀντικρὺ τοῦ οἴκου τοῦ διθύρου. ἀμφίθυρον γὰρ καὶ δικλὶς ταὐτόν ἐστι, δηλοῖ δὲ τὸ δίθυρον. — *Ἆ πόδες ἆγον*: ὅπου οἱ πόδες ἦγον. — (Οὕτως ⟨ὡς⟩ αὐτὴν τάχος οἱ πόδες ἔφερον. εἶτα ἐπάγει τὴν παροιμίαν· *ἔβακε ταῦρος ἀν' ὕλαν.* Gen.[b.] καὶ γὰρ τοῦτο τὸ φῦλον ὕλης δραξάμενον οὐκ ἐπιστρέφεται τῶν οἴκοι, οὐδ' αὕτη ἐκδραμοῦσα ὑπέστρεψεν. p. r. M. Gen.[b]) — *Ἔβα κεν, ταῦρος ἀν' ὕλαν*: παροιμία ἐστὶν ἐπὶ τῶν μὴ

39) Οἷα χελιδὼν δέδωκε τροφὴν τοῖς τέκνοις καὶ πάλιν ταχινὴ πέτεται εἰς ἄλλην τροφήν, οὕτως ὠκυτέρα ἐκείνη ἔδραμεν ἀπὸ δίφρου. *r. — Ὥσπερ χελιδὼν πέτεται φέρουσα μάστακα. r. — [*Μάστακα*:] οἱονεὶ μεμαγμένον καὶ ἕτοιμον. M. στόματι. D. — Ὑποκάτω ὀρόφου καθημένοις. M.

40) Βρῶμα, ζωήν. M.

41) Οὕτως ἡ Κυνίσκα. D. — Κλίνης, θρόνου. M. προσκεφάλαιόν τι φορείου. D.

42) Διὰ τοῦ διθύρου· ἀμφότερα γὰρ τὸ αὐτὸ δηλοῖ. M. — Τῆς ἐχούσης δύο κλεῖδας. 6. τοιαύτη ἐστὶ θύρα. r. — Ἔφερον αὐτήν. M.

43) [*Αἶνος*:] παροιμία. D. μῦθος. 6. M. — Δή. M. — Παροιμία. οὕτω καὶ αὕτη οὐχ υπέστρεψεν. r.

---

2) //Gen.[b.] sine lemmate. 3) διδοῦσα M. Gen.[b.] 4) ὑπέστρεψεν] Gen.[b.], ὑπέστρεφεν vulg., ὑποστρέφει M. 4) ἐπὶ τῇ Gen.[b.], om. M. — ἑτέραν κομίσαι] ἕτερα κομίσαι vulg., ἑτέρᾳ οἰκίᾳ Gen.[b.], ἑτέραν λαβεῖν M. 5) ἤγ. τ. καθ. om. M. Gen.[b.] 6) τὸ δὲ *μαλ.*] M., *ὠκυτέρα μαλ.* Gen.[b.], *μαλ.* δὲ vulg. 7) ὅτι pro παρόσον M., παρόσον ὅτι Gen.[b.] — αἱ γυν. post καθίζ. Gen.[b.] 7) μαλακῶς καθίζουσιν] Gen.[b.], μαλακαῖς κάθηνται καθέδραις vulg., ἐπὶ στρωμάτων μαλακῶν καθεύδουσιν M. 8) καθὼς] Gen.[b.], ὡς vulg. — Συρακούσαις ante Reisk., αἱ Συρακούσιαι pro καθὼς ἐν Συρ. M. — *Idyll. XV*, 28. 10) //Om. Gen.[b.] 11) δικλὶς] p., δίπτυχον vulg., cf. GlM. 11) ταὐτὸ Kiessl., τὸ αὐτὸ p. 12) //Om. Gen.[b.] 13) Haec in Gen.[b.] adhaerent scholio *ἀνείρυσα* Vs. 35. 15) Haec in p. fere ut in M. legi tradit Gaisf. (potius ut in Gen.[b.]) ζῶον pro φῦλον r., ὅτι ὥσπερ ὁ ταῦρος ὕλης ἀψίμενος M. 16) οἴκων Gen.[b.] 16) οὐδ' αὕτη ἐκδρ.] οὐδ' αὐτὸν ἐνδραμοῦντα Gen.[b.], καὶ αὕτη οὖν δραμοῦσα οὐχ r., οὕτω κἀκείνη ἐκδραμοῦσα οὐχ M. 17) //Om. Gen.[b.] — 21) μεμαλαγμένον cod.

ἀναστρεφόντων διὰ τὸ τοὺς ταύρους ὕλης ἐπιλαμβανομένους ἀλήπτους εἶναι.

Vs. 44—46.

Vet. Ταὶ δ' ὀκτώ: ψηφίζει τὰς ἡμέρας, ἀφ' οὗ ἀπ' ἀλλήλων κεχωρισμένοι εἰσί, καὶ ἀφ' οὗ οὐκ ἐκάρη κατάκρας τὰς τρίχας. — (Σάμερον ἑνδέκατον: ψηφίζει τὰς ἡμέρας ὁ Αἰσχίνης καὶ γίνεται ξ' παρὰ β'. Σάμερον ἑνδέκατον: τοῦ ἐνισταμένου, φησί, μηνὸς σήμερον ιά ἐστιν, ἃς καὶ αὐτάς, λέγω δὲ τὰς ἕνδεκα ἡμέρας, προσληπτέον ταῖς προτέραις, καὶ ἔσονται νη' ἡμέραι. Gen.[b]) — (Θρακιστί: διὰ τὸ μὴ ἀπηντηκέναι μοι ὁσονοὺ μεταμεμόρφωμαι, οὐδὲ Θρακιστί, ἀντὶ τοῦ οὐδὲ Ἰλλυριστί, κέκαρμαι. ἐκείροντο γὰρ οἱ Θρᾷκες ⟨τὰς τρίχας⟩ διὰ τὸ μὴ ἐν πολέμοις διὰ τούτων ἀτᾶσθαι ἢ κενὸν ἔχειν βάρος αὐτάς. p. Gen.[b])

Rec. (Ἀριθμεῖ τὰς ἡμέρας ὁ Αἰσχίνης, καὶ γίνονται νη'. σήμερον γάρ, φησίν, ἐστὶν ἑνδεκάτη τοῦ ἐνισταμένου μηνός, καὶ προστίθει καὶ ταύτην. προσληπτέον οὖν ταῖς προτέραις τὰς ιά, καὶ ἔσονται ἡμέραι νη'. ἐν αἷς οὗτος τὴν ποσότητα τῶν ἡμερῶν τῶν δύο μηνῶν ἀριθμεῖ οὐκ ἀκριβολογούμενος. M.)

Vs. 47.

Vet. Ἃ δὲ Λύκω νῦν πάντα: αὐτὴ δὲ κατὰ τὰ

44) *Εἰσὶ πᾶσαι ἡμέραι ὁμοῦ.* M.

45) *Γίνονται δὲ ἡμέραι ἑξήκοντα ὀκτώ, καὶ ψηφίζει εἶναι μῆνας δύο δέοντας δυῶν ἡμερῶν.* r. — *Προστίθει.* M. — [*Δύο καὶ δύο*:] *ἐν ἄλλῳ δυοκαίδεκα.* M.

46) *Ἀφ' οὗ ἀπ' ἀλλήλων ἐγεγόνειμεν.* M. — [*Οὐδέ*:] *γράφεται οὐδ' εἰ.* 5. *τῇ λύπῃ.* M. — *Κατὰ τὸν νόμον τῶν Θρᾳκῶν.* *I. *Βουλγαριστὶ ἢ Ἰλλυριστί.* [*οἶδα*]. 5. — *Ἐκείροντο γὰρ Θρᾷκες ὡς πολεμικοί, ἵνα μὴ βάρος αὐτοῖς εἶεν αἱ τρίχες.* M. — [*Κέκαρμαι*:] *κέκραμαι, ἐμίγην, παρὰ τὸ κιρνάω.* D.

47) *Νῦν δὲ κατὰ ⟨πάντα⟩ ἐστὶν ἐκείνη τοῦ Λύκου.* r. — [*Πάντα*:] *κατά.* 23. — *Καὶ ἐν νυκτὶ μνησθεῖσα ἐκείνου ἀνίσταται καὶ ὥσπερ μαινομένη ἀναπηδᾷ. εἰκάζων δὲ τοῦτο λέγει. πῶς γὰρ οἶδεν ἄν, ἐπεὶ ἀπέστη αὐτοῦ;* M.

---

4) //Om. Gen.[b] 5) *ἐκάρην* ante Heins. 5) *κατάκρας*] *κατὰ κάρας* ante Heins., *κατὰ Κᾶρας* vulg. 7) *παρὰ ῆ* cod. 10) *ἡμέρας* cod. 11) *μὴ ἀπηντηκέναι*] Gen.[b], ut correxit Piccolos, *ἀπηντημέναι* sine *μὴ* p. 11) *ὁσονοὺ*] *οἱονεὶ οὐ* codd. 12) *κέκαρμαι* in p. pro lemmate novi scholii; recte Gen.[b], ut jussit Duebn. 13) *ἀτᾶσθαι*] *ἀλᾶσθαι* codd. 14) *αὐτὰς*] *αὐτοὺς* codd. 19) *οὐκ* om. M.[2] 21) //Om. Gen.[b] — 24) *δέοντας*] Duebn., *δευστους* vulg. 28) *οἶδα* est v. l. ad Vs. 47 pertinens. 31) *πάντα*] suppl. Wart.

πάντα τῷ Λύκῳ ἐστίν, ὥστε καὶ νυκτὸς αὐτῷ τὴν θύραν ἀνεῷχθαι.

Vs. 48. 49.

Vet. *Ἄμμες δ' οὔτε λόγω τινὸς ἄξιοι, οὔτ' ἀριθμητοί*: ἡμεῖς δὲ παρ' αὐτῇ οὐδ' ἐν ἀριθμῷ ἐσμέν, ὥσπερ οὐδὲ οἱ Μεγαρεῖς ὑπὸ τῆς Πυθίας ἐλέχθησαν εἶναι τινὸς ἄξιοι λόγου. ἱστορεῖ γὰρ Δεινίας, ὅτι οἱ Μεγαρεῖς φρονηματισθέντες ποτέ, ὅτι κράτιστοι τῶν Ἑλλήνων εἰσίν, ἐπύθοντο τοῦ θεοῦ, τίνες κρείττονες τυγχάνοιεν. ὁ δὲ ἔφη·

Γαίης μὲν πάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον,
ἵπποι Θρηίκιαι, Λακεδαιμόνιαι δὲ γυναῖκες,
ἄνδρες δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.
ἀλλ' ἔτι καὶ τῶν εἰσιν ἀμείνονες, οἳ τὸ μεσηγὺ
Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου,
Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο.
ὑμεῖς δ' ὦ Μεγαρεῖς οὔτε τρίτοι οὔτε τέταρτοι
οὔτε δυωδέκατοι, οὔτ' ἐν λόγῳ οὔτ' ἐν ἀριθμῷ.

— (⟨Τοῦτο⟩ παρὰ τὸ ἐν τῷ χρησμῷ *Μεγαρεῖς οὔτε τρίτοι οὔτε τέταρτοι*. Gen.[b.])

Vs. 50.

Vet. *Κεὶ μὲν ἀποστέρξαιμι*: καὶ εἰ μὲν καταφρονήσαιμι αὐτῆς, δεόντως ἂν μοι τὰ πάντα προχωροίη.

Vs. 51.

Vet. *Νῦν δέ ποθ' ὡς μῦς φαντὶ Θυώνυχε γεύ-*

49) [*Μεγαρῆες*:] ὥσπερ. D. ἤγουν ἡμεῖς. M. — Ἤγουν ἄτιμοί ἐσμεν. M.

50) Καταφρονήσαιμι. D. ἀποχωρισθῶ αὐτῆς τελείως. M. — Πρέπον. M.

---

4) //Gen.[b.] c. lemm. λόγω. 6) ἀπὸ τῆς Πυ Gen.[b.] 6) ἐλέγχθησαν p. 7) φρόνημα σχόντες ὡς κρ. M. 9) τίνες] M. Kiessl., τινὲς Gen.[b.], τίνος vulg. — ἄριστοι pro κρ. p. M. Can. Gen.[b.] — τυγχάνειεν Gen.[b.] et ante Reisk., εἶεν M. 10) Quinque primi versus desunt in M. — ἄργω Gen.[b.] 11) χαλκοδαιμόνιαι Gen.[b.] 12) καλλῆς Gen.[b.] 13) τῶν] Gen.[b.] ut AP. Phot. et codices Suidae, τῶνδ' vulg. — οἳ τὸ] Anth. Pal. XIV, 73., οἱ κατὰ τὸ Gen.[b.], οἳ τὰ p. I. et fort. Vulc., οἵτε vulg. ut Phot. Suid. 14) Ἀρκαδίαν πολύμαλον p. et fere Vulc. 15) πολέμοιο Gen.[b.] 17) δωδέκατοι Gen.[b.], δυωδεκαταῖοι M. Vulc. 18) παρὰ τὸ] περὶ τῶν cod. 21) //Om. Gen.[b.] 24) //Gen.[b.] c. lemm. *νῦν δὲ πόθ' ὡς μῦς* et p. In *Vulc.* hoc sch. fere ut in p. scriptum.

μεθα πίσσας: (ἐλλιπὲς τοῦτο τὸ ἀγαθόν. p. Gen.[b]) παροιμία ἐστὶ τὸ *μῦς γενόμενος πίσσης*. λέγεται δὲ ἐπὶ τῶν εἰς ἀηδὲς πρᾶγμα ἐμπιπτόντων καὶ δυσεξείλητον καὶ κακῶς ἀπαλλασσομένων. ὥσπερ γάρ, φησί, ὁ μῦς πίσσης γενόμενος ἐνειληθεὶς κρατεῖται καὶ ζῶν τιμωρεῖται, οὕτω κἀγώ, (φησίν, οὐχ ὅτι παρακμάζον ἔχω τὸ πάθος, ἀλλ' ὅτι ἀρχὴν αὐτοῦ λαμβάνω. p. Gen.[b])

Rec. (*Μῦς*: παροιμία ἐπὶ τῶν εἰς ἀηδὲς ἢ ἄφυκτον πρᾶγμα ἐμπιπτόντων, ἐπεὶ γευσάμενος μῦς πίττης ἀφεύκτως πεδεῖται καὶ ἁλίσκεται. M.) — (*Παροιμία*· *μῦς ἄρτι πίττης γενόμενος* καὶ *μῦς πίττης γεύεται* ἐπὶ τῶν πρώην τολμηρῶν, ἀθρόον δὲ δειλῶν ἀναφανέντων· ἢ ἐπὶ τῶν νεωστὶ ἀπαλλασσομένων μετὰ κόπου. καὶ ὡς Μῦς ἐν Πίσσῃ ἀπὸ Μυὸς τοῦ Ταραντίνου κακῶς Ὀλυμπίασιν ἀπαλλαγέντος. N.)

Vs. 53. 54.

Vet. (*Πλὰν Σῖμος*: πλὴν ὅτι Σῖμος ἡλικιώτης τίς μου ἐκστρατεύσας ὑγιὴς ἀπὸ τοῦ ἔρωτος ἐπανῆλθεν. *ὑπόχαλκον* δὲ ἂν λέγοι τὴν ἀσπίδα, ἐπεί ἐστιν ὑπὸ τῷ χαλκῷ· ⟨ἢ καὶ λέγεται ἐπίχαλκος,⟩ τουτέστιν ἐφ' ἑαυτῆς ἔχουσα τὸν χαλκόν. ἐκ δὲ τούτου τὴν στρατείαν δηλοῖ. p. Gen.[b])

Vs. 59.

Vet. (*Πτολεμαῖος*: παραινεῖ αὐτῷ ὁ Θυώνιχος πλεῖν

52) Τοῦ ἀμηχάνου. M.

53) Ἐπιχάλκου θυγατρός. M. [*ὑποχάλκω*:] ἀσπίδος, τουτέστιν ὁ στρατιώτης. D.

55) [*Πλασεῦμαι*:] πλευσοῦμαι. M. — Διὰ θαλάσσης. M. — Ἐλάττων, εἰμὶ δηλονότι ἐκείνου. M.

56) Ἤγουν προέχων ἐμοῦ ἐκεῖνος. M. — Ἴσος ἐμοί. M.

59) [*Πτολεμαῖος*:] ἐν Αἰγύπτῳ ἐστί. D. — Τινὶ ἐλευθέρῳ τὴν ψυχήν, ἤγουν τῇ ἐλευθερίᾳ. M. — [*Οἶος*:] μόνος. M. — [*Ἄριστος*:] ἄναξ. D.

---

1) τὸ om. p. 2) ἐστὶ τὸ om. Gen.[b] 3) ἀηδὲς ἢ ἄφυκτον πρ. p. et infra M. 3) ἐμπιπτόντων] p. Gen.[b] et infra M., ἐμπεσόντων vulg. 3) δυσεξείλητον] δυσεξειλήτως vulg., δυσεξαλείπτως p. 3) καὶ κακῶς] add. p. Gen.[b] 4) γὰρ φησὶ om. Gen.[b] 4) ὁ μῦς πίσσης γ.] Gen.[b], ὁ πίσσης γ. μ. vulg. 5) τιμ. ζῶν Gen.[b] 6) παρακμάζον] Duebn., παρακμάζων vulg. 9) ἐπιγευσάμενος M.[2] 16) πλὴν etiam in lemm. Gen.[b] 16) σιμὸς p. 16) τις] τῆς Gen.[b], om. p. — μοι codd. 18) λέγει Gen.[b] 19) ἐφ'] ἀφ' codd. — ἑαυτῆς] Piccolos, ἑαυτοῦ codd. 22) πλεῖν] Adert., πλὴν cod.

εἰς Ἀλεξάνδρειαν πρὸς τὸν βασιλέα τὸν Φιλάδελφον μισθοφορήσοντα παρ' αὐτῷ. Gen.[b.])

Vs. 60.

Rec. (Τρικλινίου. Ὥσπερ φαμὲν τὸ σοφὸν τοῦ δεῖνα, ἤγουν ἡ σοφία, καὶ τὸ θυμούμενον, ἤγουν ὁ θυμός, καὶ ἄλλα τοιαῦτα, οὕτω νοήσεις κἀνταῦθα καὶ τῷ ἐλευθέρῳ, ἤγουν τῇ ἐλευθερίᾳ, οὕτως· ἐν τῇ ἐλευθερίᾳ οἷος καὶ μόνος ἄριστος. εἰ δὲ δασεῖαν ἐν τῷ οἷος θήσεις — εὕρηται γὰρ καὶ οὕτως — ἀντὶ τοῦ μέγας ἐρεῖς, στίξας εἰς τὸ οἷος, ἤγουν ἐν τῇ ἐλευθερίᾳ μέγας Αἰσχίνης· τὸ δὲ ἄριστος ἀσύνδετον ἐρεῖς. M.)

Vs. 65—70.

Vet. (Κατὰ δεξιόν: ὥστε, φησίν, εἴ σοι ἀρέσκει ἐμπεπάρθαι τὸ ἱμάτιον κατὰ τὸν δεξιὸν ὦμον καὶ ὑπομένειν δύνασθαι ἀμφοτέροις βεβηκότι τοῖς ποσὶ προσφερόμενον πολεμικὸν ὁπλίτην, ὡς τάχος ἄπελθε εἰς Αἴγυπτον. Gen.[b.]) — (Πελόμεσθα: ταχέως ἔπεισι τὸ γῆρας ἡμῶν τοῖς κροτάφοις, καὶ αἱ πολιαὶ ἀεὶ καθέρπουσιν ἐκ τῶν ὤτων μεχρὶ τοῦ γενείου ἐφεξῆς. διὸ ποιεῖν τι δεῖ, ἕως τὸ γόνυ χλωρόν p. M. Gen.[b.], ἤγουν ἕως ἰσχὺν ἐκ τῆς ἡλικίας ἔχομεν καὶ ἐνεργεῖν δυνάμεθα. M.) — Ἁ τάχος εἰς Αἴγυπτον: κατὰ τάχος, ἔρχου δηλονότι, εἰς Αἴγυπτον. Ἀπὸ κροτάφων: ἀπὸ τῶν μηνίγγων γινόμεθα πάντες γέροντες, καὶ ἐφεξῆς κατὰ τάξιν ἐς τὴν παρειὰν ἔρχεται λευκαίνων ὁ χρόνος. διὸ δεῖ τι ποιεῖν, οἷς γονὺ χλωρόν, ἀντὶ τοῦ ἕως ἀκμάζομεν.

61) Φιλολόγος. M.

63) [Πολλοῖς:] ἐνταῦθα σύναπτε τὸ οἷα χρὴ βασιλέα. M. — [Διδούς:] ἐστίν. εὐγνώμων ἐστίν. r. — Οὐκ εἰς πάντα αἰτητέον ἐστίν. r.

64) [Χρή:] πράττειν. D. διδόναι. M.

66) Ἱμάτιον. D. — [Ἀμφοτέροις:] τοῖς ποσί. D. ἵπποις, ἤγουν δίφρῳ. M.

67) Ἀνδρεῖον. M. — Στρατιώτην ὡπλισμένον. M.

---

1) μισθοφορήσοντα] Duebn., μισθοφορῆσαι τὰ cod. 2) αὐτῷ] Adert., αὐτῶν cod. 15) βεβηκότι] βεβηκόσι cod., βεβηκὼς Adert. 15. 16) πολεμικὸν ὁπλίτην] Adert., πτολεμίονα πολίτην cod. 17) Schol. ex p. etiam a Bandinio affertur. — ταχέω Gen.[b.], τὸ γῆρας ἡμῖν, φησίν, ἀπὸ τῶν κροτάφων ἐπέρχεται καὶ πολιαὶ M. 18) αἰεὶ αἰεὶ Gen.[b.] 18) ὤτων] ὠτῶν M., αὐτῶν p. Gen.[b.] 21) //Om. Gen.[b.] 23) μυνίγγων ante Brub. 24) ἔρχοιτο vulg.

Rec. (Εἴ σοι, φησίν, ἀρέσκει ἐμπεπάρθαι τὸ ἱμάτιον κατὰ τὸν δεξιὸν ὦμον — τοῦτο δὲ στρατιωτικόν ἐστιν ἔνδυμα, ὃ κοινῶς ἐπανωκλίβανον λέγεται — καὶ βαίνειν ἐπὶ δίφρου καὶ προσδέχεσθαι στρατιώτην ἕτερον ἀνδρεῖον, ἐπερχόμενόν σοι ὅταν οἱ ἀγῶνες γίνωνται, ταχέως εἰς Αἴγυπτον ἄπελθε. M.)

Idyll. XV.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Συρακούσιαι ἢ Ἀδωνιάζουσαι· προλογίζει δὲ Γοργώ. — (Δραματικὸν Δωρίδι. M.)

(Τοῦ Τρικλινίου. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων ρμθ', ὧν τελευταῖος· χαῖρε Ἄδων' ἀγαπητέ, καὶ ἐς χαίροντας ἀφίκευ. M.)

Vs. 1.

Vet. [Ἔνδοι Πραξινόα. Εὐ. Γοργὼ φίλα. ὡς χρόνῳ. ἔνδοι.] Ἔνδοι: ἀντὶ τοῦ ἔνδον. (γράφεται καὶ ἤνδοι. Gen.[b.]) καὶ ἔστι τοπικὸν ἐπίρρημα ὡς τὸ Μεγαροῖ, Πυθοῖ. ἀντιπίπτει δὲ τούτοις τὸ οἴκοι. ἡ Γοργὼ δέ φησι πρὸς τὴν θεράπαιναν· ἔνδον ἐστίν ἡ Πραξινόα; πρὸς ἣν ἡ δούλη „ὡς χρονία“ λέγει „(ἦλθες M.) ὦ Γοργὼ φίλη.“ [ὡς χρόνῳ ἀντὶ τοῦ ὡς διὰ χρόνου.] εἶτα μικρὸν διαστήσασα ἐπάγει· ἔνδοι ἀντὶ τοῦ ἔνδον ἐστί.

68) [Αἰ:] καθά. M. ὢ τάχος. οὗ τάχος. ὅπου εἶ. ὅπου εἰς Αἴγυπτον ἄγει, κατὰ τάχος ἄπελθε. r. — [Εἰς Αἴγυπτον:] γενοῦ, ἄπελθε. M. πλεῖ ἢ ἄπιθι. D.

69) Κάτεισι. M.

70) Γηρῶν. M. — Ἤγουν οἵτινές εἰσι νέοι. r. — [Ὡς:] γρ. οἷς ἕως. D. rec. — [Γόνυ:] ἡ ἡλικία. 6. — Ἰσχυρόν, νέον ὄν. M.

1) [Ὡς χρόνῳ:] ἦλθες. M. διὰ χρόνου ἧκες μόλις. 6. λίαν χρονίως παρεγένου ἡμῖν. E.

---

2) καὶ pro δὲ M.[2.] 3) ἐπανωκλ.] Duebn., ἐπανοκλ. cod. 5) ἀπῆλθεν M.[2.] 15) //Gen.[b.] et praefixis ἐκ τῶν παλαιῶν σχολίων M. Uterque liber prima ἔνδοι .... οἴκοι in fine habet post ἐπάγει, alteris ἔνδοι .... ἐστὶν omissis. 16) καὶ ἔστι] Gen.[b.], ἔστι δὲ M., ἐστὶ cum ἔνδον junctum vulg. 17) οἷς ἀντιπίπτει τὸ M. — Γοργὼ φίλα tanquam lemma pro ἡ Γ. δὲ Gen.[b.], om. M., tum πρὸς θερ. φησὶν ὅτι ἔνδον ἡ Πρ. ἐστίν M. Gen.[b.] (Πραξινόη M.) 19) χρονία] M., χρονίαν vulg. 19) ὦ Γ. φίλη] M., Γ. φίλα vulg., om. Gen.[b.] — ὡς χρ. ἀ. τοῦ om. M. Gen.[b.] 20) ὡς διὰ χρ. om. M. — 24) πλεῖν cod. 28) χρόνου] Duebn., χρόνον cod.

Vs. 4. 5.

Vet. (⟨Ἀλεμάτω⟩ ψυχῆς: ἤγουν τῆς ἐπιπόνου. p. Gen.[b.]) — (Ἀδέματον ψυχὴν τὴν νεκράν, ἤγουν τὴν ἔξω τοῦ σώματος. Gregor. 177.) — Μόλις ὔμμιν ἐσώθην: [ἤδη ἐπιπόνως·] μόλις πρὸς ὑμᾶς ἐσώθην ἀπὸ τοῦ ὄχλου καὶ τῶν ἁρμάτων.

Vs. 6.

Vet. Παντᾶ κρηπίδες: ἤγουν πανταχοῦ κεκρηπιδωμένοι ἄνδρες. λέγει δὲ τοὺς ἐν τῇ πόλει στρατιώτας.

Vs. 7.

Vet. Ἁ δ' ὁδὸς ἄτρυτος: ἡ δὲ ὁδὸς πολλή· σὺ δὲ ἑκαστοτέρω, ἀντὶ τοῦ πόρρω μου οἰκεῖς.

Vs. 8.

Vet. Ταῦθ' ὁ πάραρος: ἡ Πραξινόα ταῦτά φησι περὶ τοῦ ἰδίου ἀνδρός, ὅτι μακρὰν ἐμισθώσατο τὴν οἰκίαν. πάραρος δὲ ὁ παρηρτημένος τὴν γνώμην, ὁ ἀνάρμοστος, ὁ ἀχρή-

2) Τοσοῦτον δηλονότι βραδύνασα. r. E. N. — Θρόνον. M. καθέδραν. r. E. N.

3) Προσκεφαλαίαν. 6. προσκέφαλον. r. ὑποπόδιον ἢ τὸ κοινῶς προσκέφαλον. E. M. N. — [Ἔχει:] τὰ προστεταγμένα. M.

4) [Ἀδαμάντου:] ἐπιπόνου. 5. τῆς μὴ περικειμένης σῶμα. 4. [ἀδειμάντω:] ἀφόβου, ἐπιπόνου. r. E. [ἀδεμάτω:] ὦ τῆς ἀδειμάτου, ἐπιπόνου, ἀφόβου ἡμετέρας ψυχῆς, ⟨μόλις⟩ πως διῆλθε τὸν ὄχλον. M. ἀδείμαντα ἄφοβα, καὶ ἄδειμος ὁ ἄφοβος. *r.

5) [Ὄχλω:] ὄντος δηλονότι κατὰ τὴν ὁδόν. E. ὄντος ἐν τῇ πόλει. M.

6) Πανταχοῦ κεκρηπιδωμένοι ἄνδρες, ἤγουν ὑποδηματοφόροι. r. E. N.

7) Πολλοῦ πόνου παρεκτικὴ διὰ τὸ μῆκος. r. E. N. ἀκαταπόνητος ἀπὸ τοῦ τρύω. r. — Πόρρω, μακράν. M. πορροτέρω ἐμοῦ. E. N.

8) Ὁ παράφορος ἐκεῖνος, ἤγουν ὁ ἀνήρ μου. E. N. ὁ παραφορούμενος ἀνήρ μου. r. παράφορος, ἀνάρμοστος, ἀχρησίμευτος. M. — Ἐπὶ τὰ ἄκρα τῆς πόλεως. E.

---

4) //Gen.[b.] sine lemmate et sine ἤδη ἐπ. 5) ἡμᾶς Gen.[b.] 8) //Gen.[b.] c. lemm. κρηπίδες. 11) //Gen.[b.] sine lemm., ubi ἑκαστοτέρα δέ, omissis σὺ δὲ et μου οἰκεῖς. 12) μου] Duebn., μοι vulg. 14) //Gen[b.] inde ab ἀνάρμοστος. — 23) πῶς cod. — διῆλθε] Duebn., ἦλθε cod.

σιμος καὶ μάταιος ἐκ μεταφορᾶς τῶν παρηόρων ἵππων, οἵτινες τῷ ζυγῷ οὐ χρησιμεύουσιν.

Vs. 9. 10.

Vet. *Ἰλεὸν δὲ λέγουσι τὸν φωλεὸν ἀπὸ τοῦ τὰ ἑρπετὰ ἐν αὐτῷ εἰλεῖσθαι. — Φθονερὸν δὲ ἀντὶ τοῦ φιλόνεικον.*

Vs. 13.

Vet. *Οὐ λέγω ἀπφῦν: οὕτω τὸν πατέρα καλοῦσιν, ἀφ' οὗ τις πέφυκεν [λέγεται δὲ ὑποκοριστικῶς], ἤδη δὲ ἀπὸ τούτου καὶ τὸν πρεσβύτην. — (Ἀπφὺς παρὰ Θεοκρίτῳ πατρὸς κλῆσις, ἣν βρέφος ἂν προσείποι πατέρα τὸν ἀφ' οὗ ἔφυ.* Eustath. 565, 28.)

Vs. 14.

Vet. *Ναὶ τὰν πότναν καλὸς ἀπφῦς: (ἤγουν* Gen.[b.]*) ναὶ μὰ τὴν θεόν, [ναὶ μὰ] τὴν Κόρην. εὗ δὲ τὸ τὰς Συρακουσίας ταύτην· ὀμνύναι (ἀπὸ τούτου* Vulc.)*· φασὶ γὰρ τὸν Δία τῇ Περσεφόνῃ τὴν Σικελίαν δωρήσασθαι.*

Vs. 15—17.

Vet. *Ἡ Πραξινόα [δέ] φησι ταῦτα τὸν ἄνδρα μεμφομένη. — (Καὶ φῦκος:* Gen.[b.]*) ὁ ἀπφῦς οὖν φησὶν ἐκεῖνος ὡς λόγῳ εἰπεῖν τρισκαιδεκάπηχυς, ([καὶ] οἷον τηλικοῦτος* p. Gen.[b.]*) ὑπάρχων ἀνήρ, πρώην ἐν τῇ πανηγύρει νίτρον (καὶ φῦκος*

12) *Τοῦ μικροῦ παιδὸς παρόντος.* M. *τοῦ σοῦ παιδός.* E. N. — *Ὅτι πρὸς σὲ βλέπει, τί δηλονότι λέγεις ἀκοῦον.* M. *πρὸς σὲ ὁρᾷ.* E.
13) [*Ζωπυρίων*:] *ἤγουν ἐκπυρούμενος ἐν τῷ προσώπῳ.* M.
14) *Νὴ τὴν θεόν, ἤγουν τὴν Περσεφόνην.* E. N. — *Ὁ πατήρ σου ἐστί.* E. M.

---

1) *παρηόρων*] Brub. mg., *παρηόρων* p. M., *παρηόῤῥων* ante Heins., *παράῤῥων* Gen.[b.], *παρήρων* vulg. 2) *χρησ. πάραρον τοῦτον λέγει* M. 4) //Gen.[b.] omissis *δὲ λέγ. τόν.* 5) *εἰλεῖσθαι*] Gen.[b.] Call., *εἱλεῖσθαι* Bas. II. et vulg. 5) //Om. Gen.[b.] 7) //Gen.[b.] c. lemm. *ἀπφύν*, ubi desunt verba *λέγ. δὲ ὑπ.* 8) *ἤδη δὲ τὸν πρ. ἀπὸ τ.* Gen.[b.] 13) //Gen.[b.] c. lemm. *νὴ τὴν πότνιαν.* 14) *νὴ* pro priore *ναὶ μὰ* Gen.[b.], ubi alterum deest. 14) *καλῶς ταύτην αἱ Συρακούσιαι ὀμνύουσι* M., *φασὶ* pro *ταύτην ὀμν.* Gen.[b.] 16) *χαρίσασθαι* Vulc. 18) //Om. Gen.[b.] Vulgo haec praecedenti scholio adhaerent. 19) //Gen.[b.] 20) *λόγῳ*] p. E. (?) M.[2.4.] (Gen.[b.]), ut Kiessl. correxerat, *λόγος* M.[3.] vulg. 21) *ὑπάρχων* om. p. Gen.[b.], *ὢν* sine *ἀνὴρ* M. 21) *ὅτι ἠγόραζε* (i. e. *ὅτε* cf. SchRec.) p. Gen.[b.] post *ἀνήρ.* — 24) *ἐκπυρούμενος*] Adert., *-νον* cod.

p. M. Gen.[b.]) ὠνήσασθαι ἀπελθὼν ἅλας (ἀγοράσας Gen.[b.]) ἤνεγκεν ἡμῖν, ὡς νίτρον [ἅλας] αὐτῷ δεδωκότος τοῦ πωλοῦντος. (διὸ ἐπισκώπτει αὐτὸν εἴς τε μέγεθος καὶ ἄνοιαν. p. M. Gen.[b.]) — (*Ἀγοράσδω*: Gen.[b.] σκηνὴν εἶπε <τὴν πανήγυριν>, παρόσον ἐν ταῖς πανηγύρεσιν σκηνὰς ἐποίουν οἱ πωλοῦντες. p. Gen.[b.])

Rec. (Ὁ ἀπφῦς μὲν οὖν ἐκεῖνος, ἤγουν ὁ πατήρ, πρώην — τοῦτο δ' εἰώθαμεν λέγειν ἐπὶ πάντων τῶν πρὸ ὀλίγου πεπραγμένων — τρισκαιδεκάπηχυς ἀνὴρ ὢν τὴν ἡλικίαν, ἐνδεὴς δὲ κατὰ τὰς φρένας, ὅτε ἠγόραζεν ἐν τῇ πανηγύρει νίτρον καὶ φῦκος, ἀντὶ νίτρου ἅλας ἡμῖν ἔφερεν, r. E. N. τοῦ πωλοῦντος ἀντὶ τούτου δόντος αὐτῷ τὸ ἅλας. E.)

Vs. 18—20.

Vet. *Χ' ὡ μὸς ταῦτα ἔχει φθόρος*: ταῦτα ἡ Γοργὼ ἐπὶ τοῖς ὁμοίοις μεμφομένη τὸν οἰκεῖον ἄνδρα φησί· καὶ ὁ ἐμὸς ἀνὴρ Διοκλείδας ἑπτὰ δραχμῶν ἠγόρασε ποκάρια γεγη-

15. 16) Τοῦτο διὰ μέσου· πάντα δὲ λέγομεν πρώην δή, καὶ τὰ πρὸ πολλοῦ καὶ τὰ πρὸ ὀλίγου δηλονότι γεγονότα. M. — Παροιμία· λέγω δέ, ὡς λόγῳ εἰπεῖν. r. ἤγουν ὡς ἐν λόγῳ εἰπεῖν. E. — Γρ. *δήν*, πάντα δὴ ἃ πρώην πεποίηκεν ἀγοράζων. r. — Εἴδη ταῦτά ἐστι, δι' ὧν καλλωπίζονται αἱ γυναῖκες. M. [*φῦκος*:] τὸ χορτῶδες τῆς θαλάσσης ἀπόβλημα, ᾧτινι τὰς ὄψεις χρίουσι. r. καὶ φῦκος ἀντὶ ἀλφίτων. *r. — Πανηγύρεως. E. N. σκηνὰς γὰρ ἱστῶσιν οἱ πωλοῦντες ἐν ταῖς πανηγύρεσιν. M.

17) [*Ἅλας*:] ἀντὶ νίτρου καὶ φύκους δηλονότι. E. M. — Μακρὸς ὤν. 6. μακρὸς καὶ ἀφελής. M. ἀνὴρ τρισκαιδεκάπηχυς ὤν, ἐλλιπὴς δὲ κατὰ γνῶσιν. E.

18) [*Ταὐτά*:] τὰ ὅμοια. E. — Ὁ φθορεὺς τοῦ πλούτου, τῶν χρημάτων. M. φθορεὺς ὤν, ἐπὶ ματαίῳ δηλονότι. E. N.

---

1) *ὠνήσασθαι ἀπελθὼν*] M., θέλων ἀγοράσαι vulg., om. p. Gen.[b.] 1) ἧλας pro ἅλας p. 2) *ἤνεγκεν ἡμὶν ὡς νίτρον*] M. Gen.[b.] (sed ἢν ἡμιν M.[2], ἤνεγκον Gen.[b.]), *νίτρον* sine ἤν. ἡμ. ὡς p., ἡμῖν ἀντὶ νίτρου ἤνεγκεν vulg. 2) ἅλας ... πωλ.] p. Gen.[b.], ἐξαπατήσαντος αὐτὸν τοῦ πωλ. καὶ δεδ. ἅλας ἀντὶ νίτρου M., ὡς τοῦ πωλ. ἅλας ἀντὶ νίτρου δεδ. vulg. 3) σκώπτει δὲ αὐ. εἰς μέγ. κ. ἄ. M. supra ante πρώην. 5) σκιὰς p. 7) ἀπφ. sine ὁ N. 7) πρώαν r., om. E. 8) λόγῳ εἰπεῖν πάντα τὰ πρὸ ὀλ. ὑπ' αὐτοῦ πεπραγμένα. E. 9) τὴν ἡλ. om. E. — ἐνδεὴς bis r. 10) τὰς om. r. E. 10) ἀγόραζεν N., ἀγοράζων r. 11) ἡμὶν om. r., ἅλας ἔφ. ἡ. ἀ. ν. E. 14) //G e n.[b.] sine lemm. — ταῦτα] add. Gen.[b.] In p. eadem vox hinc adhaeret scholio *Ἀγοράσδω* Vs. 4., ut intellexit Adertus. 16) δραγμῶν p. — ὠνήσατο pro ἠγ. M. 16) πόκας Gen.[b.], πόδας p. M. — 20) δὴ] Duebn., δὴν cod. — πρόαν cod. 25) μακρὸς] μυρὸς 6.

ρακότων προβάτων. — Πέντε πόκους ἔλαβεν ἐχθές, ἅπαν ῥύπος. ἔργον ἐπ' ἔργῳ: οὐκ ἔρια, ἀλλ' ἔργον ἐπὶ ἔργῳ διὰ τὸ δὶς αὐτὰ πλύνεσθαι. κυνάδας δὲ οἷον κύνεια, τραχέα. — (Κυνάδας: τὰς κουράς. Gregor. 133.)

Vs. 21.

Vet. Ἀλλ' ἴθι τὠμπέχονον: τὸ περιβόλαιον, τὸ ἱμάτιον. — Καὶ τὰν περονατρίδαν: τὸ διπλοῦν ἔνδυμα, ὅπερ *** πρῶτον ὑπεζώννυντο. εἴρηται δὲ ἀπὸ τοῦ περονᾶσθαι καὶ κατὰ τὰς ἐπωμίδας συμβάλλεσθαι, ὡς αἱ Μακεδονίτιδες. *Rec.* (Περονατρὶς πέπλον ἐστὶν ἐπάνω τῶν ἐνδυμάτων περιβαλλόμενον, ὅπερ νῦν μανδύον φασίν, ὅπερ οὐ ζώννυνται, ἀλλὰ διὰ περόνης κατὰ τὸ στῆθος συνδοῦσιν. r. E. N.)

Vs. 22. 23.

Vet. Βᾶμες τῶ βασιλῆος ἐς ἀφνειῶ: εἰς τὰ βασίλεια πορευθῶμεν τοῦ ἀφνειοῦ καὶ πλουσίου Πτολεμαίου, θεασόμεναι τὸν Ἄδωνιν.

19) [Ἑπταδράχμως:] ἤγουν ἑπτὰ δραχμῶν. E. δούς. L. — [Κυνάδας:] ἤγουν τραχεῖς. E. N. κυνείας τρίχας. M. — Γεγηρακυιῶν οἴων. E. N. — Ἀποκαθάρματα. E. N. ἀποκόμματα. M. — Τυφλῶν ὑπὸ τοῦ γήρως. E. τυφλῶν οἴων. M.

20) Τὰ κοινῶς ποκάρια. M. — Ἀντὶ τοῦ ἠγόρασε. E. N. — Τὸ ὅλον. E. N. ἅπαντα κατὰ ἀποκοπήν. M. — Ἤγουν δὶς καὶ τρὶς δεόμενα καθαρθῆναι. r. E. N.

21) Εἶα. E. — [Περονατρίδα:] τὸ μανδύον. E. — Λάβε. E. M.

23) [Θασόμεθα:] θεασόμεθα κατὰ ἀποκοπήν. E. — [Χρῆμα:] τὴν εἰκόνα τοῦ Ἀδώνιδος. M.

24) [Ἐν ὀλβίῳ:] τῇ εὐδαίμονι. E. ἤγουν τῷ εὐτυχεῖ πάντα εὐτυχῆ εἰσίν, ὡς καὶ σοὶ τοιαῦτα ἰδούσῃ. M.

---

1) //Gen.[b] sine lemm. 2) οὗ et ἐπ' ἔργον Gen.[b] 3) αὐτὸ ante Reisk. 3) πληθύνεσθαι ante Heins. 3) κυνάδας] Gen.[b] ut Reisk. seqq., κυνάδες vulg. 6) //Om. Gen.[b] 7) //Gen.[b] c. lemm. περονατρίδα λάζευ ante schol. ἀγοράσδω pag. 387. 4. 7) διπλοῦν] πλέον Gen.[b], τὸ πέπλον καὶ vulg., ἡ περονατρὶς ἔνδυμά τι ἦν M. 8) πρότερον M. — Pro ὑπεζ. in Gen.[b] lacuna. 9) καὶ κατὰ τὰς ἐπωμίδας συμβ.] p. M. Gen.[b] (sed ἐπω sequente lacuna pro reliqua voce Gen.[b]), καὶ τῆς ἐπωμίδος ἐπιλαμβάνεσθαι vulg. 9) ὃ Μακεδονίτιδας p., ὡς Μακεδονίτιδος Gen.[b], ᾧ ἐχρῶντο αἱ Μακ. supra ante ὅπερ M. 10) Hoc schol. etiam H. Stephanus in codice aliquo legit, cf. Thes. s. v. περονητρίς. — πέπλον om. r. 11) ὥπερ r. 12) συνδύουσιν r. 14) //Gen.[b] sic: τῶ βασιλῆος: ἀντὶ τοῦ ἐς πλουσίου τὰ βασ. πορ. τοῦ Πτ. reliquis omissis. — 22) εἰ δὶς καὶ τρὶς λουόμενα καθάρηται r. 28) σοὶ] Gail., σὺ cod.

Vs. 25.

Vet. Ὧν εἶδες χ' ὧν εἶπας: ἀντὶ τοῦ ἐξ ὧν εἶδες καὶ ἐξ ὧν ἐθεάσω, ἐκ τούτων διηγήσαιο ἂν τῷ μὴ θεασαμένῳ.

Vs. 26.

Rec. (Ὥρα ἂν εἴη, φησί, πορεύεσθαι, ἤγουν καιρός ἐστι πορευθῆναι ἡμᾶς. τοῖς ἀργοῖς γὰρ ἀεὶ ἑορτή ἐστιν, ἤτοι οἱ ἀργοὶ καθήμενοι πρὸς τὰς ἑορτὰς ἀεὶ πορεύονται. M.)

Vs. 27—29.

Vet. Εὐνόα, αἶρε τὸ νᾶμα: ἡ Πραξινόα φησὶ πρὸς τὴν δούλην ἐν ἤθει· ὦ Εὐνόα, ἄρασα τὸ νᾶμα (ὡς καὶ πρώην M. Gen.[b.]) εἰς μέσον θὲς αὐτό. θέλει δ' εἰπεῖν, μὴ ἀμελῶς εἰς τὸ μέσον αὐτὸ θήσεις.

Rec. (Τοῦ αὐτοῦ Τρικλινίου. Παροιμιωδῶς τοῦτό φησι. καὶ γὰρ αἱ γαλαῖ μαλακῶς χρήζουσι καθεύδειν καὶ ἀναπαύεσθαι, καὶ μὴ εὑρίσκουσαι τοῦτο κινοῦνται καὶ τὰ πρὸς ζωὴν πορίζονται. κινοῦ δὴ καὶ σὺ Εὐνόα, καὶ μὴ ἀεὶ μαλακῶς θέλε καθῆσθαι. M.)

25) [Ὧν:] ἀφ' ὧν. E. — [Ὧν:] καὶ ἀφ' ὧν. M. — [Ἰδόντι:] λέγεις δηλονότι. L.

26) [Ἑορτά:] πάρεστι, ἀλλὰ παρέρχεται δηλονότι. E.

27) Λάβε. E. — [Νᾶμα:] τὸ ὕδωρ. E. M. — [Αἰνόθρυπτε:] κενόδοξε ἐπὶ κακοῖς. M. N.[6.]

28) [Γαλεαί:] ἰχθύες. M. — Ἐπὶ τῶν ἀδίκων καὶ μηδὲν ἀνιέντων ἡ παροιμία λέγεται γαλῇ χιτών. *r. — Φησὶ δὲ ὅτι, ὥσπερ αἱ γαλαῖ μαλακαί, οὕτω καὶ σὺ εἶ μαλακή. *r. alia manu.

29) Ἐλθέ. 6. M. κινοῦ πρὸς τὸ ἔργον. E. — Ταχέως. M.

30) [Αἴδ' ἐς:] συνίζησις. M. ἴδε εἰς ποιὸν ἀγγεῖον βαλοῦσα τὸ ὕδωρ φέρει ἐμοί. *r. E. M. N. — [Νᾶμα:] τὶ ἄγγος 6., τι a. — [Φέρει:] εἰς τὶ ἀγγεῖον. r.

31) Καταβρέχεις. E. N. βρέχεις. M.

---

2) //Gen.[b.] c. lemm. ὢν ἴδες ὢν εἶπας. 2) εἶδες] M., ἴδες Gen.[b.], εἶπες vulg. 9) //Gen.[b.] c. lemm. αἶρε τὸ ν. post schol. Αἰγυπτιστὶ Vs. 48. 10) ὕδωρ pro νᾶμα M. 11) ἐς μέσον αὐτὸ θὲς M. Gen.[b.] 11) δ'] add. Gen.[b.] 14) γαλαὶ] Bast., γαλαῖαι cod., γαλέαι Gail. 16) σὺ ὦ M.[2.] 17) καθῆσθαι] Bast., καθεῖσθαι cod. — 23) Secundum Suidam sub γαλῇ χ. 27) ποιὸν] πότον M.[5.], ποῖον rell. — βάλλουσα N.[6.] Gl. in r. rubro scripta. 28) τὶ ἄγγος] 6.[1.], ἄγγος τι 6. ap. Ziegl. 29) τὶ] τὸ r.

Vs. 32. 33.

Vet. *Παῦσαι· ὁποῖα θεοῖς:* ἀντὶ τοῦ εἴτε καλῶς εἴτε κακῶς. *κλὰξ* δὲ ἡ κλεὶς Δωρικῶς.

Vs. 34.

Vet. *Μάλα τοι τὸ καταπτυχές:* τὸ δίπτυχον ἐμπερόνημα καὶ διπλοῦν. λέγει δὲ τὴν διπλοΐδα (ἀπὸ τοῦ περιπτύσσεσθαι καὶ οἷον διπλοῦσθαι M.), ἣν Ὅμηρός φησι

δίπλακα μαρμαρέην.

Vs. 35.

Vet. *Πόσσω κατέβα τοι ἀφ' ἱστῶ:* ἢ διὰ πόσης ἐξόδου κέκοπταί σοι ἀπὸ τοῦ ἱστοῦ· ἢ διὰ πόσου σοι χρόνου ἀπὸ τοῦ ἱστοῦ καθῃρέθη, [καὶ] οἷον ἐξυφάνθη (καὶ ἐτμήθη τοῦ ἱστοῦ. M.)

Vs. 36. 37.

Vet. *Πλέον ἀργυρίω καθαρῶ μνᾶς:* πλέον ἠνάλωσα, φησίν, ἢ δυοῖν μνῶν καθαροῦ ἀργυρίου.

Vs. 38.

Vet. *Ναὶ καλὸν εἶπας:* τοῦτο ἀληθὲς εἶπας, λέγει ἡ Πραξινόα, ὅτι κατὰ γνώμην μοι ἐξυφάνθη.

33) Τοῦ κιβωτίου. M.

34) Τὸ διπλοῦν ἔνδυμα. M. τὸ δεδιπλωμένον. E. N.

35) Πόσου τιμήματος. M. διὰ πόσου ἀργυρίου. E. N. — Ἦλθε. M. ἐξωνήθη. E. N. — Πόσου ἀργυρίου ἐξωνήθη ἀπὸ τοῦ ἱστοῦ. r.

36) Ἀναμνήσῃς ἐμέ. E. N. ἐξετάσῃς, μνησθῇς. M. — [*Μνᾶν*:] λίτραν. M.

37) Τοῖς τεχνίταις· ἀπὸ τοῦ ποιηθέντος τὸ ποιῆσαν. M. — Προέδωκα. E. M.

38) Ἤγουν ὡς ἐβούλου. E. M. — Ἐγένετο. M.

---

2) //Om. Gen.[b] 5) //Gen.[b] hoc initio: *καταπτυχές:* τὸ διπλ. κ. διπτ. ἐμπ. et M., ubi *κατ. ἐμπερόναμα:* λέγει τὴν διπλοΐδα M. mediis omissis, λ. δὲ ἂν τὴν Gen.[b] 8) *Hom. Il.* Γ, 126. 10) //Gen.[b] c. lemm. *ἀφιστῶ.* — ἢ] M. Gen.[b], ἤγουν vulg. 11) πόσον ante Reisk. 11) χρόνου] add. M. 12) οἷον Gen.[b], om. Reisk. seqq. 15) //Om. Gen.[b] Contra schol. extat in r. — ἠνάλωσε ante Heins. 16) μνῶν] conj. Wart., μνᾶν r. vulg. 18) //Gen.[b] ante schol. *κεκροτημένοι* Vs. 48 hoc initio: *εἶπας:* ἡ Πρ. φησίν, ὅτι τοῦτό με ἀλ. εἶπας, ὅτι.

Vs. 39. 40.

Vet. Εἶτα ἀντιστρέφει τὸν λόγον πρὸς τὴν θεράπαιναν καί φησι· φέρε μοι τὸ ἀμπέχονον καὶ τὴν θολίαν, ἤγουν τὸ σκιάδιον, τὸν πέτασον εὐκόσμως ἐπίθες. εἴρηται δὲ ἀπὸ τοῦ θόλῳ ἐοικέναι. οἱ δὲ Ἀττικοὶ τὸ σκιάδιον σκίρον καλοῦσι (Δωριεῖς δὲ θολίαν M.). — Οὐκ ἀξῶ τυ τέκνον: ἀπέστρεψε πάλιν τὸν λόγον πρὸς τὸ παιδίον τὸ κλαῖον καί φησιν· οὐκ ἄξω σε τέκνον μετ' ἐμοῦ, ὅτι ἡ Μορμὼ [ἵππος] δάκνει. εἰς κατάπληξιν γὰρ τοῦτο ἔταττον, ὅθεν καὶ τὰ προσωπεῖα μορμολυκεῖα ἔλεγον. — (⟨Μορμὼ δάκνει⟩ ἵππος: Gen.[b] Μορμώ *** Λάμια, βασίλισσα Λαιστρυγόνων, ἡ καὶ Γελὼ λεγομένη, δυστυχοῦσα περὶ τὰ ἑαυτῆς τέκνα ὡς ἀποθνήσκοντα ἤθελε καὶ τὰ λειπόμενα φονεύειν. p. M. Gen.[b])

Vs. 46—50.

Vet. Πολλά τοι ὦ Πτολεμαῖε: τὸν Φιλάδελφον λέγει· ἐποιήθησαν καλὰ ἔργα. — Ἐξ ὢ ἐν ἀθανάτοις ὁ τεκών: ἀφ' οὗ ὁ πατήρ σου ἀπεθεώθη, ὁ Σωτὴρ Πτολεμαῖος, ὃς ἦν πατὴρ τοῦ Φιλαδέλφου. — Δαλεῖται δὲ ἀντὶ

39) Ἱμάτιον, ἔνδυμα. M. — Τὸ σκιάδιον. r.

40) Κομίσω μετ' ἐμοῦ. M. — [Μορμώ:] ἐστὶν ἐν ὁδῷ. r. ἤγουν φεῦ. M.

41) [Χωλόν:] κρουσθὲν ὑπὸ ἵππου. M. ὑπὸ τοῦ κλαυθμοῦ. r. E. N.

42) Ἀπερχώμεθα. E. N. πορευσόμεθα. M. — Δούλη ἐκ Φρυγίας. M.

43) Τὴν τῆς αὐλῆς θύραν. r. E. N. τὴν αὐλὴν ἢ τὴν πύλην. M. — Κλεῖσον. M.

44) Τῆς ὁδοῦ ἀψαμένη τοῦτο λέγει. M. — Διελθεῖν. M.

45) [Κακόν:] ἤγουν τὸ πλῆθος τῶν ἀνδρῶν. M. — [Μύρμακες:] ὥσπερ. 6.

---

2) //Gen.[b], ubi prima usque ad θεράπ. praecedenti scholio adhaerent, tum omissis καί φησι ... ἤγουν sequentia cum lemm. θολίαν suo loco leguntur. — ἀναστρέφει M. 4) σκιάδειον bis Gaisf. Post πέτασον in Gen.[b] inseruntur ἀντὶ τοῦ καὶ τὸ σκιάδειον. 4) εἴρηται ... ἐοικ. om. Gen.[b] 5) σκιάδειον Gen.[b] — σκίρον] Hemsterh. ap. Valcken. ad Adon. p. 343. B., σκίρρον Gen.[b] vulg. 6) //Gen.[b] c. lemm. τέκνον. 7) πάλιν] add. Gen.[b] 7) τὸν παιδ. κλ. Gen.[b] 7) οὐκ ἄξω ... ὅτι ἡ om. p. M. Gen.[b] 8) δάκνει ἵππος p. M. Gen.[b] 9) κατάληξιν Gen.[b] — γὰρ] add. p. M. Gen.[b] 9) ἔταττον] p. M. Gen.[b], ἔλεγον vulg. 9) μορμολυκεῖα] μορμολύκια ante Heins., μορμολύκεια vulg. 11) Μορμὼ δὲ M. — Λάμια] Λάμεια p. M., Λάμιας Gen.[b] 15) //Gen.[b] omissis ἐπ. καλὰ ἔργα. 16) //Gen.[b], ubi ἐξ οὗ. 17) ἀφ' οὗ] Gen.[b], ἐξ οὗ vulg. 18) τοῦ om. Gen.[b] 18) //Om. Gen.[b] — δὲ om. Ox. seqq.

τοῦ βλάπτει. *Παρέρπων*: παρασυρόμενος. — *Αἰγυπτιστί*: τὸ πᾶν· πρὸς τοῖς ἄλλοις σου καλοῖς ἔργοις καὶ τοῦτο. οὐκέτι γὰρ κακοῦργός τις λυμαίνεται τὸν παριόντα ἐξαπατήσας Αἰγυπτιστί. ἠπάτων γὰρ πολυπείρως παίζοντες κακὰ παίγνια **** ⟨*Αἰγυπτιστί*:⟩ παραλογισμοῖς Αἰγυπτιακοῖς. ἀπατηλοὶ γὰρ οἱ Αἰγύπτιοι, (ὡς λέγει ὁ Αἰσχύλος·

Δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι.

p. M. Gen.[b]) — *Κεκροτημένοι* δὲ ἀντὶ τοῦ ἐρραπισμένοι, ἐθάδες πανούργων ἔργων. ἡ δὲ μεταφορὰ ἀπὸ τοῦ κεκροτημένου χαλκοῦ. (καὶ Σοφοκλῆς

πάνσοφον κρότημα, Λαέρτου γόνος.

p. M. Can. Gen.[b] et cod. Valck.)

Vs. 51—54.

Vet. *Ἡδίστα Γοργοῖ, τί γενοίμεθα*: (ἀντὶ τοῦ Gen.) ὦ γλυκεῖά μοι Γοργώ, τί ἄρα ἡμῖν ἔσται; εὐλαβοῦνται γὰρ θεασάμεναι τοὺς πολεμικοὺς ἵππους πομπεύοντας. — (*Φίλε*:

47) [*Ἐξ ὧν*:] ἔργων. 6. — Τουτέστιν ἀείμνηστος ἔσται. E. N.

48) Τὸν παροδίτην. 6. τὸν διερχόμενον. E. N. — Βαδίζων, παρεπόμενος αὐτῷ. M. — Κατὰ τὸ Αἰγύπτου ἔθος. r. κατὰ τὴν Αἴγυπτον. E. N. εἰς τὴν Αἴγυπτον, ἢ μετὰ μηχανῆς τινος. M. κεκρυμμένως, ἀπατηλῶς. 6.

49) Ἤγουν ἠπατημένοι ἢ ἀπατῶντες ἑτέρους. E. — [*Κεκροτημένοι*:] ᾀδόμενοι. M. — [*Ἔπαισδον*:] κακὰ παίγνια. r.

50) Ἤγουν πρὸς ἀλλήλους ἐξισάζοντες. E. N. συμφωνοῦντες ἐν τῷ παίζειν. r. E. N. ἴσοι τῷ κακοεργεῖν. 6. — [*Ἐριοί*:] εἰς μίαν βουλὴν ὄντες. r. M. σκοτεινοί, σύμφωνοι. 6. [*ἐρειοί*:] μεγαλοπρεπεῖς, ἔνδοξοι. r. E. N.

51) [*Πτολεμισταί*:] οἱ τοῦ Πτολεμαίου. E.

52) Εἰσὶν οὗτοι. M. παραθέουσιν. E.

53) Ἄνω τοὺς πόδας ἐξῆρεν. M. — [*Πυρρός*:] ἵππος. r. ὁ ξανθὸς ἵππος. M. — Θράσος κυνὸς ἔχων. E. λεπτός, θαρραλέος. M.

---

1) //Gen.[b], ubi *Αἰγ.* δὲ sine τὸ πᾶν. Vulgo *Αἰγυπτιστὶ* cum praec. conjunctum. 2) πρὸς] Gen.[b], σὺν vulg. — ἄλλοις om. Gen.[b], ubi σοῦ post ἔργοις. 4) ἐπὶ πάντα pro ἠπάτων p. M. Gen.[b] 4) κακὸν παιγνίον Gen.[b], κακὸν παιδίον p., om. M. 5) παρὰ λογ. Gen.[b], περὶ λογ. p. 5) *Αἰγύπτιοι χρῶνται* pro *Αἰγυπτιακοῖς* M. 6) οἱ] Gen.[b], καὶ vulg., om. M. 6) ὡς καὶ Αἰσχ. M., ὁ om. Gen.[b] 7) *Aesch. fr.* 362. *W.* — τὸ μηχ. Gen.[b] 8) //p. M. Can. Gen.[b] et cod. Valcken. sine δέ, Gen.[b] c. lemm. ἄνδρες. 8) ἀντὶ τοῦ ἐρραπ.] p. M. Can. Gen.[b] et cod. Valck., διαρραπ. vulg., διερραπ. Reisk. seqq. 9) ἐθάδεις ante Heins. 9) ἤργων Gen.[b] 9) τοῦ κεκροτημένου χαλκοῦ] p. M. Can. Gen.[b] et cod. Valck., τῶν κεκεντρωμένων χαλκῶν vulg. 11) *Soph. fr.* 823. *W.* 14) //Gen.[b] c. lemm. *Γοργοῖ*. — 19) αὐτοῦ cod. 26) μεγαλοπρεπέστερον δόξοι r. 31) θαρραλαῖος cod.

τοῦτο πρός τινα τῶν ἐπιβεβηκότων τοῖς ἵπποις φησὶν ἐν τῷ πλήθει. *M. Gen.[b.]) — (*Κυνοθαρσής*: ἀναιδής. Hesych.) — *Διαχρησεῖται τὸν ἄγοντα*: διαφθερεῖ τὸν ἱπποκόμον, ἢ τὸν ἡνίοχον.

Vs. 57. 58.

Vet. *Τοὶ δ' ἔβαν ἐς χῶραν*: οἱ δὲ ἵπποι κεχωρήκασιν εἰς ὃν ἔδει τόπον. τὸ δὲ *καὐτὰ συναγείρομαι* ἀντὶ τοῦ ἀνακτῶμαι καὶ ἑαυτὴν ἀπὸ τῆς ταραχῆς (καὶ τοῦ φόβου M.). — *Καὶ τὸν ψυχρὸν ὄφιν*: ἤγουν τὸν ψυχροποιόν.

Vs. 60—62.

Vet. *Ἐξ αὐλᾶς ὦ μᾶτερ*: [— ἔν τισι γράφεται καὶ *ἐξ αὐλᾶς ὦ μᾶτερ*. —] ἡ Γοργώ φησι πρὸς γραῦν τινα· λέγε ἡμῖν ὦ μῆτερ, εὐμαρὲς εἰσελθεῖν; ἡ δέ φησι· πειράθητε καὶ εἰσελεύσεσθε εἰς τὴν τῶν βασιλείων αὐλήν. — (*Ὦ μήτηρ*: ἡ Γοργώ φησι πρός τινα πρεσβῦτιν ὡς ἐκ τῆς αὐλῆς καὶ τῶν βασιλείων ἐρχομένην· ἆρα ὦ μῆτερ ἔστιν ἡμῖν εὐκόλως εἰσελθεῖν; ἡ δέ φησι· πειράθητε καὶ εἰσελεύσεσθε.

54) [*Οὐ φευξῇ*:] μὴ συμπατηθῇς ὑπὸ τοῦ ἵππου. E. N. — *Φονεύσει*. E. N. — [*Τὸν ἄγοντα*:] ὄντως ἀναβάτην. r.

57) *Εἰς τὴν τάξιν αὐτῶν*. r. E. N. — *Καὶ ἐγὼ συνάγω εἰς ἐμαυτὴν τὸν νοῦν*. E. καὶ ἐγὼ διὰ ταῦτα εἰσῆλθον εἰς τὴν ἐμὴν τὸ μου (?) r. φέρω τὸν νοῦν μου εἰς ἐμαυτήν. M.

58) [*Ψυχρόν*:] ἰοβόλον. r. E. N. ψυχρότητος γὰρ ποιητικὸς ὁ ἰὸς τοῦ ὄφεως. E. N.

59) *Ἐκ παιδικῆς ἡλικίας*. E. N. — *Ἐπέρχεται*. M. δίκην ῥευμάτων συχνὸς ἐπέρχεται. E. δίκην ῥευμάτων ἐπιχεῖται. N.

60) [*Ὦ μᾶτερ*:] ἔξελθε δηλονότι. E. — [*Ἐγών*:] ἐξῆλθον δηλονότι. E. — *Εἴσω ἐλθεῖν*. M. διὰ τοσούτου πλήθους. E.

61) *Εὐχερές*. E.

62) [*Παίδων*:] ἀπὸ τῶν ἐμῶν. E. — *Δή*, γάρ. M. — *Κατορθοῦται*. E. πληροῦται. M.

---

1) φ. ἐν τ. πλ. om. M. 3) //Gen.[b.] c. lemm. *τὸν ἄγοντα*. 3) διαφέρει Gen.[b.], διαφθείρει ante Reisk. 4) ἡνίοχον ante Brub., ἡνίοχος Gen.[b.] 6) //Gen.[b.] c. lemm. *εἰς χώραν* sine δέ. 7) κατασυναγείρομαι ante Reisk. 8) καί] add. Gen.[b.] — ἑαυτὴν] Gen.[b.] et ante Brub., ἐμαυτὴν vulg. 8) Verba καὶ τοῦ φ. quum apud Gaisf. codici B. (i. e. P.) adscripta essent, haud dubie sphalmate, Gailius sigla M. P. apposuit. 9) //Gen.[b.] sic: *ψυχρὸν δὲ ὄ*. φησὶ τ. ψ. 11) //Om. Gen.[b.] 15) καὶ ἐκ τῶν Gen.[b.] 16) ἐρχομένην] Bast., ἐρχομένων Gen.[b.], ἐρχομένων ἐρχομένην M. 16) ἆρα δέ ἐστιν Gen.[b.] 17) ἐν τῇ αὐλῇ post εἰσελθεῖν add. M. — 19) „Glossator τοι legisse videtur.“ Wart. 20) κατὰ pro εἰς E. 22) ἐμαυτὸν cod. 23) οἰοβόλον r. 23) ψυχρότατος et ποιητικῶς M.

M. Gen.b καὶ Ἀχαιοὶ γὰρ πειρώμενοι εἰσῆλθον εἰς Τροίαν· τῇ πείρᾳ γὰρ δὴ πάντα τελεῖται. M.)

Vs. 63.

Vet. Χρησμῶς ἁ πρεσβῦτις: ἡ Γοργώ φησιν, ὅτι χρησμοὺς ἀποφοιβάσασα ἡ γραῦς ἀπῆλθε.

Vs. 64.

Vet. Πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἠγάγεθ' Ἥρην: φησὶν ὅτι τὰ πάντα αἱ γυναῖκες γινώσκουσι, καὶ ὅπως ὁ Ζεὺς λάθρᾳ τῇ Ἥρᾳ συνῆλθε. καὶ Ὅμηρος·

εἰς εὐνὴν φοιτῶντε φίλους λήθοντε τοκῆας.

Ἀριστοτέλης δὲ ἐν τῷ περὶ Ἑρμιόνης ἱερῶν ἰδιώτερον ἱστορεῖ περὶ τοῦ Διὸς καὶ [τῆς] Ἥρας γάμου. [ἱστορία.] τὸν γὰρ Δία μυθολογεῖ ἐπιβουλεύειν τῇ Ἥρᾳ μιγῆναι, ὅτε αὐτὴν ἴδοι χωρισθεῖσαν ἀπὸ τῶν ἄλλων θεῶν. βουλόμενον δὲ ἀφανῆ γενέσθαι καὶ μὴ ὀφθῆναι ὑπ' αὐτῆς, τὴν ὄψιν μεταβάλλειν εἰς κόκκυγα καὶ καθίσαι εἰς ὄρος, ὃ προτοῦ μὲν Θόρναξ ἐκαλεῖτο, νῦν δὲ Κόκκυξ. καὶ χειμῶνα ποιῆσαι δεινὸν τῇ ἡμέρᾳ ἐκείνῃ· τὴν δὲ Ἥραν (τότε M.) πορευομένην μόνην ἀφικέ-

63) Μαντείας ἢ αἰνίγματα. M. θείους λόγους. E. — Μαντευσαμένη, εἰποῦσα. M. θείως εἰποῦσα. r. N. ἀληθῶς ἔλεξεν. r.

64) Ἴσασι τὸν μῦθον, δι' οὗ Ζεὺς ἐμίγη τῇ Ἥρᾳ. ἱστορία. *r. — Θρόναξ, Κόκκυξ. r. — Ὅτι. E. πῶς. M. — Ἔλαβε γυναῖκα. M.

---

4) //Gen.b c. lemm. ἁ πρεσβῦτις. 7) //Gen.b c. lemm. ἠγάγεθ' Ἥρην addito ἱστορία. 8) ἴσασι φησὶν αἱ γυναῖκες πῶς mediis omissis M., τὰ πάντα ... ὅπως om. Gen.b 9) ὅπως] πῶς M., ὅτι vulg. — συνῆλθε λ. τῇ Ἥ. ὁ Ζ. M. 10) *Hom. Il.* Ξ, 296. — λήθοντε] apud Hom., ἐλήθοντο Gen.b, λήλοντο M., ἐλάθοντο vulg. 11) ἱερῶν] Hemsterh. et Toup., ἱερῷ Gen.b vulg. 11) ἰδιώτερον] M. Gen.b vulg., ἢ διατριβῇ p. 11) ἱστορεῖ] hoc loco p. M. Gen.b, supra post Ἀρ. δὲ vulg. 12) γάμου Διός τε καὶ Ἥρας M., τοῖς pro τῆς Gen.b 12) ἱστορία] M. et ante Heins., om. vulg. — Τὸν Δία μυθολογοῦσιν seqq. extant in Eudociae Viol. p. 202. cum inscr. περὶ τοῦ γάμου τοῦ Διὸς καὶ τῆς Ἥρας. 13) μιγῆναι] p. M. Can. Gen.b Call. Eud., ut conj. Hemsterh. ad Luc. I p. 268, μιγυῆναι Bas. II, μιγνῦναι Brub. vulg. 13) ὅτε αὐτὴν om. Gen.b, ὅτι M. 14) ἀπὸ om. M. 14) βουλόμενον — ἀφανῆ — μεταβάλλειν — καθίσαι] M., βουλόμενος — ἀφανὴς — μεταβάλλει — καθέζεται vulg. 15) μεταβ. ἑαυτὸν omisso τὴν ὄψιν M. 16) προτοῦ] πρῶτον vulg., πρῶτα Gen.b, ποτὲ M. 16) Θόρναξ] Hemsterh., Θρόναξ vulg. 17) ὕστερον pro νῦν Eudoc. 17) καὶ] M., τὸν δὲ Δία vulg. — δεινὸν ποιῆσαι κατὰ τὴν ἡμέραν ἐκείνην M. 18) μόνην om. Eudoc.

σθαι πρὸς τὸ ὄρος καὶ καθέζεσθαι ἐπ' αὐτό, ὅπου νῦν ἐστιν ἱερὸν Ἥρας τελείας. τὸν δὲ κόκκυγα ἰδόντα καταπετασθῆναι καὶ καθεσθῆναι ἐπὶ τὰ γόνατα αὐτῆς, πεφρικότα καὶ ῥιγῶντα διὰ τὸν χειμῶνα. τὴν δὲ Ἥραν ἰδοῦσαν αὐτὸν οἰκτεῖραι καὶ περιβαλεῖν τῇ ἀμπεχόνῃ. τὸν δὲ Δία εὐθέως μεταβαλεῖν τὴν ὄψιν καὶ ἐπιλαβέσθαι τῆς Ἥρας. τῆς δὲ τὴν μίξιν παραιτουμένης διὰ τὴν μητέρα, αὐτὸν ὑποσχέσθαι γυναῖκα ταύτην ποιήσασθαι. καὶ παρ' Ἀργείοις δέ, οἳ μέγιστα τῶν Ἑλλήνων τιμῶσι τὴν θεόν, τὸ ἄγαλμα τῆς Ἥρας ἐν τῷ ναῷ καθήμενον ἐν θρόνῳ τῇ χειρὶ ἔχει σκῆπτρον, καὶ ἐπ' αὐτῷ [τῷ σκήπτρῳ] κόκκυξ (ἐπικάθηται M.).

Vs. 66—68.

Vel. *Λάβε καὶ τὺ Εὐνόα Εὐτυχίδος*: *εἰκὸς τὴν Εὐτυχίδα Γοργοῦς εἶναι θεράπαιναν.* — *Ἀπρὶξ ἔχευ Εὐνόα*: *ἀντὶ τοῦ ἐμπεφυκότως, ὥστε μὴ διαπρῖσαι τὴν συμφυΐαν.*

65) *Πλῆθος λαοῦ.* E. N.

66) *Μέγας, πολύς.* E. N. — [*Λάβε*:] *σὺ τὴν ἐμὴν δηλονότι.* E.

67) *Ἑτέρας δούλης.* M. *ὄνομα δούλης.* E. — *Πρόσεχε.* M. *προσέχου.* N. *προσεκτικῶς ἔχου.* E. — [*Πλανηθῇς*:] *ἐξ ἡμῶν.* E. *ἀφ' ἡμῶν.* N.

68) [*Ἀπρίξ*:] *διόλου ἀλλήλας κατέχουσαι.* r. E. N.

69) *Εἰς δύο.* E. M. N. — *Λεπτὸν ἱμάτιον.* r. E. *ἔνδυμα θερινὸν λεπτόν.* M.

70) [*Εἴ τι*:] *ὅπως.* M.

71) *Τὸ ἱμάτιόν μου.* E. *τὸ ἔνδυμά μου.* M.

72) *Οὐκ ἐπ' ἐμοί ἐστι τοῦτο.* M. *τουτέστιν οὐκ ἐξ αἰτίας ἐμοῦ ἔσχισται τὸ ἱμάτιόν σου.* E. — [*Ἀθρόος*:] *ὁμοῦ.* M.

---

1) *ἐπ' αὐτῷ* Gen.[b.], *καθίσαι αὐτὴν ἐν τῷ τόπῳ, ἐν ᾧ νῦν* M., *ὅπου καὶ ἱερὸν μετέπειτα αὐτῆς ἵδρυτο, Τελέας Ἥρας ἐπονομασθὲν* Eudoc. 2) *ἰδόντα*] add. M. Gen.[b.], deinceps *προσδραμεῖν καὶ καθίσαι ἐπὶ τοῖς γόνασιν* M. 3) *τὰ*] Gen.[b.] vulg., om. Reisk. seqq. 3) *πεφρ. κ. ῥιγ. δ. τ. χ.*] hoc loco M. Gen.[b.] (sed *ῥηγ.* Gen.[b.], *τῇ τοῦ χειμῶνος σφοδρότητι* M.), *ῥιγ. κ. πεφρ. δ. τ. χ.* supra post *κόκκυγα* vulg. 4) *δὲ* om. Gen.[b.], *Ἥρην* M. 4) *αὐτὸν* potius post *περιβαλεῖν* M. 5) *τὸν δὲ εὐθὺς μεταβαλλόμενον ἀπὸ τῆς τοῦ ὀρνέου μορφῆς ἐπιλ. αὐτῆς* M. 6) *τὴν δὲ τὴν μ. παραιτουμένην* Gen.[b.], *τὴν* ante *μίξιν* om. Kiessl. 7) *μητέρα αὐτῶν Ῥέαν* Eudoc. 7) *αὐτὴν* Gen.[b.] — *ὑποδέχεσθαι* Can. Gen.[b.] Vulc. 8) *ποιῆσαι* M. 8) *οἳ μέγιστα*] *οἳ μέγιστον* vel *μάλιστα* Hemsterh., *οἱ μέγιστοι* vulg. 9) *ἐτίμων* Eudoc. 9) *τὸ ἄγ.*] Hemsterh., *τὸ δὲ ἄγ.* vulg. 9) *ἄγαλμα ταύτης ἐν θρ. καθ. σκῆπτρον φέρει ἐν τῇ χειρὶ* M., *ἐν τῷ θρόνῳ* Gen.[b.] 10) *εἶχε* Eudoc. 11) *τῷ* om. Gen.[b.], *ἐν δὲ τῷ σκ.* M. 13) //Gen.[b.] c. lemm. *ποτέ.* 14) //Gen.[b.] c. lemm. *ἔχευ*, ubi *ἐμπεφυότως.* 15) *διαπρῖσαι*] *διαπρίσαι* (Gen.[b.]) Kiessl. auctore Stephano in Thes., *διαπρῆσαι* vulg.

Vs. 74.

Vet. Κεὶς ὥρας κἤπειτα: ἀντὶ τοῦ καὶ εἰς ὥρας καὶ εἰσαεὶ ἐν καλῷ εἴης περιστέλλων καὶ ἐπιμελούμενος ἡμῶν.

Vs. 76. 77.

Vet. Ἄγ' ὦ δειλὰ τὺ βιάξευ: ἄγε ὦ δειλαία βιάζου καὶ σύ, καὶ ὦθει ὥστε σε εἰσελθεῖν. ἔπειτα εἰσελθούσης αὐτῆς φησί· κάλλιστ', ἐνδοῖ πᾶσαι, (ἤγουν καλῶς ἔχει, ὅτι πᾶσαι ἔνδον ἐγενόμεθα. M.) ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας, ὡς παροιμίας οὔσης. ἀποκλείσας ⟨γὰρ⟩ τὴν νύμφην τις „καλῶς τά γε ἔνδον ἡμῖν ἔχει" φησί· διὸ καὶ ἡ Γοργὼ οὕτως ἐπεφώνησεν.

Rec. (Παροιμία ἐστίν. εἴρηται δὲ ἀπό τινος νυμφίου λαβόντος τὴν νύμφην καὶ εἰσελθόντος εἰς τὸν θάλαμον καὶ κλείσαντος αὐτόν. τοῦτο γὰρ ποιήσας τοῖς ἐκτὸς ἔφη· κάλλιστα ἡμῖν πάντα. r. E. N.)

Vs. 79.

Vet. (⟨Θεῶν περονάματα:⟩ ἢ ἔργα θεῶν, ἢ φορεῖσθαι ὑπὸ θεῶν ἄξια. M. Gen.[b.])

73) Φέρονται. M. — [Ῥύες:] ῥύακες. *r. E. M. N. κατὰ ἀποκοπήν. *r. E. N. ἀπὸ τοῦ ῥέω. *r. — Ἐν ἀδείᾳ ἐσμέν. r. N.
74) [Κεὶς ὥρας:] τὰς νῦν. M. εἰς τὸν μετὰ ταῦτα χρόνον. r. E. N. — Ἤγουν εὐτυχοίης. r. E. N.
75) Ἡμᾶς [καὶ] περιέπων. r. E. N. περιποιούμενος ἡμᾶς. M. — [Χρηστοῦ:] ἔργον ποιῶν δηλονότι. E. N. τοῦτο τὸ ἔργον δηλονότι. M.
76) Στενοχωρεῖται. E. N. — Σὺν ἡμῖν. E. M. N.
77) [Κάλλιστ':] γέγονε δηλαδὴ πάντα. E. — Ἔνδον ἐσμὲν πᾶσαι. N. — Ἀποκλείσας ἐν θαλάμῳ. E. N. ἀποκλείσας νυμφίος. M.
78) Προσέρχου. E. πρόσελθε. M.
79) [Ὡς:] λίαν. E. — [Θεῶν:] ἀναθήματα ἢ ἔργα, τὰ ἱμάτια. E. M. — Ἐρεῖς ἰδοῦσα. E.

---

2) //Gen.[b.] c. lemm. κἤπειτα, ubi desunt καὶ εἰς ὥρας. 2) καὶ εἰς τὰς νῦν ὥρας, φησί, καὶ omisso ἀντὶ τοῦ M. 3) εἰσαεὶ] Gen.[b.], ἐσαεὶ vulg., ἀεὶ M. 3) ἐν καλῷ] M. Gen.[b.], καλῶς vulg. 3) ἐπιμελούμενος] M., τημελούμενος vulg. 5) //Gen.[b.] sine lemmate et ἄγε ὦ. 6) καὶ ὦθει] Gen.[b.], ὤθει vulg. 6) σε om. M. 7) κάλλιστ'] Gen.[b.], κάλλιστα vulg. 8) Vulgo et in Gen.[b.] (ubi ὅταν) ὁ τὰν νυὸν seqq. pro separato scholio sunt. 10) ἔσχε ἡμὶν Gen[b.], ἡμὶν ἔσχεν M. 10) ἐπεφώνησεν] p. M. Gen.[b.], ἐφρόνησεν vulg. 13) τινὰ νύμφην r. 17) ἔργα ὑπὸ θεῶν M. — 23) καὶ om. r.

Vs. 80.

Vet. Ἔριθοι δὲ αἱ ἱστουργοί, ἤγουν ἐριουργοί.

Vs. 82. 83.

Vet. Ὡς ἔτυμ' ἑστάκαντι: ἀντὶ τοῦ ὡς ἀληθῆ ἑστήκασι καὶ ὡς [ζῶντα] ἀληθῆ στρέφονται· ὡς ζῶντά εἰσι καὶ οὐχ ὡς ὑφαντά. — (Ἔτυμος, ὁ ἀληθής, ἐτυμολογεῖται ἀπὸ ⟨τοῦ⟩ ἐθίζω, ἔθιμος καὶ τροπῇ τοῦ θ εἰς τ καὶ τοῦ ι εἰς υ ἔτυμος. τὰ γὰρ ἀληθῆ ἐκ φύσεως, τὰ δὲ ψευδῆ ἐπείσακτα. ⟨ἀληθῆ δὲ⟩ καὶ ἃ ὁσονοὺκ ἐστὶν ἐκ φύσεως· ἔθος γὰρ τὸ βεβαιωθὲν μακρῷ χρόνῳ φύσεως ἰσχὺν λαμβάνει. Gen.[b.])

Vs. 86.

Vet. Ὁ τριφίλατος Ἄδωνις: ὁ πολυφίλητος, ὡς καὶ παρ' Ὁμήρῳ·

ἀσπασίη τρίλλιστος.

ἢ (τριφίλητος λέγεται ὁ Ἄδωνις, r.) ὅτι ὑπὸ τριῶν ἐφιλήθη, Ἠοῦς, Ἀφροδίτης καὶ Περσεφόνης. ⟨Ἀχέροντι:⟩ ἐν Ἅιδου.

80) Ἐπόνησαν αὐτά, κατεσκεύασαν. M. αὐτὰ εἰργάσαντο. r. E. — Ἐριουργοὶ χεῖρες. r. E. N. ἐριουργοί, ὑφάντριαι. M.

81) Τὴν ἀκριβῆ ζωγραφίαν. r. E. N. δύο σημαίνει τὸ γράφω. r.

82) [Ἔτυμ':] ἀληθῆ, ζῶντα. r. — Στρέφονται. E. κινοῦνται. M.

83) [Ἔμψυχ':] δοκοῦσιν εἶναι. E. N.

84) Θαυμαστός. E. M. N.

85) Κλίνης. M. — Ἄνθος γενείων. E. N. τὴν γένυν. M. — Ἐκφύων. M.

---

2) //Om. Gen.[b.] 2) αἱ ἱστουργοὶ] Valck. ad Adon. p. 378. B., praeeunte in ἱστ. Hemsterhusio, οἱ ὑπουργοὶ vulg. 2) ἐριουργοὶ] Brub. mg., cf. Gl., ἱερουργοὶ vulg. 4) //Gen.[b.] c. lemm. ἑστάκαντι et *M., uterque omissis ἀντὶ τοῦ ... στρέφ. In M. haec super ὡς ἔτυμ' scripta esse traduntur. 4. 5) ἀληθῆ bis] ἀληθῶς vulg., cf. Glr. 5) στρέφονται] συστρέφονται vulg., cf. GlE. 5) ὡς ζῶντα] add. Gen.[b.] et *M., in quibus εἰσι hoc loco, quod vulgo in fine. 6) οὐχ ὡς] Gen.[b.], οὐχ *M., οὐκ vulg. — ὑφαντά] *M., ἐνύφαντα Gen.[b.] vulg. 6) Haec in Gen.[b.] ad Id. XVI post schol. Vs. 49 leguntur, unde Aderto auctore Duebnerus huc retulit. 9) ἃ ὁσονοὺκ] ὡς οὐκ cod. 12) //Gen.[b.] c. lemm. Ἄδωνις, omisso ὡς. Habet etiam Phav. s. v. Ἄδωνις c. lemm. τριφίλιτος Ἄδ. omissis ὡς ... τρίλλιστος. 14) *Hom. Il.* Θ, 488. — τρίλλιστος] M. Gen.[b.], τριφίλητος vulg. Sequentia etiam in r. extant, ubi ὑπέρ. 16) Ἠοῦς] Δηοῦς M., Διὸς vulg., διὸ Gen.[b.], om. r. E. 16) Ἀφροδίτη καὶ Περσεφόνη Gen.[b.], καὶ om. Phav. 16) ἐν Ἅιδου] M., ἐν ᾅδῃ Gen.[b.] vulg., καὶ Ἅιδου r. E., καὶ ἐν ᾅδῃ Phav. — 17) αὐτὰ om. E.

Rec. (Ὥσπερ ἐπὶ τοῦ τρισμέγιστος καὶ τρισκατάρατος καὶ τρισαριστεὺς καὶ πολλῶν ἄλλων τοιούτων τὸ τρὶς οὐχ ὡρισμένως ἀπὸ τοῦ τρία λέγεται, ἀλλ' ἀόριστον πλῆθος σημαίνει, οὕτω καὶ τὸ τριφίλητος ἀντὶ τοῦ παμφίλτατος. E.)

Vs. 87. 88.

Vet. Παύσασθ' ὦ δύστανοι: παύσασθε, φησίν, ὦ ἐπίπονοι ἀνήνυτα καὶ ἄπειρα κωτίλλουσαι, ἤγουν πολυλογοῦσαι· κωτίλην γὰρ λέγουσι τὴν χελιδόνα. — (Παύσασθ', ὦ δύστανοι: παύσασθε, φησίν, ὦ ἐπίπονοι ἀπειρολαλοῦσαι. M. Gen.[b]) τοῦτο δέ φησί τις παρεπόμενος καὶ ἀγανακτῶν ἐπὶ τῇ ἄγαν αὐτῶν ἀδολεσχίᾳ. διὸ καὶ ἐπιτιμᾷ αὐταῖς ὡς τὰ κατὰ μέρος τῶν εἰκόνων ἀνερευνώσαις. εἶτα πρὸς ἑαυτὸν ἐπιστρέφων· τριγόνες ἐκκναισεῦντι πλατυάσδοισαι ἅπαντα, ἤγουν (τρυγόνες διαφθείρουσι) Δωρίζουσαι πάντα. τὸ γὰρ πλατυάσδοισαι τοιοῦτόν ἐστιν· οἱ γὰρ Δωριεῖς πλατυστομοῦσι τὸ α πλεονάζοντες. ἐκκναισεῦντι δὲ ἀντὶ τοῦ διολλύουσιν. — (Εἶτα ἐπιφέρει ὡς πρὸς ἕτερον λέγων· τρυγόνες ἐκναεσσεῦντι πλασιασδύσαι ἅπαντα. τὸ δὲ ἐκναεσσεῦντι ἀντὶ τοῦ διαφθείρουσιν ὡς τρυγόνες φλυαροῦσαι. Scholl. Hermog. Rhett. VII p. 971. — Ἀντὶ τοῦ διαφθείρουσι, ληροῦσιν ὡς τρυγόνες. Tzetz. ad Hermog. ap. Koen. ad Gregor. p. 329. — Τρυγόνες ἐκναισεῦντι πλα-

86) Ὁ παμφίλτατος. r. E. τὸ τρὶς οὐχ ὡρισμένως ἀπὸ τοῦ τρία λέγεται, ἀλλ' ἀόριστον πλῆθος σημαίνει. r. — Ὅστις καὶ ἐν τῷ ᾅδῃ ὤν, ἤγουν τεθνεώς, ἀγαπᾶται παρὰ πάντων. E.

87) Ἀπλήρωτα φλυαροῦσαι. r. E. N.

88) Ὥσπερ τρυγόνες. E. N. — [Ἐκκναισεῦντι:] διαλέγονται. E. ἀποκναίουσιν ἡμᾶς. r. N. καὶ διαπνίγουσιν. r. — Πλατυστομοῦσαι. E. πλατυστομούμεναι. r. N. διὰ τὸ α ⟨ἀντὶ τοῦ η⟩ καὶ τοῦ ω δηλονότι. r. — Εἰς ἅπαντα. E.

---

6) //Om. M. Gen.[b] 8) κωτίλλην ante Reisk. 8) χελιδῶνα ante Heins. 10) //Gen.[b] — τοῦτο .... ἀνερευνώσαις om. M. 12) εἰκόων Gen.[b] 13) ἐπιστρέφει Gen.[b], ἐπιστρέφεται καί φησι M. 13) τριγόνες ... ἅπαντα, quae sic Call., inde ab Ox. tanquam lemma mutilata sunt; eadem et ἤγουν om. M. Gen.[b] 14) τρ. διαφθείρουσι] τρ. διαφέρουσαι Gen.[b], τρυγόνων οὐ διαφέρουσι M., om. vulg., cf. lin. 19. 15) πάντη M. 15) τὸ δὲ M. Gen.[b] — πλατυάσδουσαι Gen.[b] 15. 16) πλατ. οἱ Δ. sine γὰρ Gen.[b], πλατυστομοῦσαι· οἱ γὰρ Δ. τὸ α πλεονάζουσι M. 16) ἐκκναισεῦνται ante Brub., ἐκναισεῦνται Gen.[b] 17) διολλύουσιν] διαλέγουσιν Gen.[b] vulg., διαλέγονται M., διαφθεροῦσιν Reisk. seqq. 17) De sequentibus locis cf. Vol. I p. 112. — 23) ὡρισμένον cod. 29) καὶ τὸ ω cod.

τείας δῦσαι ἅπαντα: λείπει ἐνταῦθα τὸ ὡς· ὡς τρυγόνες διαφθείρουσι καὶ φλυαροῦσιν, ἁπανταχῆ τῆς πλατείας δῦσαι. Gregor. 143. — Τὸ δὲ *ἐκκναισεῦντι* τὸ διαλέγονται δηλοῖ. Planud. ad Hermog. Rhett. V p. 484. — *Πλατειάζουσαι ἕπονται*: ὅ ἐστι πλατέως λαλοῦσαι. Scholl. Hermog. Rhett. VII p. 970. λέγουσαι πλατέως Tzetz. l. l.)

Vs. 91. 92.

Vet. *Κορίνθιαι εἰμὲν ἄνωθεν*: Κορινθίων γὰρ ἄποικοι οἱ Συρακούσιοι. (⟨*Ὦ καὶ ὁ Βελλεροφῶν*:⟩ ὅθεν ἦν καὶ Βελλεροφόντης· Κορίνθιος γὰρ καὶ οὗτος. M.) — *Ὡς καὶ ὁ Βελλεροφῶν*: Κορίνθιος δὲ καὶ ὁ Βελλεροφόντης. — *Πελοπονησιστὶ λαλεῦμες*: ἀντὶ τοῦ Δωριστὶ κατὰ τοὺς Πελοποννησίους· τὴν γὰρ Πελοπόννησον ᾤκησαν οἱ Δωριεῖς οἱ σὺν Ἡρακλείδαις.

Rec. (Ἐπεὶ δὲ ἡ Κόρινθος ἐν Πελοποννήσῳ, διὰ τοῦτό φησι Πελοποννασιστὶ λαλεῦμες, ἤγουν Δωρικῶς. E. N.)

Vs. 94. 95.

Vet. *Μὴ φυῇ Μελιτῶδες*: ἀντὶ τοῦ μηδεὶς γένοιτο ὦ Περσεφόνη ἄλλος ἡμῶν κύριος. Μελιτώδη δὲ τὴν Περσεφόνην φησὶ κατ' ἀντίφρασιν, ὡς καὶ Κόρην· ⟨ἢ⟩ διὰ τὸ τὰς

89) *Συρακούσιον τὸ μᾶ ἐπὶ ἀγανακτήσεως λεγόμενον.* r. E. N. ἀγανάκτησις παρὰ Συρακουσίοις τὸ μᾶ. *L. *M. — [*Τίν*:] βλάπτομεν δηλονότι σέ. E. μέλει. N. — Πολύλογοι. E. N. πολυλογοῦσαι. M.

90) Κτησάμενος. 6. κτησάμενος ἡμᾶς δούλας. E. ἀγοράσας, κτησάμενός τινα δούλην. M. — Πρόστασσε ἡσυχάζειν. E. N. πρόσταττε. M.

91) Ἀπὸ τῶν πάλαι χρόνων. E. ἐξ ἀρχῆς. M. ἀνέκαθεν. N.

92) Δωριστί. E. M. Δωρικῶς. N.

93) Δωρικῶς ὁμιλεῖν. E. — Ἄδειά ἐστι. E. — Νομίζω. E. M. N.

94) Ἤγουν ὦ Περσεφόνη, κατὰ ἀντίφρασιν· πάντα γὰρ τὰ ἐν ᾅδη πικρά. L. διὰ μέσου ἐπιφώνημα. L. P. — Κύριος, κράτος καὶ ἐξουσίαν ἔχων καθ' ἡμῶν. E. — Ἐστίν. M.

---

8) //M. Gen.[b.], hic c. lemm. *εἰ μέσον*. 9) εἰσιν οἱ Gen.[b.] 10) //Gen.[b.] sine lemm., om. M. 11) καὶ om. Gen.[b.], καὶ ὁ Β. δὲ Κορ. E. 12) //Gen.[b.] c. lemm. *Πελοπονησιαστὶ* omissis ἀντὶ ... Πελοποννησίους. 12) Δωριστὶ] add. M. omissis κατὰ τ. Π. 15) Haec in codd. post Βελλεροφόντης l. 11. 16) λαλοῦμεν E. 18) //Gen.[b.] c. lemm. *Μελιτῶδες*. 19) καὶ μελ. δὲ Gen.[b.] — Μελιτώδη] Gen.[b.] et SchRec., Μελιτῶδες vulg. — 21) ἐπὶ τῶν ἀγανακτησίων r. 22) ἀγαν. Συρακουσίων M. 23) μέλει] Duebn., μέλλει cod. 30) GlL.P. ad *ὅς ἁμῶν* relata erat.

ἱερείας αὐτῆς καὶ τῆς Δήμητρος μελίσσας λέγεσθαι. — *Μή μοι κενεὰν ἀπομάξῃς: μή μοι κενὸν τὸ μέτρον ἀποψήσῃς.* *Rec.* (*Μελιτώδη τὴν Περσεφόνην φησὶ κατὰ ἀντίφρασιν διὰ τὸ πικρίας μᾶλλον εἶναι πρόξενον τοῖς ἀποθνήσκουσι· καταχθονία γὰρ ἡ Περσεφόνη. φησὶν οὖν· ὦ Περσεφόνη, ἡ τῇ φύσει μελιτώδης, μηδεὶς γένοιτο ἄλλος ἡμῶν κύριος, ὥστε δηλονότι μὴ ἐᾶν ἡμᾶς τὰ κατὰ βούλησιν λέγειν ἢ ποιεῖν.* r. E. N.) — (*Μηδείς, φησίν, ὦ Περσεφόνη περιφύῃ μοι, ἤγουν περιπλακείη, ὅς ἐστι καρτερώτερος καὶ ἰσχυρότερος ἡμῶν· τουτέστι μηδεὶς ἐρασθῇ ἡμῶν μείζων ἡμῶν ὤν. ὅμοιον δ' ἐστὶ τὸ παρ' Αἰσχύλῳ·*

μηδὲ κρεισσόνων θεῶν
ἔρως ἄφυκτον ὄμμα προσδέρκοι με.

M.)

Vs. 97.

Vet. *Ἁ τῆς Ἀργείας θυγάτηρ πολύϊδρις: ἄδηλον τίς ἡ ποιήτρια αὕτη· ἔνιοι δὲ Χαρίας Ἀργείας αὐτήν φασιν εἶναι θυγατέρα ὁμώνυμον τῇ μητρί· εἶναι δὲ ἐκείνην Σικυωνίαν.*

Vs. 100. 101.

Vet. *Δέσποιν' ἃ Γολγόν τε: Γολγὸς πόλις Κύπρου,*

95) *Τοῦ ἐμοῦ ἀνδρός.* E., *ἴσως τοῦ Διὸς ἢ τοῦ βασιλέως.* M. — *Οὐ φροντίζω ἑτέρου.* E. M. — *Τὴν κενήν.* M. *ἄπρακτον.* r. E. N. *ποδέαν* (?) p. *ὁδὸν δηλονότι.* r. — *Ἀποσπογγίσῃς.* r. [*ἀπομάξῃ*:] *ἀποσπογγίσῃ, ἤγουν ἅψεται.* M. — *Εἴθε ἀτυχήσῃς ἐν τῇ ὁδῷ.* r.

97) *Πολλὰ εἰδυῖα.* E. *ἡ ἐπιστήμων.* M. — *Ποιήτρια.* M.

98) [*Σπέρχιν*:] *κατά.* 6. *εἰς τόν.* r. — [*Ἰάλεμον*:] *ὕμνον.* M. *τὸν θρήνου ἄξιον.* r. E. N. *ἰαλέμου ψυχρότερος.* *r. — *Ἀρίστως ὕμνησεν.* r. E. M. N.

99) *Βλακικῶς ἑτοιμάζεται.* r. E.

100) [*Ἰδάλιμον*:] *τόπος Κύπρου Ἰδάλιον.* 6.

---

1) *ἱερείας*] Daceria ad Callim. h. Apoll. 110 et Koehlerus, *ἑταίρας* vulg. 1) *τῆς* om. Gen.[b.] 1) //Om. Gen.[b.] Extat h. sch. in r. 3) In r. sola extant *κατὰ .... ἀποθν.* et *μηδεὶς .... κύριος.* 6) *ἡμῶν ἄλλος* N. 12) *Aesch. Prom.* 903, ubi vulg. *προσδέρκοιτο.* 16) //Gen.[b.] sine lemm. Extat etiam in r., ubi pro *ἄδηλον τ. ἡ π. αὕτη* solum *ἄδηλον* in fine additum. 17) *Χαρίας Ἀργείας*] *Χαρίας* r. E. M. Gen.[b.] Vulc., *Ἀργείας* vulg. — *φασὶ Χ. αὐτὴν εἶναι* r., *φασιν* om. E. M. 18) *θυγατέρα* om. M. 21) //Gen.[b.] c. lemm. *καὶ Ἰδαλιόν*, ubi tum *Γ. γῆς πόλις.* — 27) Gl. *εἰς τὸν* ap. Salv. lemma *ΗΡΙΣΤΕΥΣ.* habet contra ordinem. 28) *τοῦ θρ.* r. 28) *ἄριστα ὕμνησαι* r. Ibidem extat gl. Suid. *Σπέρχις* (*Βοῦρις — τῶν ὑπ' αὐτοῦ* om. — *ὑπὸ τ. Ἀθ.*)

ὠνομασμένη ἀπὸ Γολγοῦ τοῦ Ἀδώνιδος καὶ Ἀφροδίτης. Ἰδάλιον δὲ πόλις καὶ αὐτὴ Κύπρου. — Αἰπεινάν τε Ἔρυκα: Ἔρυξ πόλις Σικελίας ἀπὸ Ἔρυκος τοῦ Βούτου καὶ Ἀφροδίτης. — Χρυσῷ παίζουσ' Ἀφροδίτα: διὰ τούτου δηλοῖ ὅτι οἱ ἐρῶντες (ὡς ἐπιτοπλεῖστον E.) *χρυσῷ πείθουσι τοὺς ἐρωμένους.*

Vs. 102. 103.

Vet. Μηνὶ δυωδεκάτῳ: τινὲς δι' ἑξαμήνου φασὶν ἀνέρχεσθαι τὸν Ἄδωνιν (ἐκ τοῦ ᾅδου. M.). — *Μαλακοὺς δὲ ἔχειν πόδας ἔφη τὰς Ὥρας, ἐπεὶ τὸ ἔαρ μαλακόν* ([*εἰς τὸ πορεύεσθαι τοὺς ἀνθρώπους καὶ οὐ τραχὺ ὡς ὁ χειμών*]. M.)

Rec. (*Μαλακόποδας ἔφη τὰς Ὥρας διὰ τὸ μὴ ἐξαίφνης τὰς ποιότητας ἀμείβεσθαι, ἀλλὰ σχολαιοτέρως καὶ διὰ μεσοτήτων.* r. E. N.)

Vs. 107. 108.

Vet. (*Τὴν γὰρ μητέρα Βερενίκην καὶ τὸν πατέρα Πτολεμαῖον ἀπεθέωσε.* M. Gen.[b.]) — *Ἐποίησας Βερονίκαν: Βερενίκην δὲ λέγει τὴν τοῦ Σωτῆρος γυναῖκα, μητέρα δὲ τοῦ Φιλαδέλφου καὶ Ἀρσινόης.*

Rec. (*Ἀμβροσία γίνεται ἀπὸ τοῦ ἀ στερητικοῦ μορίου καὶ τοῦ βροτόν, ὃ σημαίνει τὸ φθαρτόν, πλεονασμῷ τοῦ μ.* E. N.)

102) [*Οἷον:*] *θαυμαστόν.* E. — *Τοῦ ᾅδου.* E.

103) *Κατὰ τὸν καιρὸν τοῦ ἔαρος.* L. P.

104) *Βραδεῖς μέν εἰσι.* E. *βραδεῖαι.* M. — *Ἀπὸ τῶν θεῶν.* E. — *Αἱ προσφιλεῖς.* E. — *Ἐκ παραλλήλου φίλαι καὶ ποθειναί.* M.

105) [*Ἀεί τι:*] *ἀγαθόν.* M. *ἡδύ.* 6.

106) *Τῆς Διώνης θυγάτηρ.* M. *λέγεται Κύπρις Διωναία καὶ Διώνη. Διωνία δὲ πόλις, ἣν Θεόπομπος συγκαταλέγει ταῖς Κυπρίαις πόλεσι.* r.

108) *Ἀθανασίαν.* E. N.

---

1) *τοῦ*] *τοῦ τῆς* Gen.[b.], *τινὸς* vulg. 1) *Ἀφρ. υἱοῦ* M. 1) *Ἰδάλιον* seqq. om. Gen.[b.] 2) //Gen.[b.], ubi *Ἔρυξ δὲ* sine lemmate. 3) *Βούτου*] Brub. mg., *Βοιωτοῦ* vulg., *Βιοτοῦ* Gen.[b.] 4) //Gen.[b.] hoc initio: *Χρ. π. Ἀφροδίτην: τοιοῦτον ἴσως ἐστὶ ὅτι*, tum *τὸ ἐρώμενον.* 8) //Gen.[b.] c. lemm. *δυωδεκάτη.* — *δι'*] M. Gen.[b.] vulg., *δὲ* Kiessl. 9) //M. Gen.[b.] post scholia ad Vs. 107. 108. 9) *δέ φησι ἔχειν τοὺς πόδας* (*τ. π. ἔχειν* M.) M. Gen.[b.] 10) *ὅτι* pro *ἐπεὶ* M. 12) *μαλακαίποδας* N., verba ante *διὰ* om. r. 16) *Βερεννίκην* M. 17) //Gen.[b.] sine lemmate. 17) *Βερονίκην* ante Reisk. 18) *Πτολεμαίου* pro *Σωτῆρος* Gen.[b.] — 29) *συγκαταλέγει*] Steph. Byz. s. v. *Διωνία*, unde ultima ducta, *καταλέγει* cod.

Vs. 109—111.

Vet. Τὶν δὲ χαριζομένα: [ἀντὶ τοῦ] σοί, φησί, χαριζομένη ἡ τῆς Βερενίκης θυγάτηρ Ἀρσινόη πᾶσι καλοῖς ἀτιτάλλει καὶ δεξιοῦται τὸν Ἄδωνιν. — (⟨Ἀτιτάλλει:⟩ *** ἐπεὶ τὴν πρόβασιν ἢ αὔξησιν ποιεῖ. Gen.[b.]) — Ἀτιτάλλω [γὰρ] ἐκ τοῦ ἁ στερητικοῦ μορίου καὶ τοῦ ταλάσσω τὸ κοπιῶ. σημαίνει δὲ τὸ ἀναπαύω καὶ μὴ διὰ κόπου ταλαίνω. ἢ ἀπὸ τοῦ ἄττω τὸ ὁρμῶ καὶ τοῦ ἅλλω τὸ πηδῶ, καὶ σημαίνει τὸ αὐξάνω.

Rec. (ΠΟΛΥΩΝΥΜΕ: καὶ Εὐριπίδης·
πολλὴ μὲν ἐν βροτοῖσι κοὐκ ἀνώνυμος
θεὰ κέκλημαι Κύπρις. M.)

Vs. 112. 113.

Vet. Ὅσα δρυὸς ἄκρα φέροντι: πάντα, φησί, τὰ ἀκρόδρυα παρατίθεται τῷ Ἀδώνιδι ἀπὸ παντοίας ἰδέας ὀπωρῶν. εἰώθασι γὰρ ἐν τοῖς Ἀδωνίοις πυροὺς καὶ κριθὰς σπείρειν ἔν τισι γαστρίοις καὶ τοὺς φυτευθέντας (τότε M.) κήπους Ἀδωνείους προσαγορεύειν.

Rec. (Ἁπαλοὶ κᾶποι: τὰ ἐκ τῶν κήπων ὀσφράδια. M.)

Vs. 114—116.

Vet. Συρίω δὲ μύρω χρύσει' ἀλάβαστρα: ἀλάβα-

109) *Σοὶ δὲ χαριζομένη ἀνθ' ὧν ἀθάνατον ἐποίησας τὴν μητέρα αὐτῆς.* M.

110) *Ἡ ὁμοία τῇ Ἑλένῃ τῷ κάλλει.* L. M. N.

111) *Αὕτη γὰρ ἐτέλει τὴν ἑορτὴν Ἀδώνιδος.* M. — *Αὔξει.* Vat. r. M. N. *τιμᾷ.* Vat. M. N.

112) *Ἔγκαιρα.* E. M. *ἐγκαίρως.* N. *ἐν καιρῷ.* r. — *Ἀντὶ τοῦ παντὸς ὀπωροφόρου δένδρου.* r. E. N. — *Ἐξαίρετα, ἢ τὰ ἀκρόδρυα.* M.

113) *Βοτάναι.* 6. *ἤγουν κηπευόμεναι εὐώδεις βοτάναι.* r. E. N. *ἢ ἄνθη.* E. N. *τὸ περιέχον ⟨ἀντὶ τοῦ⟩ περιεχομένου ἔθηκε.* r. — *Ταλαρίσκοις.* E. N.

---

2) //Om. Gen.[b.] 3) *Βερονίκης* ante Reisk. 3) *Ἀρσ.* seqq. inde ab Scult. male in singulare scholium separata sunt, quum Xyl. post *θυγάτηρ* colo distinxisset. 4) Haec mutila adhaerent scholio *μαλακοὺς* ad Vs. 103. 5) //Gen.[b.] sine *γάρ.* — *ἀτίλλω* ante Brub. 6) *ταλλάσω* ante Scult. 10) *Eurip. Hippol.* 1. 13) //Gen.[b.] c. lemm. *ἄκρα φέρονται.* 14) *παρατίθεται*] M., *περιτίθεται* Gen.[b.], *περιτίθενται* vulg., *παρατίθενται* Toup. — *παρατ. φησὶ τῷ Ἀδ.* M. 15) *ἀδωνείοις* M. 15) *πυῤῥοὺς* ante Brub. 16) *γαστρίοις*] conj. Bastius, *προαστείοις* vulg. 16) *τοὺς* om. Gen.[b.] 17) *Ἀδωνείους*] M. Gen.[b.], *Ἀδωνίους* vulg. 20) //Gen.[b.] sine lemmate et r. inde ab *σανίς.* — 28) *φυτευόμεναι* pro *κηπ.* N. 29) *ἀντὶ τοῦ*] suppl. Wart. — *ἔθηκε*] Duebn., *τέθηκε* cod.

στρα σκεύη μύρων δεκτικά. *Πλαθάνη* δὲ σανίς, ἐν ᾗ διαπλάττουσι τοὺς ἄρτους. *Ἄνθεα* δὲ (ἃ μίσγουσιν, εἰσὶ r. M.) τὰ ἐπιπάσματα τῶν ἄρτων. λέγοι δ' ἂν τὰ σήσαμα. — (*Πλάθανον*: εἶδος ἀγγείου τινός, ἐν ᾧ σκευάζουσι τὰ πόπανα. Gregor. 148.)

Vs. 117.

Vet. *Ὅσσα τ' ἀπὸ γλυκερῶ μέλιτος*: (ὅσα ἀπὸ μέλιτος καὶ ἐλαίου κατασκευάζονται, M.) ἀντὶ τοῦ πλακοῦντες διάφοροι.

Rec. (*Ὑγρόν* φησι τὸ *ἔλαιον* οὐχ ὡς ὄντος ἐλαίου ξηροῦ καὶ διὰ τοῦτο πρὸς ἐκεῖνο ἀντικείμενον· ἀλλ' ὅτι τῶν ἄλλων πάντων ὑγρῶν, εἴπερ τισὶν ἐπιχέονται, συντόμως ὑπὸ τοῦ ἡλίου ἀνιμωμένων, μόνον τὸ ἔλαιον ἐπὶ πολὺ τὸ χρισθὲν ὑγρὸν συντηρεῖ. E. N.)

Vs. 119—122.

Vet. *Χλωραὶ δὲ σκιάδες*: ἀντὶ τοῦ χλωραὶ σκηναὶ καὶ καλύβαι ἀνήθων σὺν αὐτῷ τῷ καρπῷ καταβριθόμεναι γεγόνασιν. — *Οἵ δέ τε κῶροι*: τὰς καλύβας, φησίν, ὑπερπέτονται οἱ Ἔρωτες ὡς οἱ νεοσσοὶ τῶν ἀηδόνων. — (Οἱ Ἔρω-

115) *Βρώματα.* r. 6. E. M. N. — [*Πλαθάνη*:] *σανιδίῳ.* r. E. N. — *Κατασκευάζουσι.* E. N. *ἐνεργοῦσι.* M.

116) *Φύρουσαι.* E. — *Οἷον σήσαμον καὶ τὰ τοιαῦτα. ἀλεύρῳ, ἤγουν σεμιδάλει.* M.

118) *Ἐνταῦθα.* M.

119) [*Σκιάδες*:] *εἶδος βοτάνης.* r. E. N. *βοτάναι.* M. *κλάδοι εὐμεγέθεις.* r. *σκιὰς ἡ ἀναδενδράς, καὶ σκηνὴ ὠροφωμένη.* *r. — *Θάλλοντες καρπῷ.* M.

120) *Ἀντὶ τοῦ δεδόμηται κατὰ συγκοπήν.* E. N. — [*Οἵ δέ τε*:] *σὺν τούτοις.* E. *ἐνθάδε πρὸς τούτοις οἱ νέοι πέτονται Ἔρωτες.* N.

121) [*Οἷοι*:] *θαυμαστικῶς.* N. — *Οἱ νεοσσοὶ τῶν ἀηδόνων.* E. N. — [*Καταεζόμενοι*:] *καθέζομενοι.* E.

122) *Διὰ πτερύγων.* M. — *Κλάδον ἀπὸ κλάδου.* M.

---

1) *δεκτὰ* Gen.[b] 1) *πλαθάνη*] M. Gen.[b], *πλαθάναι* vulg. — *δὲ* om. M. 1) *σανίς*] add. r. M. 1) *ἐν ᾗ*] r. M., *ἐν αἷς* Gen.[b] vulg. 2) *πλάττουσι* r. M. 2) *τὸ δὲ ἄνθεα* Gen.[b], *ἄνθη* r. M. 2) *σμίγουσιν εἰς* r. 3) *ἐπιπάσματα*] r. M. Gen.[b], *ἐπιπάματα* ante Brub., *ἐπιπάμματα* vulg., *ἐπισπέρματα* p. — Seqq. om. r. 3) *λέγοι δ' ἂν*] M., *λέδ' ἂν* Gen.[b], *λέγει δὲ* vulg. 7) //Gen.[b] 8) *ἤγουν πλ.* M. Gen.[b] 16) //Om. Gen.[b] 18) //Gen.[b] c. lemm. *κοῦροι.* — 20) *σανιδίῳ*] *συνοδείᾳ* codd. 26) *σκυὰς* cod.

τες, φησίν, ὑπερπωτῶνται ὥσπερ οἱ νεοσσοὶ τῶν ἀηδόνων ὑπερίπτανται ἐν τοῖς κλάδοις τῶν δένδρων, ἀποπειρώμενοι τῶν πτερύγων αὐτῶν, καὶ ἀπὸ κλάδου εἰς κλάδον μεταβαίνουσι. M.)

Vs. 123. 124.

Vet. *Ὦ ἔβαινος*: τὴν λοιπὴν κόσμησιν τὴν βασιλικὴν θαυμάζει. (ἦσαν γὰρ ἐκ χρυσοῦ καὶ ἐβένου ξύλου καὶ ὀστέων ἐλεφαντίνων ἀετοὶ κατεσκευασμένοι καὶ βαστάζοντες τὸν Γανυμήδην. M.) — *Αἰετώ*: ὡς πεποικιλμένων ἀετῶν ἐλεφαντίνων καὶ βασταζόντων τὸν Γανυμήδην.

Vs. 125—127.

Vet. *Πορφύρεοι δὲ τάπητες*: ὡς μαλακῶν ταπήτων ὑπεστρωμένων τῇ κλίνῃ τῆς Ἀφροδίτης, οὓς φησιν ὑπὸ τῆς Μιλήτου καὶ Σάμου ῥηθήσεσθαι μαλακωτέρους ὕπνου διὰ τὸ παρ' αὐτοῖς εἰς κάλλος τὰ στρώματα γίνεσθαι. — (Ἐρεῖ τὰ Μιλήτου καὶ Σάμου ἔργα. ἡ δὲ κατὰ ἀναστρεπτέα· ἔστι γὰρ κατὰ τὴν ⟨γῆν τῆς⟩ Σάμου βόσκων· ⟨ἢ⟩ οἷον καταβοσκόμενος καὶ νεμόμενος. p. Gen.[b.]) — (Ἡ Μίλητος, φησίν, ἐρεῖ καὶ ὁ τὴν γῆν τῆς Σάμου νήσου κατανεμόμενος, ὅπως ἦσαν μαλακοὶ οἱ τάπητες, ἤγουν οἱ τὴν Μίλητον καὶ τὴν Σάμον οἰκοῦντες· ἐν ταύταις γὰρ κάλλιστοι γίνονται τάπητες. r. M.)

123) [Ὦ:] ὅπου. N. οὗ, ἤγουν ὅπου ἐστίν. r. E. — Ξύλον μέλαν ὁ ἔβενος. M. τὸ μέλαν ξύλον. καὶ ἔβελος ὁμοίως. r. — [Ὦ:] οὗ bis E.

124) [*Αἰετώ*:] ἀετοί. E. — [*Φέροντες*:] ἐπάνω αὐτῶν. M.

125) [*Τάπητες*:] πεύκια. E. — [*Ὕπνω*:] ἤγουν ὥστε ὑπνῶσαι. E. N.

126) Ἐρώτησον τὴν Μίλητον. *r. — [*Μίλατος*:] ἡ νῆσος. ὁ χωρικός. E. N. Burn. — Εἴποι ὅπως ἦσαν μαλακοί. M. — Τὴν γῆν τῆς Σάμου νήσου, ἤγουν ὁ ἐν Σάμῳ οἰκῶν. M. — Κατατρώγων, ἤγουν ἰδιώτης. r. E. N.

---

6) //Gen.[b.] c. lemm. *ὤ χρυσός*. 6) τοῦ Ἀδώνιδος pro τὴν βασιλικὴν M., pro βασ. lacuna in Gen.[b.] 9) //Gen.[b.] c. lemm. *οἰνοχόον*, ubi αἰετῶν, omisso ἐλεφ. — πεποκ. ante Brub. 10) τὸν] Gen.[b.] vulg., om. Kiessl. 12) //Gen.[b.] c. lemm. *τάπητες*. 13) οἵ φησιν Gen.[b.] 14) ῥηθήσασθαι vulg. ante Reisk. — μαλακώτερα Gen.[b.] 16) ἀναστρεπτέα] ἀναστρεπτέον Gen.[b.], ἀνατρεπτέον p. 17) τοῦ pro τὴν Gen.[b.] 17) βοσκὴν codd. 20) οἱ ταπ. μαλ. M. 21) γίγνονται r. Schol. in r. rubro scriptum.

Vs. 130.

Vet. *Οὐ κεντεῖ τὸ φίλαμ' ἔτι*: τὸ τοῦ Ἀδώνιδος δηλαδή. οὐδέπω γὰρ κέκαρται τὰ γένεια, ὡς κεντῶσιν, ἀλλ' ἔτι χνοάζει.

Vs. 132. 133.

Vet. *Ἅμα δρόσω*: ἀντὶ τοῦ ἅμα ἡμέρᾳ· τότε γὰρ πίπτει ἡ δρόσος ἐν τῇ γῇ. — *Οἰσεῦμες*: ἐπὶ γὰρ τὴν θάλασσαν ἐκφέροντες τὸν Ἄδωνιν ἔρριπτον ἐπ' αὐτήν.

Vs. 136—138.

Rec. (Τρικλινίου. *Κ' εἰς Ἀχέροντα*: Προείρηται γὰρ ὡς μηνὶ δυωδεκάτῳ ἐξ Ἀχέροντος Ἄδωνις ἀνέρχεται· τοῦτο δὲ οὐδεὶς τῶν ἄλλων ἡρώων εὗρεν. M.) — (*Βαρυμάνιος*: ὁ βαρεῖαν ἀνίαν καὶ λύπην ὑποστάς, ἢ βαρεῖαν μανίαν, ἤγουν μανικὴν νόσον. E. N.)

Vs. 139.

Vet. *Εἴκατι παίδων*: εἴκοσι παίδων. τῷ γὰρ ἀρτίῳ ἀριθμῷ ἀποκέχρηται, ὡς καὶ Σιμωνίδης. Ὅμηρος δὲ ἐννεακαίδεκα λέγει.

128) Ὁ λευκόπηχυς M., ἐρυθρὸς τοὺς πήχεις τῶν χειρῶν. E.

129) Τὸν ἄνδρα γαμβρὸν λέγει ὡς οἱ Αἰολεῖς. 4. ὁ ἀνὴρ Αἰολικῶς. r. E. N. ὁ ἀνὴρ κατὰ Αἰολεῖς. M. P. ὁ ἀνὴρ κατὰ Σικελιώτας. L.

130) Τιτρώσκει. M. — Ἐρυθρά. r. E. N. ἐστίν, ὁ χνοῦς. r. al. man. ξανθὰ γένειά ἐστι. M. — Ἤγουν οὐ κουρεύει τὸ γένειον, ἵνα φιλούμενος κεντῇ τὰ χείλη τῶν φιλούντων. L. P.

133) Ἀποπτύοντα τὸν ἀφρόν. M. τὰ ἀποπεμπόμενα. E.

134) Τοὺς πλοκάμους. M. — Τοὺς ἀστραγάλους ἢ τὰ γόνατα. M. — Ἀφεῖσαι τὰ περὶ τὸ στῆθος ἱμάτια. M.

136) Ἔρχῃ ἐνθάδε, ἐν τῷ κόσμῳ τούτῳ, ἐκ τοῦ ᾅδου καὶ πάλιν ἀπέρχεαι εἰς Ἀχέροντα. r. — Ἔρχῃ. E. πορεύῃ. M. — Τὸν ᾅδην. E.

137. 138) Ἡρώων. M. — [*Μανώτατε*:] νεώτατε. E. — Ἐλθεῖν γὰρ ἐνθάδε οὐδεὶς ἡρώων τοῦτο ἔπαθε, ἀλλὰ σὺ μόνος. r. — [*Τοῦτ'*:] ἤγουν τὸ ἐκ τοῦ ᾅδου ἐπανελθεῖν. E. N. — Ὁ βαρεῖαν ὀργὴν κατὰ τῶν Ἑλλήνων κτησάμενος· ἢ βαρεῖαν μανίαν, ὥστε καὶ ξίφει ἀναιρεθῆναι. M.

139) Τῶν εἴκοσι, Δωρικόν. E.

---

2) //Gen.[b] c. lemm. *τὸ φίλημ' ἔτι*. 3) τὸ γένειον M. omisso ὡς κεντ. 4) ἔτι χνοάζει] p. M., ut voluerant Koehl. et Hemsterh., ἔτι χλοάζει Gen.[b], ἐπιχνοάζει vulg. 6) //Gen.[b] c. lemm. *δρόσῳ*. 7) //Gen.[b] c. lemm. *ποτὶ κύματα*. 8) ἔριπτον M. 16) //Gen.[b], ubi τῷ ἀρ. δὲ ἀρτίῳ, omissis εἴκοσι παίδων. 17) ἀποκέκριται ante Heins. 17) δὲ om. Gen.[b] — *Hom. Il.* Ω, 496. 24) κεντῇ] Gail. tac., κεντεῖ L., εἰς P.

Vs. 141. 142.

Vet. *Δευκαλίωνες*: ἀντὶ τοῦ Δευκαλίδαι ἀπὸ Δευκαλίωνος, ἤγουν Θεσσαλοί· τούτων γὰρ ἐβασίλευσεν ὁ Δευκαλίων. ἢ οἱ Λοκροί· Δευκαλίων γὰρ ἐν Κύνῳ τῆς Λοκρίδος ᾤκησεν. — (Καὶ οἱ Πελασγοὶ οἱ τοῦ Ἄργους ἄκροι, τουτέστιν οἱ ἐξοχώτατοι. Gen.[b.])

Vs. 143.

Vet. *Ἵλαθι νῦ φίλ' Ἄδωνι* ⟨*καὶ ἐς νέω*⟩: ἀντὶ τοῦ ἱλάσθητι ⟨ἐς νέωτα⟩ κατὰ ἀποκοπήν. τὸ δὲ ἵλαθι ἐστὶ Δωρικόν. — (*Ἐς νέω*: ἀντὶ τοῦ ἐς νέωτα, τουτέστιν εἰς ὥρας, εἰς νέον ἔτος. Gen.[b.])

Rec. (Τὸ *ἵλαθι* Δωρικόν ἐστιν ἀπὸ τοῦ ἱλάσθητι κατὰ συγκοπήν. M.) — (*Καὶ ἐς νέωτ'*: ἀντὶ τοῦ εἰς τὸ νέον ἔτος, ἤτοι τὸ ἐπιόν. E. N.)

Vs. 148. 149.

Vet. (⟨*Ὄξος*⟩ *ἄγαν*: ἀντὶ τοῦ ἀκρόχολος. ⟨*Ἀφίκευ*:⟩ ὑπόστρεψον. Gen.[b.])

140) Ὁ Πάτροκλος. M. — Ὁ Νεοπτόλεμος. L. M.

142) Ἄργεος οἱ πρῶτοι, οἱ ἐξοχώτατοι. M. οἱ πρῶτοι τῶν Πελασγῶν, ἤγουν τῶν Ἀργείων. E. N.

143) Τὸ ἐπιὸν ἔτος. r. συνίζησις. εἰς τὸ μέλλον. M.

144) Ὅτε ἄλλοτε ἔλθῃς. M.

145) [*Χρῆμα*:] τῶν γυναικῶν δηλονότι. r. E. N. τὸ τῆς ᾠδῆς. M. — Ἤγουν σοφόν. M. ἀντὶ τοῦ σοφώτατον. E. — Ἡ γυνή, ἡ ἀοιδός. E. N.

146) [*Ὄσσα*:] θαυμαστικόν. E. N. — Λίαν ἐμμελὲς ᾄδει. r. E. N.

147) Ἀπελθεῖν ἡμᾶς. E. N. ἐλθεῖν δηλονότι. M. — Ἄσιτός ἐστιν. E. N. ἄγευστος, μὴ ἠριστηκὼς ἢ φαγών. M. — Ὁ ἀνήρ σου. M.

148) Καὶ ὁ ἀνήρ, ὅτε ἐστιν ἄσιτος δηλαδή, λίαν δριμύτατός ἐστιν ὑπ' ὀργῆς. r. E. N. — [*Ὄξος*:] ὀξύχολος. 6. M. — Ἐκείνῳ προσέλθῃς. M.

149) [*Χαίροντας*:] τοὺς ἐν τῷ ᾅδῃ. E. — Ἄπελθε. E., ἐλθέ, ὑπόστρεψον, ἀφίκου. M.

---

2) //Gen.[b.], ubi *Δευκ. δὲ ἀ. τ. Λευκαλίδας. ἀπὸ τοῦ Δ.* 3) ἤγουν Θεσσαλοί] M., *Θεσσαλοῦ* vulg., *οἱ Θεσσαλοὶ* Ruhnk. ap. Valck. ad Adon. p. 412. 4) *Κύνῳ*] Hemsterh. et Ruhnk. ibid., *Κύδνῳ* vulg., *κίδνα* Gen.[b.] 5) Hoc sch. cum duobus sequentibus in Gen.[b.] legitur ante schol. *οἰσεῦμες* Vs. 132. 8) //Gen.[b.] c. lemm. *ἵλαθι*. 9) τὸ δὲ seqq.] Gen.[b.], nisi quod *δὲ τὸ ἵλαθι*, nihil nisi *Δωρικῶς* vulg. 10) *ἐς νεότητα* cod. 14) *ἢ τὸ* M.[4.] 16) ἀκρόχολος] Piccolos, *ἀκρόλογος* cod. 17) ὑπόστρεψον] Duebn., *ὑπέστρεφεν* cod. — 26) *ᾄδει* om. r. 30) *ὀξυλοχος* 6.

Idyll. XVI.

Ἐπιγράφεται τὸ παρὸν εἰδύλλιον Χάριτες ἢ Ἱέρων. — (*Ἐγκωμιαστικόν.* M. — *Δωρίδι.* L. M. P.)

(*Τρικλινίου. Καὶ τὸ παρὸν εἰδύλλιον ἐκ στίχων σύγκειται δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων ρθ', ὧν τελευταῖος· ἀνθρώποις ἀπάνευθεν. ἀεὶ Χαρίτεσσιν ἅμ' εἴην.* M.)

Vs. 1—4.

Vet. Αἰεὶ τοῦτο Διὸς κούραις μέλει αἰὲν ἀοιδοῖς, ὑμνεῖν ἀθανάτους, ὑμνεῖν ἀγαθῶν κλέα ἀνδρῶν: (*Αἱ μὲν Μοῦσαι, φησί, θεαί εἰσι καὶ θεοὺς ἐν ᾠδαῖς ὑμνοῦσι, καὶ ἀεὶ τοῦτο αὐταῖς μέλει· ἡμεῖς δὲ βροτοὶ ὄντες καὶ βροτοὺς ᾄδωμεν.* M.)

Vs. 5.

Vet. Ἡμετέρας χάριτας: τὰ οἰκεῖα ποιήματα.

Vs. 8.

Vet. Σκυζόμεναι γυμνοῖς ποσί: [*λοιδοροῦσαι.*] *τὸ σκύζειν κυρίως ἐπὶ λέοντος, ὅταν τὸ ἐπισκύνιον χαλάσῃ ὀργιζόμενος. λέγεται δὲ ἡ τῶν ὀφρύων κάθεσις ἐπισκύνιον. τοῦτο δὲ ποιεῖ ὁ λέων, ὅταν κυσὶ κυκλωθῇ καὶ μέλλῃ πολεμεῖν αὐτοῖς.*

Vs. 9.

Vet. Ὅτ' ἀλιθίην ὁδὸν ἦνθον: ἤγουν ματαίαν ὁδόν, [*ἀλλοτρίαν,*] *πεπλανημένην· ἀπὸ τοῦ ἀλῶ τὸ πλανῶ.*

1) *Ταῖς Μούσαις.* M. — [*Ἀοιδοῖς:*] *ποιήμασι.* Vat.

5) *Λαμπράν, λευκάν.* M. — *Τὴν ἡμέραν, ἤγουν ὑπὸ τὸν ἥλιον.* M.

6) *Τὸν πρὸς χάριν γινόμενον ἡμέτερον ὕμνον.* M. — [*Πετάσας:*] *τὰς χεῖρας.* r.

7) *Ἡδέως.* M. — *Ὀπίσω.* r.

8) *Ὀργιζόμεναι.* M. — *Ἤγουν κεναῖς χερσίν.* M.

9) *Ὀνειδίζουσαι.* — [*Ἀλλοτρίην:*] *γρ. ἀληθείην, ἀπὸ τοῦ ἀλῶ τὸ πλανῶ.* M.

---

14) //Om. Gen.[b] 16) //Gen.[b] omissis lemmate et glossa *λοιδοροῦσαι.* 17) *ἐπὶ τοῦ λ.* Gen.[b] 17) *ἐπισκήνιον* ante Brub. 19) *ὅτε τοῦτο* pro *τοῦτο δὲ* Gen.[b] 19) *περικυκλωθῇ κ. μ. πρὸς αὐτοὺς παρατάσσεσθαι* M., *μέλλει* Gen.[b] et ante Kiessl. 22) //Gen.[b] c. lemm. *ἀληθείην ἦνθον.* 23) *καὶ πεπλ.* omisso *ἀλλοτρίαν* Gen.[b]

Vs. 10—12.

Vet. (Χηλοῦ: ἐν τῷ πυθμένι, φησί, τοῦ κενοῦ μένουσι κιβωτίου, ὅπου αὐτῶν ἐστιν ἡ συνήθης καθέδρα, ἐγκαμψάμεναι τὴν κεφαλήν M. Gen.[b.] καὶ ἐν τοῖς γόνασι κλίνασαι ὡς λυπούμεναι. M. — Ψυχροῖς δὲ γόνασιν *** Gen.[b.] ὅταν ἄπρακτοι γένωνται. M. Gen.[b.])

Vs. 14—17.

Vet. (Οὐκ οἶδα, φησί, τίς ἐστι νῦν ὃς τὸν ἐπαινοῦντα ἀγαπήσειε καὶ δώροις ἀμείψαιτο. οὐ γὰρ σπεύδουσιν ἄνθρωποι ἀγαθά τινα πράττειν καὶ ἐπαινεῖσθαι, ἀλλ' ὑπὸ κέρδους νενίκηνται, καὶ πάντες πρὸς τὸ λαβεῖν βλέπουσι, καὶ οὐδὲ τὸν τοῦ ἀργύρου ἰὸν ἀποτρίψας τις δοίη τινί. M.)

Vs. 18.

Vet. Ἀπωτέρω, ἢ γόνυ κνήμα: παροιμία ἐστὶ τὸ πορρωτέρω ἡ κνήμη τοῦ γόνατος. τίθεται δὲ αὕτη ἐπὶ τῶν ἀγαπώντων ἑαυτοὺς καὶ ἀγόντων προτιμοτέρους εἶναι ἑαυτοὺς τῶν ξένων· οἱ γὰρ πορρωτέρω οὐδὲν πρὸς ἡμᾶς εἰσιν. ἐνήλλακται δὲ ἡ παροιμία, εἰ λεχθήσεται χωρὶς ὑποδιαστολῆς.

10) [Ὀκνηραί:] ῥάθυμαι. M. — Ἐν τῷ πυθμένι τοῦ κενουμένου κιβωτίου. M.

11) Ἀσθενέσι. M.

12) [Αὔη:] ξηρά. Phil.

13) Τὸν ἀοιδὸν τὸν ἐπαινέσαντα αὐτὸν φιλήσει. M.

14) Ἔργοις. M.

15) Νενίκηνται γὰρ ὑπὸ κέρδους. M.

16) [Ὑπὸ κόλπῳ:] κεκρυμμένας. M. — [Οἴσεται:] λήψεται. M. [αὔσεται:] ἀπολαύσει. Vat.

17) Τὸν τοῦ ἀργύρου ἰὸν τρίψας καὶ καθάρας αὐτὸν δοίη τινί. M.

18) Πορρωτέρω κνήμη γόννος. ἀπωτέρω κνήμη εἴη ἢ γόνυ. ἀπωτέρω ἐσμὲν τοῦ πλουτεῖν, ὥσπερ γόνυ τοῦ πλούτου. Παροιμία ἐπὶ τῶν ἀγαπώντων ἑαυτοὺς καὶ ἀγόντων προτιμοτέρους ἑαυτοὺς τῶν ξένων. r.

---

2) ΕΠΙ ΠΥΘΜΕΝΙ lemm. M. — φησὶ et ἐστιν om. Gen.[b.] 3) ἐγκαλυψάμεναι codd. ὅταν ἄ. γ. in M. deinceps post λυπούμεναι leguntur, unde separavi. 6) γένονται Gen.[b.] 14) //Gen.[b.] hoc initio ἢ γόνυ κνήμας: π. ἐ. πορρωτέρω τὸ γόνυ τῆς κνήμης. τέθειται δέ. 16) ἀγόντων] Glr., λεγόντων vulg. 16) προτιμοτέρους] M. Gen.[b.], προτιμωτέρους vulg. 16) ἑαυτοὺς] Glr., αὐτοὺς vulg., αὑτοὺς Amst., αὐτὸν τὸν χρυσὸν ἔχειν M. — 31) προτιμοτέρους] ex Scholl., προτιμότερον cod.

ἔδει γὰρ οὕτως εἰπεῖν· πορρωτέρω κνήμη γόνυος. εἰ δὲ μετὰ ὑποδιαστολῆς, οὐκ ἐνήλλακται.

Vs. 34—45.

Vet. Ἐν Ἀντιόχοιο δόμοις: οἱ δόμοι, φησί, τοῦ Ἀντιόχου ἄγαν πλούσιοι ἦσαν ὥστε πολλοῖς παρέχειν τροφήν. ἀλλ' οὐδὲν ἤνυσεν ὁ πλοῦτος αὐτῶν πρὸς τὴν νῦν δόξαν, εἰ μὴ ὑπὸ Σιμωνίδου ὑμνήθησαν. [Ἀντίοχος δὲ ὁ βασιλεὺς Συρίας.] τὰ δὲ περὶ Ἀλεύαν τὸν Σίμου πάντα ἀνείλεκται Εὐφορίων. ὁ δὲ Ἀντίοχος Ἐχεκρατίδου καὶ Δυσήριδος υἱὸς ἦν, ὥς φησι Σιμωνίδης.

19) Τί ἐμοὶ αὐτῷ γένοιτο, εἴ σοι δοίην τι τῶν ἐμῶν δηλονότι; M.
20) [Ἄλλου:] ποιητοῦ. r. — Θέλει ἀκοῦσαι. M. — Ἀρκεῖ πᾶσιν Ὅμηρος· οὐ χρεία ἑτέρων ποιητῶν. M. — Οὐ δεῖ οὐδὲ σοῦ οὐδὲ ἄλλου. r.
21) Λέγουσι ταῦτα. r. — Κρείττων. r.
22) Φησὶν ὁ Θεόκριτος. r. — Κατάρατοι. r., ἀθλιώτατοι. M. — Πολύς. M. — Ἐντὸς οἴκου. M.
23) [Ὧδε:] οὕτως. M. — Ὠφέλεια. M.
24) [Ψυχᾷ:] θέλε δοῦναι. r. πρέπει διδόναι. M.
25) [Παῶν:] πολίτας. r. συγγενῶν. M.
26) [Ἐπιβώμια:] θύματα. r. M. — [Ῥέζειν:] θέλε. r. πράττειν, θύειν. M.
27) Ξενοδόχον. Vat.
28) Θεραπεύσαντα, ἱλαρύναντα. M. — Πορεύεσθαι. M.
30) Τεθαμμένος. r.
31) Ἄδοξος ὢν ὀδύρῃ. M.
32. 33) Ὡς τις πτωχὸς καὶ ἀκτήμων. r. — Ὥσπερ τις μακέλη, ἤγουν τῇ κοινῶς τζάπῃ. M. ἤγουν τύλους ἐντὸς τῆς παλάμης ἔχων ἀπὸ τῆς μακέλης γεωργός. M. — [Χεῖρας:] ὅλον καὶ μέρος. M. — [Εὐχήν:] μὴ ἔχων τι. Vat.
34) [Ἀλεύα:] τοῦ υἱοῦ Σίμου. M.

---

4) //Gen.[b] — οἱ δόμοι φ. τ. Ἀντιόχου] M., ἀντὶ τοῦ vulg. 5) πλούσιοι] M. Gen.[b], ut divinavit Geel., πλούσιος vulg. — ἦσαν] add. M. 6) ἤνυσεν] Gen.[b] vulg., om. Reisk. seqq., οὐδὲν αὐτοὺς ὁ πλ. ὠφελήσειεν ἂν εἰς τὸ μέχρι νῦν ᾄδεσθαι, εἰ M. 7) ὑμνήθησαν] M. Gen.[b], ἐμνήσθησαν vulg., ὑμνήσθησαν Gaisf. tac. 7) Circumsepta proscripsit Hemsterhusius. — ὁ] add. Gen.[b] 8) ἦν post βασ. M. et Gaisf. tac. 8) περὶ τοῦ Ἀλεύα τοῦ M. 8) Σίμου] Meinekius Comment. Misc. I p. 52., Σιμίου vulg. 8) ἀνείλεκται] Can. Vulc., ἀνείλακται Gen.[b], ἀνείλεται M., ἀνείλετο vulg., ἀνείλεκτο Reisk. seqq. 9) Ἐφορίων ante Reisk. — *Euphor. fr.* 30. *Mein.* 9) Ἀντίοχος δὲ sine articulo M. 9) Ἐχεκρατίδου] M., Ἐχεκράτιδος vulg. 9) Δυσήριδος] Valesius ex Aristide Vol. I p. 75, Σίριδος M. Gen.[b], Σύριδος vulg. — *Simonid. fr.* 34. *Bgk.* 10) ἦν om. Gen.[b], ἦν υἱός, ὡς Σ. φησὶ M. — 11) αὐτοῦ cod. 13) οὐδει ουδεμον cod. 21) ὑμᾶς pro θύματα r. — θέλε] θέλω cod. 25) τεθναμενος cod. 31) Σιμίου cod., cf. Scholl.

Vs. 35.

Vet. Ἐμετρήσαντο πενέσται: Θεόπομπός φησι τοὺς δουλεύοντας τῶν ἐλευθέρων Πενέστας καλεῖσθαι παρὰ Θεσσαλοῖς, ὡς παρὰ Λακεδαιμονίοις Εἵλωτας.

Vs. 36—39.

Vet. Πολλοὶ δὲ Σκοπάδαισιν: (πολλοὺς δὲ μόσχους εἶχον οἱ Σκοπάδαι, τουτέστι πολλὰς ἀγέλας. M. Gen.[b.]) ἐκ δὲ τούτου τὸν πολὺν πλοῦτον δηλοῖ. οἱ δὲ Σκοπάδαι Κρανώνιοι τὸ γένος. Κράνωνα δὲ πόλις Θεσσαλίας, ὅθεν Σκόπας ὁ Κρανώνιος Κρέοντος καὶ Ἐχεκρατείας υἱός. καὶ Σιμωνίδης ἐν Θρήνοις. Σκοπάδαι οὖν οἱ Θεσσαλοί, Κρεώνδας δὲ ὁ Σκόπας. — (Ἐνδιάασκον: ἔτρεφον. ἔνδιον ἡ διατριβή, ἔνδειον δὲ τὸ δειλινόν. Vulc.)

Vs. 44.

Vet. Ἀοιδὸς ὁ Κήϊος αἴολα φωνέων: τὸν Σιμωνίδην φησί, παρόσον ἐκεῖνος τοῖς προειρημένοις ἐνδόξοις ἀνδράσι τῶν Θεσσαλῶν ἐπινίκια ἔγραψε καὶ θρήνους.

35) Ἤγουν τροφὴν κατὰ μῆνα ἔλαβον ἐν μέτρῳ οἱ πένητες. M.

36) Τοῖς τῶν Θεσσαλῶν ἄρχουσι ἐρχόμενοι πρὸς τοὺς σηκούς, ἤγουν τὰς μάνδρας. M.

37) [Μόσχοι:] ἀγέλαι. r. — Κερασφόροις. M. — Ἐμυκήσαντο, συνηυλίσθησαν μυκώμενοι. M.

38) Πολλά. M. ἄσπετα. r. — Διῃτῶντο, διέτριβον. M.

40) Ὄφελος. M. — Ἐξέχεαν. M.

41) Ναῦν. M. — Χαλεποῦ. M.

42) Ἄμνηστοι, ἐπιλελησμένοι. M. — Ἤγουν τὸν πολὺν ἐκεῖνον ὄλβον ἀφέντες. M.

43) Δειλαίοις, ἀθλίοις νεκροῖς. M. — Χρόνους. M.

44) Σιμωνίδης ὁ λυρικὸς ποικίλα ᾄδων. M.

---

2) //Gen.[b.] sine lemmate, ubi Θεόπεμπτος. — *Theopomp. fr.* 134. 3) τοῖς ἐλευθέροις M. 4) εὔλωτας Gen.[b.], εὔλητας M. 6) //Gen.[b.] c. lemm. ἐλαυνόμενοι. — φησὶ pro δὲ M. 7) ἔσχον καὶ οἱ ἐν Σ. Gen.[b.] 7) αἶγας pro ἀγέλας Gen.[b.] 7) ἐκ δὲ τούτου τὸν] Gen.[b.], ἐκ τ. δὲ τὸν M., ἐκ τούτου vulg. 9) Κράνωνα] M. Gen.[b.] et ante Heins., Κράνων vulg. 9) πόλις Σικελίας M. 10) Κρανώνης M. Gen.[b.] 10) Ἐχεκρατείας] Lud. Dindorfius in Thes., Ἐχεκρατίας r. vulg., Ἐχεκράτου Gen.[b.], Ἐχεκρα M. 10) *Simonid. fr.* 33. *Bgk.* — καὶ Σ. ἐν θρ. om. M., ἐν ὕμνοις Vulc. 11) Κρεόνδας Gen.[b.] et vulg. ante Heins. 15) //Gen.[b.] c. lemm. ὁ Κήιος. In M. hoc scholii initium: Κήιον τὸν Σιμ. 17) ἔγραψαν Gen.[b.] — 27) ὄλβον] ὄχλον cod.

Vs. 48.

Rec. (*Τρικλινίου.* *Ἀριστῆας*: *ἀριστέας λέγει Λυκίων, Σαρπηδόνα καὶ Γλαῦκον· οὗτοι εἰς ἐπικουρίαν ἦλθον τῶν Τρώων, τῶν Λυκίων ὄντες ἄρχοντες.* M.)

Vs. 49.

Vet. *Κύκνον ἔγνω*: *Κύκνον λέγει τὸν Ποσειδῶνος καὶ Καλύκης, τὸν ἀνῃρημένον ὑπὸ Ἀχιλλέως. λευκὸς γὰρ ἦν τὴν χροιὰν ἐκ γενετῆς, ὥς φησιν Ἑλλάνικος. διὸ καὶ θῆλυν αὐτὸν εἶπεν ὁ Θεόκριτος διὰ τὴν χροιάν. Ἡσίοδος δέ φησιν αὐτὸν τὴν κεφαλὴν ἔχειν λευκήν· διὸ καὶ ταύτης τῆς κλήσεως ἔτυχεν.*

Vs. 54. 55.

Rec. (*Τρικλινίου.* *Ἐσιγάθη δ' ἂν ὑφορβός*: *ἐν Ὀδυσσείᾳ καὶ τὰ περὶ τούτων Ὅμηρος ἱστορεῖ. ὁ μὲν γὰρ συφορβὸς ἦν Ὀδυσσέως, ὁ δὲ βουκόλος.* M.)

45) *Ὀργάνου εἶδος ἡ βάρβιτος.* M.
46) *Στρατηγοῖς.* M. [*ὁπλοτέρους*:] *νεωτέρους.* Vat.
47) *Νικηταί· οὐ γὰρ στεφανοῦνται ἵπποι.* M.
48) [*Ἀριστῆας*:] *ἤγουν κατὰ τὴν τῆς Ἰλίου ἅλωσιν.* M.
51) *Ἤγουν χρόνους δέκα πλανηθείς.* M.
52) *Εἰς τὰ ἔσχατα τοῦ ᾅδου.* M.
53) *Τὸ σπήλαιον, εἰς ὃ αὐτὸν κατέκλεισεν.* M.
55) [*Ἀγελαίας*:] *τῆς ἀγέλης.* 12.
56) *Πόνον.* M. — [*Περίσπλαγχνος*:] *πονηρός.* M.
57) *Ἰωνικοῦ. Ὁμήρου.* r. *τοῦ Ὁμήρου ἀπὸ Ἰωνίας, ἤτοι τῆς Χίου.* M.
59) *Τὰ γὰρ χρήματα τῶν θανόντων οἱ ζῶντες εἰς τὰς ἑαυτῶν ἡδονὰς ἀναλίσκουσι· διὰ τοῦτο δὸς τοῖς φίλοις.* r. — *Ἐσθίουσι.* M.
60) *Κόπος.* M. — *Τῷ αἰγιαλῷ.* M.
61) *Εἰς τὴν χέρσον ἐκ θαλάσσης πέμπει.* M.
62) *Μέλαιναν.* M. — *Καθαρῷ.* r. [*διειδέϊ*:] *γλυκύ.* Vat.
63) [*Βεβλημένον*:] *τετρωμένον.* M. — [*Παρελθεῖν*:] *νικῆσαι.* r. M.
64) *Φθειρέσθω.* M.
65) *Πλοῦτος.* r. — *Ἐπιθυμία.* M. — *Ἐκεῖνον τὸν φιλοκερδῆ.* M.

---

6) //Gen.[b] c. lemm. *ἐγώ*. 7) *Καλύκης*] Nic. Heinsius ad Ovid. Her. XIX, 133, *Κάϋκος* M. Gen.[b] et ante Heins., *Κήϋκος* vulg. 8) *Hellanic. fr.* 31. 9) *Hesiod. fr.* 189. 9) *φ. τὴν κεφ. αὐτοῦ ἔχει φησὶ λ.* Gen.[b] — 23) *ἀγέλας* cod. 32) In *r. adduntur ex Suida s. v. *παρελθεῖν*: *Δημοσθένης ἐν τῷ περὶ Κτησιφῶντος· καὶ* (om. Suid.) *παρελθὼν αὐτοὺς* (Suid. *ἀντὶ τοῦ*) *εἰσελθών*.

Vs. 71. 72.

Vet. Οὔπω μῆνας ἄγων ἔκαμ' οὐρανός: οὔπω, φησίν, ὁ πᾶς διῆλθεν αἰών· ἔτι ἔσονται πολλοὶ νικηφόροι, ποιητῶν χρείαν ἔχοντες. ἐκ γὰρ τῶν ἵππων καὶ τῶν τροχῶν τοὺς ἱερονίκας δηλοῖ. ἢ τροχὸν ἅρματος τὸν τοῦ ἡλίου λέγει, ἀντὶ τοῦ πολλαὶ ἔσονται μεταβολαί.

Vs. 76.

Vet. Ἤδη νῦν Φοίνικες ὑπ' ἡελίῳ δύνοντι: νῦν τοὺς τὴν Καρχηδονίαν οἰκοῦντάς φησι Φοίνικας. οὗτοι γὰρ συνεχῶς ἐπεστράτευσαν Συρακουσίοις, ὡς λέγεται καὶ παρὰ Πινδάρῳ. οἱ δὲ Φοίνικες ἄποικοι Τυρίων.

Vs. 83. 84.

Vet. Καὶ πότνι' Ἀθάνα κούρη θ' ἃ σὺν τῇ μητρί:

68) Ζητήσαιμι ἐκεῖνον. M. — Ἤγουν χαρίσομαι. M.

69) Λέγω σὺν Μούσαις. r. ἤγουν ὕμνον τινὰ καὶ ᾠδήν τινα προσκομίσας. M.

71) Οὐ κάμνει γὰρ τοὺς μῆνας καὶ τοὺς χρόνους ποιῶν. τοῦτο δὲ διὰ τὸ ἀεὶ κινεῖσθαι αὐτὸν ἔφη. M.

73) Ἀνδρεῖος ἀνήρ. M. — Χρείαν ἕξει. M.

74) Κατορθώσας νίκην. M. — [Βαρύς:] ἰσχυρός. M. — [Αἴας:] ἐκεῖνος ὁ σωηρ (?) ὅσον ἢ Ἀχιλλεὺς ἢ ἄλλοι. r.

75) Ἤγουν τῆς Τροίας, ἐν ᾗ ὁ Σιμόεις ποταμός. M. — Τάφος. r. μνημεῖον. M.

76) Οἱ Καρχηδόνιοι. M.

77) Εἰς τὸ τέλος τῆς Λιβύης. M. — Πόδα. M. — Τοὺς Συρακουσίους δηλονότι νικήσαντας. M.

79) Βαρούμενοι. M. — Σάκη τὰ κοινῶς σκουτάρια. M. — Ἐξ ἰτέας δένδρου κατεσκευασμένοις. M.

81) Ὁπλίζεται. M. — Τὴν περικεφαλαίαν. M.

83) Πολυκτημόνων, ἢ Συρακουσίων τῶν πολλοὺς κλήρους ἐχόντων. M.

---

2) //Gen.[b] c. lemm. οὕτω μῆνας ἄγων. 3) αἰὼν] M. Gen.[b], ut Geelius conjecit, ἀγὼν vulg. 4) ἕξοντες M., ubi desunt ἢ τρόχον seqq. 5) τοῦ ἡλίου] Gen.[b], τῇδε vulg. 8) //Gen.[b] c. lemm. ὑπὸ ἡελίου δίνοντι. Scholion etiam in r. sine lemmate. — νῦν] add. Gen.[b], quae vox spectat Idyll. XVII, 86. 9) τὴν] Gaisf. et Gail. tacite ex M., ut videtur, om. Gen.[b] r. vulg. — Καρχιδονίαν ante Brub., Καρκηδονίαν r. 9) φησὶν οἰκοῦντας M., rectius judice Duebnero. 9) οἵτι γὰρ Gen.[b] 10) ἐστράτευσαν r., ubi desunt ὡς λέγ. seqq. — Συρρακ. Gen.[b] et ita in seqq. 11) δὲ] M. Gen.[b], γὰρ vulg. 13) //Gen.[b] c. lemm. θ' ἡ σὺν μητρί. — 21) ποιήσας pro σωηρ conj. Duebn. 26) ἐνίκησαν cod.

τὴν Δήμητραν λέγει καὶ τὴν Περσεφόνην εἰληχέναι τὸ τῶν Ἐφυραίων ἄστυ, ἤγουν τὰς Συρακούσας, παρόσον Κορινθίων ἄποικοι οἱ Συρακούσιοι. — Παρ' ὕδασι Λυσιμελείας: ὡς Θουκυδίδης φησί, Λυσιμέλεια λίμνη ἐν Συρακούσαις.

Vs. 85.

Vet. Ἐχθροὺς ἐκ νάσοιο: τοὺς Καρχηδονίους ἐκ τῆς Σικελίας.

Vs. 86.

Vet. Σαρδόνιον κατὰ κῦμα: τὸ κατὰ τὴν νῆσον τὴν Σαρδὼ ⟨πέλαγος⟩, ὃ καλεῖται Σαρδῶον· διὰ τούτου γάρ ἐστιν ὁ εἰς Καρχηδονίαν πλοῦς.

Vs. 93.

Vet. Σκιπναῖον δὲ ἑσπερινόν. — (⟨Σκνιπαῖον⟩ ἐπισπεύδοιεν: τὸν ὄψιον. Gen.[b.]) ἢ παρὰ τὴν σκνῖπα ἢ παρὰ ⟨τὸ σκνῖφος⟩ τὸ κνέφας πεποίηται. σκνὶψ γὰρ ζῷόν ἐστι βραδυκίνητον.

Rec. (Σκνὶψ σκνιπὸς ζωΰφιον εὐτελὲς κωνωποειδές, ὃ καὶ κνὶψ λέγεται· καὶ τὸ μὲν σκνίψ, ὥς φησιν ὁ Χοιροβοσκός,

84) Ἐκληρώσω. M. — Ἐν ὕδασι. M. — [Λυσιμελείας:] λίμνη ἐν Συρακούσαις ψυχρά. M.

87) Ὀλίγους εὐαριθμήτους ἀπὸ ἀναριθμήτων. M.

89) Ἔφθειραν τελείως. M.

91) Λιπανθεῖσαι. M.

92) Ἀνὰ τὸ πεδίον διερχόμενοι βληχήσοιντο. M. — Μάνδραν. M.

93) Ἀργόν. r. M. — Σπουδαίως πορεύεσθαι ποιήσουσι. M. — Τὸν ὁδηγὸν αὐτῶν, ἤτοι τὸν βουκόλον. M.

---

1) φησὶ pro λέγει Gen.[b.] 1) εἰληχέναι] Valcken. ad Herod. VII, 53, εἰληφέναι M. vulg. 2) Ἐφυραίων] Gaisf. tanquam ex M., ἐλαιφυρέων M.[3.4.] Gen.[b.], Συρακουσίων vulg. 2) ἤγουν] M. Gen.[b.], οἷον vulg. 2) Κορινθίων εἰσιν ἀπ. Gen.[b.] 3) //Gen.[b.] sine lemm., ubi ὁ pro ὡς. 4) Λυσιμέλεια] Gen.[b.], Λυσιμελείας vulg. — *Thucyd. VII*, 53. — λίμνη] Reinesius et Toup., λιμὴν Gen.[b.] et vulg. ante Kiessl. 6) //Gen.[b.] 9) //Gen.[b.] c. lemm. κατὰ κῦμα. 9) τὸ] Geel., ὁ vulg., ἤγουν M. — τὴν post νῆσον] add. M., ubi Σαρδῶ, omissis ὃ καλ. Σαρδ. 10) διὰ ... πλοῦς] hoc loco M., ab initio scholii vulg. — τοῦτο Gen.[b.] 11) Καρχηδονίαν] M. Gen.[b.], Καρχηδόνας vulg., Καρχηδόνα Kiessl. 13) //Om. Gen.[b.] prius scholiolum. 14) ὄψιον] ὄφιν cod. 14) //Gen.[b.] — σκνῖπα] Hoeschel. ad Phrynich. p. 399 Lob., σκίπαν vulg., σκνιπαίαν δὲ Gen.[b.] 15) τὸ σκν. suppl. G. Dindorf. Thesaur. VII p. 414. 15) σκνὶψ] Gen.[b.], κνὶψ vulg. Praemittitur ei voci in Gen.[b.] lemma σκνιπαῖον, omissis γὰρ et ἐστι.

κλίνεται διὰ τοῦ φ καὶ διὰ τοῦ π, τὸ δὲ κνὶψ διὰ μόνου τοῦ π. ἀπὸ τούτου σκνιφὸς καὶ κνιπός, μεταγομένης τῆς γενικῆς εἰς εὐθεῖαν, λέγεται ὁ μικρολόγος καὶ ὁ μικρόψυχος. N.) — (Τρικλινίου. *Σκνιπαῖον*: σκνίψ ἐστι ζῷον βραδυκίνητον, καὶ ἀπὸ τούτου σκνιπαῖον λέγει τὸν ἀργὸν βουκόλον, καὶ τροπῇ τοῦ ψιλοῦ εἰς δασὺ *σκνιφαῖον*. λέγοιτο δ' ἂν οὕτως ἀπὸ τοῦ εἰς κενὸν ἕπεσθαι ταῖς βουσίν. εἴη δ' ἂν τοῦτο καὶ ἐπὶ τῶν ἀργῶν ὁδοιπόρων· καὶ οὗτοι γὰρ τὰς βοῦς ὁρῶντες εἰς τὸν σταθμὸν ἐρχομένας, ἑσπέρας καταλαβούσης, καὶ αὐτοὶ σπεύδουσιν εἴς τι καταγώγιον ἀφικέσθαι. σπεύδω ἐγώ, ἐπισπεύδω δὲ ἕτερον, ἀντὶ τοῦ σπουδάζειν ποιῶ. M.)

Vs. 94—97.

Vet. *Νειοὶ δὲ νέοιντο*: τουτέστιν αἱ κεχερσωμέναι χῶραι νεάζοιντο πρὸς τὸν σπόρον, τουτέστιν ἀροτριοῖντο. — *Ἡνίκα τέττιξ ποιμένας ἐνδείους πεφυλαγμένος*: ἡνίκα ὁ τέττιξ ἐπὶ τῶν ὑψηλῶν κλάδων ἠχεῖ κατὰ τὴν μεσημβρίαν τοὺς ποιμένας φυλασσόμενος. ἐλάσαντες γὰρ οὗτοι ὑπὸ τὴν σκιὰν τὰ θρέμματα ἐν τῇ μεσημβρίᾳ θηρῶσι τοὺς τέττιγας. τὸ δὲ *διαστήσαιντο* ἀντὶ τοῦ διυφήνειαν. — (*Ἀραχνίαν δ' ἐς ὅπλα*: τοῦτό φησιν, ὅτι μὴ γένοιτο τῷ Ἱέρωνι πολέμους ἔχειν συχνούς, ἀλλὰ κειμένων τῶν ὅπλων καὶ μὴ χρωμένων, ἱστὸν ἐν αὐτοῖς αἱ ἀράχναι στήσαιντο. M. Gen.[b.])

94) *Αἱ κεχερσωμέναι χῶραι νεάζοιντο πρὸς τὸν σπόρον*, ἤγουν ἀροτριοῖντο. ἢ αἱ ἀνάροτοι, αἵτινες ἀροτριῶνται εἰς χρόνον ἕνα καὶ πάλιν οὐκ ἀροτριῶνται εἰς χρόνον, καὶ πάλιν διαλιπόντος ἄλλου χρόνου εἰς ἕνα χρόνον ἀροτριῶνται καὶ εἰς ἄλλον οὐκ. r. — *Εἰς σπόρον*, ἤγουν εἰς τὸ σπαρῆναι. M.

95) [*Ἐνδεία*:] δειλινούς. M. γράφεται *ἐνδείους* καὶ δειλινούς. Vat. — *Φυλασσόμενος* μὴ ἀγρευθῇ ὑπὸ τούτων. M.

96) *Τοῖς ἄκροις τῶν δένδρων*. M.

97) *Τφάνειαν*. M. — *Πολέμου*. r. πολέμου, ἐν ᾧ βοαὶ γίνονται. M.

98) *Μέγα*. M.

---

5) *σκνιφαῖον* et postea *σκνιπαῖον* cod. 13) //Gen.[b.] c. lemm. *ἐκπονέοντο*. 13) *κεχαραγμέναι* Gen.[b.], *ἄρουραι* M. 15) //Gen.[b.] c. lemm. *ἐνδεία*. 19) *διαστήσιαν* Gen.[b.] 20) Schol. in Gen.[b.] extat ante duo praecedentia. 20) *ὅτι μηδὲ* Gen.[b.] 21) *κείμενα τὰ ὅπλα καὶ μὴ χρώμενα ἐν αὐτοῖς ἱστὸν αἱ ἄ. στήσαντο* Gen.[b.] — 29) *δειληνοὺς* Vat.

Vs. 99. 100.

Vet. *Καὶ πόντου Σκυθικοῖο*: τοῦ λεγομένου Εὐξείνου. — *Ἀσφάλτω δήσασα*: Ἡρόδοτος ἱστορεῖ, ὅτι ἀσφάλτῳ ἔδησεν ἡ Σεμίραμις τὸ τεῖχος (τῆς Βαβυλῶνος M.) ἀντὶ πήλου. ([τάδε γὰρ αὐταῖς λέξεσί φησι· „Ποταμός ἐστι περὶ τὴν Βαβυλῶνα καλούμενος Ἴς· οὗτος ἅμα τῷ ὕδατι θρόμβους ἀσφάλτου ἀναδιδοῖ πολλούς. ἔνθεν ἡ ἄσφαλτος ἐς τὸ Βαβυλῶνος τεῖχος ἐκομίσθη.“ καὶ πάλιν· „ἑλκύσαντες δὲ πλίνθους ἱκανάς, ὤπτησαν αὐτὰς ἐν καμίνοισι, τέλματι χρεόμενοι ἀσφάλτῳ θερμῇ.“ „ἡ πόλις δὲ τοιαύτη δή τις κέεται ἐν πεδίῳ μεγάλῳ, μέγεθος ἐοῦσα μέτωπον ἕκαστον κ' καὶ ρ' σταδίων τετραγώνων. οὗτοι οἱ στάδιοι τῆς περιόδου τῆς πόλεως γίνονται συνάπαντες π' καὶ υ'.“ „τὸ τεῖχος δὲ ν' μὲν πήχεων βασιληίων ἐὸν τὸ εὖρος, ὕψος δὲ διηκοσίων. ὁ δὲ βασιλήιος πῆχυς τοῦ μετρίου ἐστὶ πήχεως μέζων τρισὶ δακτύλοισι.“ M.])

Vs. 101.

Vet. *Εἷς μὲν ἐγώ*: ὁ ἐγκωμιάζων δηλονότι.

Vs. 104. 105.

Vet. *Ἐτεόκλειοι θυγατέρες*: Ἐτεοκλέους θυγατέρας ἔφη τὰς Χάριτας διὰ τὸ Ἐτεοκλέα τὸν Κηφισοῦ πρῶτον ἀποθῦσαι Χάρισιν ἐν Ὀρχομενῷ τῷ Μινυείῳ. — *Ἀπεχθόμενόν ποτε Θήβαις*: ἀπεχθόμενον δὲ αὐτὸν ἔφη ταῖς Θήβαις διὰ τὰ τεθρυλλημένα ἐπὶ Ἐργίνῳ τῷ Ὀρχομενίῳ. οὗτος γάρ,

99) Ἐπέκεινα τοῦ πόντου τῶν Σκυθῶν, ἤτοι τῆς Μαιώτιδος λίμνης. M. — Ἤγουν τὴν Βαβυλῶνα. M.
100) Ἡρόδοτος. r. — Βαβυλωνίαν. r.
101) Εἷς εἰμὶ καὶ ἐγὼ τῶν παρὰ Μουσῶν πεφιλημένων. M.
102) Αἱ Μοῦσαι. M. — [*Ἵκοι*:] ἐπέλθοι. Vat. εἴθ' ἔλθοι. r. μέλοι. ἔλθοι ποιηταῖς. r.
103) Αἰχμητήν, πολεμιστήν. M.
105) Μισοῦντα. M.

---

2) //Om. Gen.[b.] 3) //Gen.[b.] c. lemm. *δήσασα*. — *Herod. I*, 178. 179. 5) αὐταῖς λέξεσι] ἐν ταῖς λέξαισι cod. 18) //Om. Gen.[b.] 20) //Gen.[b.] hoc initio: θυγατέρας Ἐτεοκλέος ἔφη. 21) διὰ τὸν Ἐ. Κηφισσοῦ Gen.[b.], Χάριτας τοῦ υἱοῦ Κηφισσοῦ mediis omissis M. 22) //Gen.[b.] c. lemm. *Θήβαις*. 23) Θήβαις, ὅτι ἀναιρεθέντος mediis omissis M. 24) Ἐργίνῳ] Brub. mg., Ὀργίλῳ Gen.[b.] vulg. — 30) μέλοι] Wart., μέλλοι cod.

ἀναιρεθέντος τοῦ πατρὸς αὐτοῦ Κλυμένου ὑπὸ Θηβαίων, εἷλε τὰς Θήβας καὶ φόρους ἔταξεν, ἕως οὗ Ἡρακλῆς τοῦ δασμοῦ τοὺς Θηβαίους ἀπέλυσε, μάχῃ νικήσας τοὺς Ὀρχομενίους.

Vs. 106.

Vet. *Ἄκλητος μὲν ἐγὼ μίμνοιμί κεν*: *οὐκ ἂν ἀνέλθοιμι, (ἀλλὰ μενῶ.* M.) *καλούμενος δὲ μεθ' ὑμῶν ὦ Χάριτες καὶ τῶν Μουσῶν πορεύσομαι θαρρῶν.*

Idyll. XVII.

Τὸ παρὸν εἰδύλλιον εἰς Πτολεμαῖον τὸν Φιλαδέλφου γέγραπται, Ἀρατείᾳ δὲ κέχρηται εἰσβολῇ. — (Δωρίδι. M.) (*Τοῦ Τρικλινίου. Καὶ τόδε ἐκ στίχων σύγκειται δακτυλικῶν ἑξαμέτρων ἀκαταλήκτων ρλη', ὧν τελευταῖος· φθέγξομαι ἐσσομένοις, ἀρετήν γε ἐκ Διὸς αἰτεῦ.* M.)

Vs. 1—4.

Vet. [*Ἐκ Διὸς ἀρχώμεσθα, καὶ εἰς Δία λήγετε Μοῖσαι· ἀθανάτων τὸν ἄριστον ἐπὴν ἀείδωμεν ἀοιδαῖς. ἀνδρῶν δ' αὖ Πτολεμαῖος ἐνὶ πρώτοισι λεγέσθω, καὶ πύματος καὶ μέσος· ὁ γὰρ προφερέστατος ἀνδρῶν.*] (*Ἐκ Διὸς ἀρχώμεσθα*: *Ἀράτειος ἡ εἰσβολή.* M. Gen.[b.]) *Ὁ νοῦς. πᾶν, φησί, ποίημα ὅταν γράφω-*

106) *Εἰς τοὺς οἴκους τῶν καλούντων.* M.
107) *Ἰοίμην, ἐλεύσομαι.* M.
108) [*Καλύψω*:] *κρύψω.* M.
109) *Χωρίς.* M.
1) [*Ἐκ Διὸς λήγετε*:] *γρ. ἐς Δία.* Vat.
3) *Ταττέσθω.* M.

---

2) *δρασμοῦ* Gen.[b.], *ἕως Ἡ. ἐλθὼν ἀπέλυσεν αὐτοὺς τοῦ δασμοῦ* M. 5) //Gen.[b.] c. lemm. *ἄκλητος μὲν ἐγώ.* 5) *ἀνέλθοιμι*] Gen.[b.], *ἀπέλθοιμι* vulg., *ἀπέλθω* M. 12) *ρλη'*] M. rec., quem numerum ipsa antiqua manus in fine notavit (cf. Gl. Vs. 137), *ρκε'* pr. man. errore ex antecedente Megara nato, in cujus fine notatum *στίχοι ρκε'*. Ceterum codex 138 versus habet propter versum post Vs. 110 insertum. 19) Post *εἰσβολὴ* in Gen.[b.] adhaeret hypothesis, in M., ubi pro lemmate praefixum *ἐκ τῶν παλαιῶν σχολίων*, pars ejusdem, vid. Hypoth. Ex Cant. afferuntur *ἐκ τοῦ Ὀρφέως τὸ προοίμιον. Ἄρατος ἡ εἰσβολή.* In p. inscriptioni adhaerent verba *ἐκ τοῦ Ἀράτου τὸ προοίμιον.* 20) //Gen.[b.], ubi *ἄλλως*: *πᾶν ποίημα* sine *ὁ νοῦς.* — 25) *γρ.*] *ἤγουν* cod.

μεν, ὑμνοῦμεν τὸν Δία ἐν πρώτοις καὶ μέσοις καὶ πυμάτοις· καὶ Πτολεμαίου οὖν μνησθῶμεν ἐν ἀρχῇ καὶ ἐν μέσῳ καὶ ἐν τέλει τοῦ ποιήματος.

Vs. 9—11.

Vet. Ἴδαν ἐς πολύδενδρον: ὥσπερ, φησίν, εἰς πολύδενδρον ὕλην ὑλοτόμος ἐλθών, ἔργου πολλοῦ προκειμένου, σκοπεῖ πόθεν ἄρξεται, οὕτω δὴ κἀγὼ ἀπορῶ, πόθεν [πρὸς ὕμνον] εἰσβάλλω. ἴδας δέ φασι πάντα τὰ ὑψηλὰ ὄρη ἀπὸ τοῦ δύνασθαι κατιδεῖν (καὶ σκοπεῖν Gen.[b]) ἀπ' αὐτῶν πάντα.

Vs. 14.

Vet. Λαγίδας Πτολεμαῖος: τὸν τοῦ Λάγου φησίν, ὃς ἦν πατὴρ τοῦ Φιλαδέλφου. — Ὄκα φρεσίν: ἀντὶ τοῦ ὅταν βουλεύσηται.

Vs. 16—19.

Vet. Τῆνον καὶ μακάρεσσι: τὸν Σωτῆρά φησι Πτολεμαῖον τὸν Λάγου, καθὸ ἐξεθεώθη ὑπὸ τοῦ υἱοῦ.

4) [Πύματος:] ὕστερος. M. — Κρείττων. M.
6) Ἔτυχον. r. σοφῶν ἐπέτυχον ποιητῶν. M.
8) Τιμή. M. βασιλείαν θεῶν δεδώκατε. r. — Οἱ γὰρ ὕμνοι, οὓς ποιοῦμεν εἰς βασιλέας, εἰσὶ γέρας τι θεῶν καὶ τιμή. *r.
10) Ζητεῖ. M. — [Ἄδην:] δαψιλοῦς λόγου. M.
11) Οὕτω καὶ ἐγὼ ἀπορῶ, πόθεν πρὸς ὕμνον εἰσβάλλω. *r. — Πάρεστι. r. M.
13) [Οἷος:] μέγας. M. δυνατός, μέγας ἦν. Vat.
14) Ὁ τοῦ Λαγωοῦ υἱός. M.
15) Καὶ Καλλίμαχος· βουλὰν ἄν. *r. — [Οἷος:] δυνατός. M.
16) Ὁ Ζεὺς ἴσης τιμῆς ἠξίωσεν. M.
18) Κατεσκεύασται. M. δύο εἰσὶ ῥήματα τὸ *** *r.

---

1) τὸν Δία post πυμάτοις Gen.[b] 1) μέσοις καὶ πυμάτοις] Gen.[b], πυμ. κ. μέσ. vulg. 2) καὶ ante Πτ. om. Gen.[b], ubi eadem vocula ante ἐν ἀρχῇ inserta. 2) καὶ ἐν μ.] Gen.[b], ut conjecit Geelius, καὶ μ. vulg. — μέσοις καὶ ἐν πυμάτοις τ. π. Gen.[b] 5) //Gen.[b] — ὥσπερ φ. εἰς πολ. ὕλην] M. et sine φησὶν Gen.[b], ὡς περὶ τὴν Ἴδην τὴν πολ. vulg. 7) οὕτως Gen.[b] — δὲ Gen.[b] Kiessl. 7) πρὸς ὕμνον om. M. Gen.[b] 8) εἰσβαλῶ Gen.[b], εἰσβάλλω τοῖς ἐπαίνοις M. 8) πάντα et ὑψηλὰ om. Gen.[b] 9) κατιδεῖν] M. Gen.[b], ἰδεῖν vulg. 9) ἀπ' αὐτῶν] hoc loco M. Gen.[b], post ἀπὸ τοῦ vulg. 9) πάντα om. Gen.[b], cujus loco τὰ πόρρω κείμενα M. 11) //Gen.[b] — τὸν] Gen.[b], τοῦ Πτολεμαίου vulg. 11) Λάγου] Valck., Λαγοῦ vulg., γαγοῦ Gen.[b], λαγωοῦ M. — φησὶν om. Gen.[b] 12) //Om. Gen.[b] 15) //Gen.[b] 16) τὸν] (Gen.[b]) et Kiessl. auctore Valckenario ad Adon. p. 355, τοῦ vulg. — Λάγου] Valck., Λαγοῦ vulg. 16) καθὰ Gen.[b] — ἐξεώθη ante Reisk., ἐξεθεώθην Gen.[b] — 20) τι] το cod. 26) Non extant inter reliquias Callimachi.

Rec. (Τὸν Σωτῆρά φησι Πτολεμαῖον, τὸν πατέρα του Λαγωοῦ, ὅν φασιν ἀπαθανατισθῆναι παρὰ θεῶν. ἀποτείνεται δὲ καὶ εἰς τὸν μέγαν Ἀλέξανδρον, ὅν φασι καὶ αὐτὸν ἀπαθανατισθῆναι. M.)

Vs. 23—26.

Vet. Χαίρων υἱωνῶν περιώσιον υἱωνοῖσι: χαίρων ὁ Ἡρακλῆς ἐπὶ τοῖς τῶν ἐγγόνων υἱοῖς καὶ ἀπογόνοις ἀποθανατισθεῖσιν. ἀποτείνει δὲ [τὸν λόγον] εἴς τε τὸν μέγαν Ἀλέξανδρον καὶ εἰς τὸν Πτολεμαῖον· ἀμφότεροι γὰρ ἦσαν ἀφ' Ἡρακλέους. τὸ δὲ ἄμφω ἀντὶ τοῦ τοῖς δυσί, τῷ Πτολεμαίῳ καὶ τῷ Ἀλεξάνδρῳ. — (Θεοὶ νέποδες: οἷον μηκέτι ζῶντες μηδὲ κινεῖν πόδα δυνάμενοι θεοὶ ὠνομάσθησαν. M. Can. Gen.[b.] Vulc.)

Vs. 28—33.

Vet. (Τῷ καὶ ἐπεὶ δαίτηθεν: τὸν Ἡρακλέα φησίν, ὃν ἐκ τῆς τῶν θεῶν εὐωχίας καθιστᾶσιν εἰς τὸν εὔδιον τόπον Ἀλέξανδρος καὶ Πτολεμαῖος. Gen.[b.]) — Ὑπωλένιον δὲ τὴν ὑπὸ μασχάλην οὖσαν.

Rec. (Τοῦ Τρικλινίου. Τὸν Ἡρακλέα φησὶν ἐκ τῆς τῶν θεῶν εὐωχίας ἐλθόντα δοῦναι Πτολεμαίῳ καὶ Ἀλεξάνδρῳ τοῖς

19) Σύνεδρός ἐστι. M. — [Πέρσησι:] ἐπεὶ αὐτοὺς κατετροπώσατο. M. — [Αἰολόμιτρας:] ποικίλως τὰ στρατιωτικά. M.

20) Ὁ θρόνος τοῦ κτείναντος τοὺς κενταύρους. M.

21) Ἐστήρικται. M.

22) Ἑορτάς. M.

23) Μέγα. M. — Τοῖς ἐκγόνοις. M.

24) Ἐξέβαλε. M.

25) Μηκέτι κινεῖν τοὺς πόδας δυνάμενοι θεοὶ ὠνομάσθησαν. r.

27) Ἀνάγονται. M.

28) [Τῷ:] οὗ χάριν. M. [τῷ:] καὶ διό. Vat. — Ἐξ εὐωχίας τῶν θεῶν. M. — Ἦλθεν. M.

29) Ἥβης. r.

31) Ῥόπαλον. r. M.

---

6) //Gen.[b.] c. lemm. χαίρων υἱωνῶν. 7) ὁ om. Gen.[b.] 7) ἐκγόνων Gaisf. tac. 8) ἀποτείνεται Gen.[b.], ubi deest τὸν λόγον, ut supra in M. 8) τε et τὸν ante Πτ. om. Gen.[b.] 9) ἐξ Ἡρ. ἦσαν Gen.[b.] 10) ἄμφω] Gen.[b.], ἀμφοῖν vulg. — ἀντὶ Πτολεμαίου καὶ Ἀλεξάνδρου Gen.[b.] 12) θεοὶ ὠν. om. Can. Vulc. 16) καθιστᾶσιν] Duebn., καθίστησαν cod. 17) //Om. Gen.[b.] — 33) Adduntur in r. tres glossae Suideae: σκυτάλαι, σκυτάλη, βακτ. et σκυτάλη, ἐπιστολὴ .... ἐπιμηκές.

αὐτοῦ ἀπογόνοις, τῷ μὲν τόξον καὶ φαρέτραν, ἤτοι οἰστοδόκην, τῷ δὲ σκύταλον κεχαραγμένον ὄζοις. οἶμαι δὲ ῥόπαλον εἶναι σιδηροῦν τὸν στηλειὸν ἔχον, ἐνδεδυμένον δέρματι καὶ ὄζους τινὰς ἔχον, οἷα νῦν εἰσὶ τὰ κοινῶς ἀπελατίκια λεγόμενα, τὰ ἐκ πικρᾶς ἀμυγδαλῆς τὸν στηλειὸν ἔχοντα. M.)

Vs. 34. 35.

Vet. Περικλειτὰ Βερενίκα: Βερενίκην λέγει τὴν Γάμου [μὲν] θυγατέρα, Πτολεμαίου δὲ γυναῖκα τοῦ Σωτῆρος. αὕτη, φησίν, ἐν ταῖς σώφροσι γυναιξὶν εὔδηλος ἦν.

Vs. 36—39.

Vet. Τῆς μὲν Κύπρον ἔχοισα: ἡ Ἀφροδίτη, φησίν, εἰς τὸν κόλπον αὐτῆς ἀπεμάξατο τὰς χεῖρας, τουτέστιν ἐπαφρόδιτον ἐποίησεν αὐτήν· διὸ καὶ ἠγαπᾶτο ὑπὸ τοῦ ἀνδρός.

Vs. 40—42.

Vet. Θαρσήσας σφετέροισιν ἐπιτρέπει οἶκον ἅπαντα: ζῶν γὰρ ἔτι ὁ Σωτὴρ ἐκοινοποίησε τῷ Φιλαδέλφῳ τὴν βασιλείαν. τρεῖς δὲ ἐγένοντο Πτολεμαῖοι· εἷς ὁ Λᾶγος·

32) Εἰς τὸν ἀθάνατον οἶκον τῆς λευκόποδος Ἥβης, ἤγουν τῆς γυναικὸς αὐτοῦ. M.

33) Τόξα τε καὶ ῥόπαλον. r.

34) Φρονίμοις. M. — Ἔνδοξος. M.

35) Γυναιξί. M. — Τοῖς τοκεῦσι. r. γεννησάσαις. M. [γειναμένῃσι:] μητράσι ταῖς γεννησάσαις γυναιξίν. Vat.

36) [Τα:] ἡ μέν. Vat. [Τῇ:] τῇ Βερενίκῃ. Vat. — [Κύπρις:] ἡ Ἀφροδίτη. M.

37) [Κόλπον:] ταύτης. r. — Λεπτάς. M. — Ἐπαφρόδιτον ἐποίησεν. r.

38) [Τῷ:] ἐν τούτῳ. M. [τῶ:] διό. Vat.

41) Ἰδίοις. M. — Δίδωσι. M.

---

3) ἔχον] Gail., ἔχοντα cod. 5) πικρᾶς] Gail., πυκρᾶς cod. 7) //Gen.[b] c. lemm. περικλυτὰ B. 7) Γάμου] Gen.[b], Γαμάου M., Λαγοῦ vulg. 8) μὲν om. M. Gen.[b] 8) Πτ. δὲ γυν.] M. Gen.[b], γυν. δὲ Πτ. vulg. 9) φησὶν] φησὶ Gaisf. et Gail. tacite ex M., ut videtur, om. (Gen.[b]) vulg. 9) διάδηλος M. 11) //Gen.[b] c. lemm. ἐσεμάξατο χεῖρας. 12) τὸν om. Gen.[b] 12) αὐτῆς] hoc loco Gen.[b], ante εἰς vulg. 15) //Gen.[b] c. lemm. θαρσ. σφ., sed verbis τρεῖς seqq. post reliqua ad h. Id. scholia positis. 16) τῷ βασιλεῖ τῷ Φιλ. Gen.[b] 17) δὲ om. Gen.[b] 17) εἷς] add. Gen.[b] 17) Λᾶγος] Λαγὼς Gen.[b], Λαγωὸς vulg., Λαγὸς Geel. — 23) γεννησάσαις γυν.] γενναμέναις γυν. cod. 29) ἰδίαις cod.

ἐγέννησε δὲ οὗτος τὸν Πτολεμαῖον τὸν Σωτῆρα, ὅστις εἶχε τὴν Βερενίκην γυναῖκα· οὗτος δὲ πάλιν ἐγέννησε Πτολεμαῖον τὸν Φιλάδελφον, ὅστις εἶχε γυναῖκα τὴν Ἀρσινόην.

Rec. (*Τοῦ Τρικλινίου. Ζῶν ἔτι, φησίν, ὁ Σωτὴρ Πτολεμαῖος κοινωνὸν τῆς ἀρχῆς τὸν Φιλάδελφον ἐποιήσατο. εἰ δὲ τὸ ὁπότε κεν φιλέων συνάψεις μετὰ τοῦ ἀντεφιλεῖτο πολὺ πλέον, τὸ δὲ ἑξῆς διὰ μέσου εἴπῃς, οὐκ ἄτοπον ἦν.* M.)

Vs. 46.

Vet. Σοὶ τήνα μεμέλητο: ἤγουν ἐν ἐπιμελείᾳ καὶ φροντίδι ἦν.

Vs. 50—52.

Vet. Ἑὰς δ' ἀπεδάσσαο τιμάς: ἀπεμερίσω. τὰς αὐτῆς τιμὰς ἀπένειμας αὐτῇ. — Κούφας δὲ διδοῖ ποθέοντι μερίμνας: τοῦτο δὲ ποιεῖ, φησίν, ἐπεὶ ἡ Ἀφροδίτη ἀπαθανατίσασα αὐτὴν τῶν δυνάμεων καὶ τιμῶν ἐκοινώνησεν.

Vs. 53. 54.

Vet. Ἀργεία κυάνοφρυ, σὺ λαοφόνον Διομήδεα: Ἀργείαν εἶπε τὴν τοῦ Διομήδους μητέρα Δηιπύλην, καθὰ ἐξ

42) *Ὅτε συνεκάθευδε τῇ γυναικί.* M. — [*Βαίνει*:] *γρ. φέρει.* 5.[5.]
43) *Ἀφίλου.* M. — [*Ἀλλοτρίῳ*:] *ἀνδρί.* M.
44) *Ἤγουν εὐκόλως τέκνα γεννᾷ.* M. — [*Τέκνα*:] *τοῦ ἀνδρός, ἐὰν εἰσὶ νόθοι.* r. — *Ὅμοια.* M.
46) *Διὰ φροντίδος ἦν σοι ἡ Βερενίκη.* M.
47) *Οὐκ ἀνώνυμος μέν, ἀλλ' ὀνομαστή.* r.
48) *Πρὸ τοῦ κατελθεῖν.* M.
49) *Μέλαιναν.* 9. — *Χαλεπόν.* M. — [*Πορθμῆα*:] *τὸν Χάροντα.* M. — *Τῶν νεκρῶν.* M.
50) *Ἀπαθανατίσασα εἰς θεοὺς ἤγαγες, διὸ ναοὶ αὐτῇ δίδονται.* r. — [*Ἑάς*:] *τὰς ἰδίας σου.* M. — *Ἐμέρισας αὐτῇ.* M.
51) *Ἥμερος.* M. *τοῖς εὐσεβῶς αὐτὴν ἐπικαλοῦσιν.* r. — *Ἡμέρους.* M.
52) [*Προσπνέοντι*:] *ποθοῦντι.* Vat. *τῷ εἰς ἔρωτας.* Vat. *τῷ πεφιλημένῳ.* r. — *Φροντίδας.* M.
53) [*Ἀργεία*:] *Δηιπύλη.* M. — *Μελάνοφρυ.* M. — *Τὸν πολλοὺς λαοὺς φονεύοντα.* M.

---

9) //Om. Gen.[b.] 12) //Gen.[b.] — *ἑὰς*] Gen.[b.], *τεὰς* Call., *ἀπεδάσατο* Gen.[b.] 12) *αὐτῆς*] Gen.[b.], *σὰς* vulg. 13) //Om. Gen.[b.] 14) *ἀπαθανατήσασα* ante Reisk. 17) //Gen.[b.] c. lemm. *λαοφόνον Διομήδεα.* 18) *τοῦ* om. M. — *Διομήδου* Gen.[b.] 18) *ἐπεὶ* pro *καθὰ* M. — 19) *φέρει* sine *γρ.* Vat.[1.]

Ἄργους ἦν, Ἀδράστου θυγάτηρ. ἦν δὲ καὶ ὀνοματικῶς Ἀργεία καλουμένη. Καλυδώνιον δέ φησι τὸν Διομήδην, ὅτι ὁ Τυδεὺς ἦν ἐκεῖθεν.

Vs. 58.

Vet. *Καί σε Κόως ἀτίταλλε*: (*ἡ νῆσος.* Gen.[b.]) *ὅτι ὁ Φιλάδελφος ἐν Κῷ τῇ νήσῳ ἐγεννήθη ὑπὸ Βερενίκης.*

Vs. 61.

Vet. *Ἀντιγόνας θυγατέρα βεβαρημένα ὠδίνεσσιν*: *ἡ γὰρ Βερενίκη ἐστὶ θυγάτηρ Ἀντιγόνης τῆς Κασάνδρου τοῦ Ἀντιπάτρου.*

Vs. 67.

Rec. (*Τρικλινίου. Ὅτι μελαίνας περικεφαλαίας οἱ ἐν τῇ Δήλῳ εἶχον, διὰ τοῦτο τὴν νῆσον κυανάμπυκα λέγει.* M.)

Vs. 68. 69.

Vet. *⟨Ὡς τοῦ Φιλ⟩αδέλφου ἐσπουδακότος περὶ τὴν ἐν τῷ Τριόπῳ τῶν Δωριέων σύνοδον καὶ τὴν αὐτόθι δρωμένην*

54) *Συγκοιμωμένη τῷ Τυδεῖ.* M. — *Τὸν ἐκ Καλυδῶνος πόλεως.* r. M.
55) [*Ἀχιλῆα*:] *ἔτεκεν.* M.
56) *Μισγομένη τῷ Πηλεῖ.* M. — *Πολεμιστά.* M.
57) [*Αἰχμητᾶ*:] *μισγομένη.* r. M. *αἰχμητοῦ Πτολεμαίου.* r.
58) *Ηὔξησεν, ἔθρεψε.* M. — *Νέον ὄντα.* M.
59) [*Δεξαμένα*:] *ἡ νῆσός σε.* M. — *Ἤγουν ὅτε πρῶτον τὸ φῶς εἶδες.* M. — *Τὴν ἡμέραν.* 5. M.
60) [*Ελλήθυιαν*:] *τὴν μαῖαν.* M. — *Ἐπεκαλέσατο.* M. — *Τὴν λύουσαν τὰς περὶ τὴν ζώνην ὠδῖνας.* M.
61) *Ἡ Βερενίκη.* M. — *Πόνοις.* M.
63) *Ἀνώδυνον αὐτὴν ἐποίησεν.* M. — [*Ὁ δέ*:] *ἤγουν σὺ δέ.* M.
64) *Ἐγένου.* M. — *Ὕμνησεν.* M. — [*Ἰδοῖσα*:] *σέ.* M.
65) *Ἤγουν φιλοῦσα.* M.
66) *Τιμήσοις.* M.

---

1) *ἐκαλεῖτο δὲ καὶ Ἀργεία* M. — *καὶ ὀν.*] Gen.[b.], *ὀν. καὶ* vulg. — *ὀνοματικῶς*] Lud. Dindorf. in Thes., *ὀνομαστ.* vulg. 1) *λεγομένη Ἀργεία* Gen.[b.] 2) *τὸν* et 3) *ὁ* om. Gen.[b.] 3) *ἐκεῖθεν ἦν* Gen.[b.] 5) //Gen.[b.] sine *ἀτίταλλε.* 6) *ἐγενήθη* ante Brub. 8) //Gen.[b.] c. lemm. *Ἀντιγόνας θυγατρός.* 9) *γὰρ* post *Βερ.* Gen.[b.], om. M. 9) *ἐστὶ*] add. M. Gen.[b.] — *θυγάτηρ* post *Κασ.* M. 10) Post *Ἀντιπάτρου* vulgo et in M. Gen.[b.] adhaeret mutilum scholium ad Vs. 68, vid. deinceps. 15) //M. Gen.[b.] — *ὡς τοῦ Φιλαδέλφου*] *ἀδελφοῦ* Gen.[b.] et vulg., *ἀδελφῆς* M. 15) *ἐσπουδ.*] vulg., *ἀσπουδ.* Gen.[b.], *τοῦ ἐσπουδ.* M. et Kiessl. auctore Toupio. 15) *περὶ τὴν ἐν τῷ Τριόπῳ*] *τὴν ἐν τῷ περιτροπίῳ* M. Gen.[b.] et vulg., *τὴν ἐν τῷ Τριοπίῳ* Reisk. seqq. auctore Salmasio ad Consecr. T. p. 41, *Τριόπῳ* Brub. mg. 16) *δωρεῶν* Gen.[b.] 16) *αὐτόθεν τῶν δρομέων* M., *δρωμένων* Gen.[b.]

πανήγυριν καὶ τὸν ἀγῶνα τὸν ἀγόμενον [ἢ ἀγωνιζόμενον] Ποσειδῶνι καὶ Νύμφαις. — *Ἐν μιᾷ τιμῇ Τρίοπον καταθεῖο κολώναν*: (*περίβλεπτον.* M. Gen.[b.]) *Τρίοψ γὰρ βασιλεὺς* (*ἦν* M.) *τῆς Κῶ, ἀφ' οὗ τὸ ἀκρωτήριον ὠνόμασται τῆς Κνίδου.* — *Ἶσον Δωριέεσσι νέμων γέρας*: *ἡ τῶν Δωριέων πεντάπολις Λίνδος Ἰάλυσος Κάμιρος Κῶς Κνίδος. ἄγεται δὲ κοινῇ ὑπὸ τῶν Δωριέων ἀγὼν ἐν Τριόπῳ Νύμφαις Ἀπόλλωνι Ποσειδῶνι. καλεῖται δὲ Δώριος ὁ ἀγών, ὡς Ἀριστείδης φησί. Τὸ δὲ Τρίοπον ἀκρωτήριον τῆς Κνίδου ἀπὸ Τριόπου τοῦ Φόρβαντος, ὡς ἐν τοῖς περὶ Ῥόδου Ἰάσων φησίν.*

Vs. 70.

Vet. *Ἶσον καὶ Ῥήναιαν*: *νῆσος οὕτω λεγομένη, ἣν καὶ [Δῆλόν φασι. τὴν δὲ Ῥήναιαν] προσῆψε τῇ Δήλῳ Πολυκράτης ὁ Σαμίων τύραννος.*

Vs. 77.

Rec. (*Τρικλινίου. Πρὸς τὸ μυρίαι ἤπειροι τὸ λήιον ἀλδήσκουσιν συνάπτεται. τὸ δὲ ἔθνεα μυρία διὰ μέσου εἴρηται.* M.)

68) [*Τρίοπον*:] *περίβλεπτον.* r. M. et duo Vatt. — *Ποιήσειας.* Vat. *ποίησαι.* M. — *Τὸ ἀκρωτήριον.* M.

69) *Τοῖς Ῥοδίοις.* Vat. *Λυδίοις.* Vat. *πόλεσι.* M.

70) *Ῥήναια νῆσος μικρὰ πλησίον Δήλου.* *r.

71) *Ἤχησε.* M.

72) *Τρίτον.* M.

73) [*Μέλοντι*:] *διὰ φροντίδος ποιουμένῳ.* M.

78) *Τὰς ἀρούρας.* M. — *Αὐξάνουσιν.* r. M. *ἔχουσιν.* *r. — *Αὐξάνουσαι.* M.

79) *Ἡ ὑπτία· οὐ γάρ ἐστιν ὄρη ἐν Αἰγύπτῳ.* M. *εὔγεως.* r.

---

1) *ἢ ἀγων.* om. M. Gen.[b.] 2) //Gen.[b.] c. lemm. *τρίοπον.* Scholium extat etiam in M. hoc initio *τρίοπον λέγει ἤγουν περίβλεπτον. Τρίοψ*, tum in r. hoc initio: *Τρίωψ βασιλεύς.* 4) *καὶ* pro *τὸ* M., om. Gen.[b.] 4) *οὕτως ὠν. τῆς νήσου Κν.* M. 5) *Κνήδου* M. Gen.[b.] Adhaerent in M. *ὃς υἱὸς ἦν Ἄβαντος* ex sch. seq. 5) //Gen.[b.] c. lemm. *ἶσον Δωριέσσι.* 6) *Ἰάλυσος*] M. et Brub. mg., *Ἰάλισος* Gen.[b.], *Ἄλυσος* vulg. 6) *Κάμιρος*] *Κάμηρος* M. Gen.[b.] vulg., *Κάμειρος* Reisk. seqq. 6) *Κνῆδος* M. Gen.[b.] 8) *καὶ Ποσ.* M. 9) *Κνήδου* Gen.[b.] 10) *Φόρβαντος*] Munckerus ad Hygin. fab. 14 et alii, *Ἄβαντος* vulg. Sequentia om. Gen.[b.] 10) *Ῥόδου*] Duebn., *Κνίδου* vulg. 12) //Gen.[b.] — *νῆσος ἡ Ῥήναια. ἣν* M., ubi desunt circumsepta. 13) *προσῆψαι* M. 14) *τύραννος*] M. Gen.[b.], *βασιλεὺς* vulg. — 20) *ἀκρώτερον* cod. 22) *Ῥήνα* cod. — *πλησίον Δήλου*] Toup., *πολλων δόλου* cod.

Vs. 80.

Rec. (*Τρικλινίου. Τὸ θρύπτει ἐκ μεταφορᾶς εἴρηται τῶν τρυφώντων. πιαινόμενοι γὰρ τῇ τρυφῇ οὗτοι ὑπὸ βλακείας διαθρύπτονται, ὅ φασι κοινῶς ἰδιωματεύονται.* M.)

Vs. 81—85.

Vet. Οὐδέ τις ἄστεα τόσα βροτῶν ἔχει: ὁμοῦ γὰρ πᾶσαι αἱ πόλεις τρισμύριαι τρισχίλιαι ⟨*τριακόσιαι*⟩ *τριάκοντα τρεῖς.* — (*Ἔργα δαέντων: ἐπιστημόνων εἰς τὸ ἐργάζεσθαι πᾶν ἔργον, ἤτοι ἐργατῶν.* Gen.[b]) — (*Τρεῖς μέν οἱ πολίων ἑκατοντάδες, τρεῖς δ' ἄρα χιλιάδες τρισσαῖς ἐπὶ μυριάδεσσι: δοιαὶ τριάδες ἑξήκοντα, ἑνδεκάδες τρεῖς τριάκοντα τρεῖς· ὁμοῦ πᾶσαι τρισμύριαι τρισχίλιαι τλγʹ.* Gen.[b])

Rec. (*Τρικλινίου. Ὁ πᾶς ἀριθμὸς τῶν ἀπηριθμημένων πόλεων ἐστὶ μυριάδες τρεῖς καὶ χιλιάδες τρεῖς, τριακόσιαι ἐννενήκοντα τρεῖς. τούτων πασῶν τῶν πόλεων ἦρχεν ὁ ἄριστος Πτολεμαῖος.* M.)

80) *Αὐξάνων.* r. *δι' ὕδατος.* M. — *Τὰς ἀρούρας.* M. — *Πιαίνει.* M. *διατρίβει.* r.

81) *Ἐπιστημόνως ἐργαζομένων τὰ ἔργα.* M. *ἐμπείρων.* r.

82) *Κατεσκευασμέναι εἰσίν.* M.

84) [*Δοιαὶ δὲ τριάδες:*] *ἤγουν ἑξήκοντα ἀπὸ τοῦ τριηκάδες κατὰ συγκοπήν.* M. — *Σὺν αὐτοῖς.* M. — [*Ἑνδεκάδες τρεῖς:*] *ἤγουν τριάκοντα τρεῖς.* M. — *Τὸ σύνολον ͵γτλθʹ ἅπασαί εἰσι πόλεις.* r. — *͵Γτλθʹ.* s.

85) *Ἀνδρεῖος.* M.

86) *Χωρίζεται.* M.

88) *Τοῖς τὴν Παμφυλίαν οἰκοῦσι.* M.

89) *Προστάσσει.* M. — [*Λυκίοις:*] *μαχιμωτάτοις.* M. — [*Κάρεσσιν:*] *ὧν ἡ πόλις τὸ νῦν λεγόμενον Κάρεον.* M.

90) *Αὐτοῦ νῆες.* M.

92) *Ἡγοῦντές εἰσι.* M.

93) [*Μιν:*] *αὐτοῦ.* M. — *Ὡπλισμένοι ἀσπίσιν.* M.

---

6) //Om. Gen.[b] 7) *τριακόσιαι* supplevit Kiessl. auctore Casaubono Lectt. p. 276. 8) *ἔργα δαέντων*] *τρεῖς μὲν οἱ πολίων* cod., *δαέντων* Adert. 8) *ἐπιστημόνων*] conj. Duebn., *ἐπιστημόνως* cod. 9) *ἤτοι ἐργατῶν*] *ἐπὶ ἔργα τῶν* cod. sequente scholio sine distinctione adhaerente. 12) *τριάκοντα*] *ἐνενήκοντα* cod. 12) *τρισμύριαι*] τ̅ α̅ cod. 12) *τλγʹ*] Casaub. Lectt. p. 277 tacite, *τῶν* ϛ̅ Γ̅ cod. 16) *ἐνν. τρεῖς*] Gail., *ἐννενηκοντατρία* cod. — 24) *τὸ συν. λθ* cod. 25) *γγτλθ* cod.

Vs. 97.

Vet. (*Λαοὶ δ' ἔργα*: οἱ δὲ ὄχλοι, φησί, περὶ τὰ ἔργα ἡσύχιοι γίνονται διὰ τὸ εἶναι ἐν εἰρήνῃ. M. Gen.[b.])

Vs. 98.

Vet. (*Νεῖλον ἐπεμβάς*: περὶ τοῦ Νείλου Καλλίμαχος ἐν ἑνί που τῶν ὑπομνημάτων φησὶν εἰρηκέναι τινάς, Μιλησίους κτίσαντας τὴν Ναύκρατιν προσαγορεῦσαι τὸν κατ' Αἴγυπτον ποταμὸν Νεῖλον ἀπὸ τοῦ κτιστοῦ Νείλεω θεμένους τὴν προσηγορίαν. Gen.[b.])

Vs. 103.

